Ὡς Θεὸς ἀπὸ τὴ φύση του ὁ Λόγος εἶναι ὁπωσδήποτε ἐλεύθερος, λέει, ἀπὸ τὴν ὑπακοὴ καὶ τὴν παρακοή, γιατὶ ὡς Κύριος εἶναι ὁ φυσικὸς δοτήρας καὶ κάθε ἐντολῆς, τῆς ὁποίας ἡ ὑπακοὴ εἶναι τήρηση, ἐνῶ ἡ παρακοὴ παράβαση. Γιατὶ ὁ νόμος τῶν ἐντολῶν καὶ ἡ ἐκπλήρωση ἢ παράβασή του ἀφορᾶ ὅσα χαρακτηρίζονται ἀπὸ κίνηση, ὄχι ἐκεῖνο ποὺ τὸ φυσικὸ εἶναι του εἶναι ἡ στάση[1].

Ὡς μορφὴ δούλου, δηλαδὴ Θεὸς ποὺ ἔγινε ἄνθρωπος στὴ φύση, συγκατέβηκε στοὺς ὁμόδουλούς του καὶ δούλους, παίρνοντας ὡς μορφή του τὸ ἀλλότριο, ἀφοῦ ὑποδύθηκε μαζὶ μὲ τὴ φύση μας καὶ τὴν παθητότητά της. Γιατὶ εἶναι ξένο πρὸς τὸν ἀναμάρτητο ἀπὸ τὴ φύση του τὸ ἐπιτίμιο ἐκείνου ποὺ ἁμάρτησε, κι αὐτὸ εἶναι ἡ παθητότητα, στὸ ὁποῖο ἐξαιτίας τῆς παράβασης καταδικάσθηκε ὅλη ἡ φυση.

Ἂν τώρα κενώθηκε στὴ μορφὴ τοῦ δούλου, δηλαδὴ ἔγινε ἄνθρωπος, καὶ πῆρε, δείχνοντας συγκατάβαση, ὡς μορφὴ τὸ ἀλλότριο, δηλαδὴ ἔγινε ἄνθρωπος παθητὸς ἀπὸ τὴ φύση του, θεωρεῖται ἑπομένως κένωσή του καὶ συγκατάβαση ὡς ἀγαθοῦ μαζὶ καὶ φιλάνθρωπου· καὶ ἡ μία τὸν δείχνει νὰ ἔχει γίνει ἄνθρωπος ἀληθινὰ καὶ ἡ ἄλλη ἀληθινὰ ἀπὸ τὴ φύση του ἄνθρωπος παθητός. Γι' αὐτὸ λέει ὁ δάσκαλος· «ἔχοντας μέσα του ὁλόκληρον ἐμένα μαζὶ μὲ τὰ δικά μου στοιχεῖα», δηλαδὴ ὁλόκληρη τὴν ἀνθρώπινη φύση, σὲ ἕνωση ὑποστασιακὴ μαζί της μὲ τὰ ἀδιάβλητα[2] πάθη της. Μὲ αὐτά, ἀφοῦ ἐξαφάνισε τὸ χειρότερο δικό μας στοιχεῖο, ἐξαιτίας τοῦ ὁποίου παρεισέφρησε στὴ φύση μας ἡ παθητότητα, ἐννοῶ τὸ νόμο τῆς ἁμαρτίας ποὺ πήγασε ἀπὸ τὴν πα-

1. Ἡ κίνηση εἶναι γιὰ τὸ ἀτελὲς ὁ τρόπος νὰ φθάνει στὸ Θεῖο.

2. Λίγο πιὸ κάτω ἀναφέρονται μερικὰ μὲ τὰ ρήματα, 'ἐπείνασε, ἐδίψησε, ἠγωνίασε, ἐδάκρυσε'. Τὰ πάθη (συναισθήματα τοῦ ἀνθρώπου) συνιστοῦν ττὴν παθητότητα τοῦ ἀνθρώπου, γνώρισμα τῆς φύσης μας μετὰ τὴν πτώση. Ἡ συγκατάθεση (θέληση, βούληση) σ' αὐτὰ ἔχει μέγιστη σημασία.

*γνώμης διάθεσις, ἐμπάθειαν τῷ παθητῷ τῆς φύσεως ἐπεισάγουσα κατ' ἄνεσιν καὶ ἐπίτασιν, οὐ μόνον σέσωκεν ὑπὸ τῆς ἁμαρτίας κατεχομένους, ἀλλὰ καὶ θείας δυνάμεως μεταδέδωκεν ἐν ἑαυτῷ λύσας ἡμῶν τὸ ἐπιτίμιον, ψυχῆς ἀτρεψίαν καὶ σώματος ἀφθαρσίαν ἐργαζομένης ἐν τῇ περὶ τὸ φύσει καλὸν τῆς γνώμης ταυτότητι, τοῖς ἔργῳ τιμᾶν τὴν χάριν σπουδάζουσιν. Ὅπερ οἶμαι διδάσκων ὁ ἅγιός φησιν· «Ἵνα ἐν ἑαυτῷ δαπανήσῃ τὸ χεῖρον, ὡς κηρὸν πῦρ, ἢ ὡς ἀτμίδα γῆς ἥλιος, κἀγὼ μεταλάβω τῶν ἐκείνου διὰ τὴν σύγκρασιν»· καθαρὸς δηλαδὴ τῇ χάριτι πάθους ἴσως ἐκείνῳ γενόμενος.*

*Οἶδα δὲ καὶ λόγον ἕτερον περὶ τοῦ, «μορφοῦται τὸ ἀλλότριον», παρά τινος ἁγίου σοφοῦ καὶ λόγον καὶ βίον μαθών. Ἔλεγε γὰρ ἐρωτηθεὶς ἐκεῖνος ἀλλότριον εἶναι τοῦ Λόγου φύσει τὴν ὑπακοήν, ὥσπερ καὶ τὴν ὑποταγήν, ἣν ὑπὲρ ἡμῶν παραβάντων τὴν ἐντολὴν ἐκτίσας ὅλην εἰργάσατο τοῦ γένους τὴν σωτηρίαν, ἑαυτοῦ ποιούμενος τὸ ἡμέτερον. Διὰ τοῦτο ἔργῳ τιμᾷ τὴν ὑπακοήν, νέος Ἀδὰμ ὑπὲρ τοῦ παλαιοῦ φύσει γενόμενος, καὶ πειρᾶται ταύτης ἐκ τοῦ παθεῖν, διὰ τῶν αὐτῶν ἑκουσίως ἡμῖν ἐνεχθεὶς παθημάτων. Εἴπερ κατὰ τοῦτο ἀληθῶς τὸν μέγαν διδάσκαλον, «ἐκοπίασε, καὶ ἐπείνασε, καὶ ἐδίψησε, καὶ ἠγωνίασε, καὶ ἐδάκρυσε» νόμῳ σώματος, ὃ δὴ σαφὴς ἐνεργοῦς ἐστιν ἀπόδειξις διαθέσεως, καὶ τῆς πρὸς τοὺς ὁμοδούλους τε καὶ δούλους τεκμήριον συγκαταβάσεως. Δεσπότης γὰρ φύσει μεμένηκε, καὶ δοῦλος δι' ἐμὲ τὸν φύσει δοῦλον γενόμενος, ἵνα ποιήσῃ δεσπότην τοῦ δι' ἀπάτης τυραννικῶς κυριεύσαντος, διὰ τοῦτο τὰ μὲν δουλικὰ δεσποτικῶς ἐνεργῶν, τουτέστι τὰ σαρκικὰ θεϊκῶς, τὴν ἀπαθῆ καὶ φύσει δεσπόζουσαν ἐν τοῖς σαρκι-*

---

3. Ὁ Χριστὸς μᾶς ἀπελευθερώνει ἀπὸ τὴ ροπὴ τῆς θελησής μας στὸ κακό, ἀπὸ τὴν ἐπιθυμία ἀλλὰ καὶ ἀπὸ τὴν παθητότητα γενικά.

ρακοή, πού ἰσχύς του εἶναι ἡ παραφύση διάθεση τῆς γνώμης μας, εἰσάγοντας τὴ δύναμη τῶν παθῶν στὴν παθητότητα τῆς φύσης μας ἄλλοτε χαλαρὴ καὶ ἄλλοτε ἔντονη, ὄχι μόνο μᾶς ἔσωσε ἀπὸ τὴν κατοχὴ τῆς ἁμαρτίας, ἀλλὰ μᾶς μετέδωσε καὶ θεία δύναμη καταργώντας τὸ ἐπιτίμιό μας, δύναμη πού πραγματοποιεῖ τὴν ἀτρεψία τῆς ψυχῆς καὶ τὴν ἀφθαρσία τοῦ σώματος μέσα στὴν ταυτότητα τῆς γνώμης σχετικὰ μὲ τὸ φυσικὸ καλό, γι' αὐτούς πού ἐπιχειροῦν σοβαρὰ νὰ τιμήσουν τὴ χάρη μὲ τὰ ἔργα τους. Αὐτὸ νομίζω θέλοντας νὰ διδάξει καὶ ὁ ἅγιος λέει· «Γιὰ νὰ ἐξαφανίσει μέσα του τὸ χειρότερο, ὅπως ἡ φωτιὰ τὸ κερὶ ἢ ὅπως ὁ ἥλιος τὴν πρωινὴ δροσιὰ στὴ γῆ, καὶ νὰ μεταλάβω ἐγὼ τὰ δικά του ἐξαιτίας τῆς ἀνάκρασής μου μ' αὐτόν», νὰ γίνω δηλαδὴ μὲ τὴ δύναμη τῆς χάριτος ἐξίσου μ' ἐκεῖνον καθαρὸς ἀπὸ πάθη[3].

Γνωρίζω καὶ μιὰ ἄλλη ἄποψη γιὰ τὸ λεγόμενο, «παίρνει ὡς μορφὴ τό ἀλλότριό του», πού τὴν ἄκουσα ἀπὸ κάποιον ἅγιο σοφὸ στὸ λόγο καὶ στὸ βίο. Ὅταν ρωτήθηκε ἐκεῖνος ἔλεγε πὼς εἶναι ἀλλότριο στὴ φύση τοῦ Λόγου ἡ ὑπακοή, ὅπως καὶ ἡ ὑποταγή, πού τὴν ἀνέχθηκε ὁλόκληρη γιὰ χάρη μας, ἐπειδὴ καταπατήσαμε τὴν ἐντολή, καὶ πραγματοποίησε τὴ σωτηρία τοῦ γένους μας, κάνοντας δικό του τὸ δικό μας. Γι' αὐτὸ τιμᾶ τὴν ὑπακοὴ στὴν πράξη, μὲ τὸ νὰ γίνει νέος Ἀδὰμ στὴ φύση γιὰ χάρη τοῦ παλαιοῦ, καὶ τὴν ἀσκεῖ μὲ τὸ πάθος του περνώντας θεληματικὰ ἀπὸ τὰ ἴδια μ' ἐμᾶς παθήματα, ἐφόσον βέβαια σύμφωνα μ' αὐτὸν τὸν ἀληθινὰ μεγάλο δάσκαλο, «ἐκοπίασε καὶ ἐπείνασε καὶ ἐδίψασε καὶ ἐδοκίμασε ἀγωνία καὶ ἐδάκρυσε»[4], σύμφωνα μὲ τὸ νόμο τοῦ σώματος, πράγμα πού ἀποτελεῖ σαφὴ ἀπόδειξη ἐνεργητικῆς διάθεσης καὶ τεκμήριο τῆς συγκατάθεσης πρὸς τοὺς ὁμόδουλους καὶ τοὺς δούλους του. Γιατὶ ἔμεινε Δεσπότης στὴ φύση καὶ ἔγινε δοῦλος γιὰ μένα τὸ φυσικὸ δοῦλο, γιὰ νὰ μὲ κάνει κύριο ἐκείνου πού μὲ τὴν ἀπάτη μὲ ὑπόταξε στὴν τυραννία του. Γι' αὐτὸ ἀκριβῶς, ἐνεργώντας τὰ δουλικὰ ἔργα σὰν δεσπότης, δηλαδὴ τὰ σαρκικὰ σὰν Θεός, φανέρωνε τὴν ἀπαθὴ κι ἀπὸ τὴ φύση της κυ-

4. Ἰω. 4,6. Ματθ. 4,2. Ἰω. 19,28. Λουκᾶ 23,46. Ἰω. 11,33.

*κοῖς ἐπεδείκνυτο δύναμιν, διὰ πάθους, τὴν φθορὰν ἀφανίζουσαν, καὶ διὰ θανάτου ζωὴν δημιουργοῦσαν ἀνώλεθρον, τὰ δεσποτικὰ δὲ πράττων δουλικῶς, τουτέστι τὰ θεῖα σαρκικῶς, τὴν ἄφατον ἐνεδείκνυτο κένωσιν, διὰ σαρκὸς παθητῆς τὸ γένος ἅπαν τῇ φθορᾷ γεωθὲν θεουργοῦσαν.*

*Τῇ γὰρ τούτων ἐπαλλαγῇ σαφῶς ἐπιστοῦτο τάς τε φύσεις ὧν αὐτὸς ὑπόστασις ἦν, καὶ τὰς αὐτῶν οὐσιώδεις ἐνεργείας, ἤγουν κινήσεις, ὧν αὐτὸς ἕνωσις ἦν ἀσύγχυτος, μὴ δεχομένη διαίρεσιν κατ᾽ ἄμφω τὰς φύσεις ὧν αὐτὸς ὑπόστασις ἦν, εἴπερ ἑαυτῷ προσφυῶς μοναδικῶς, τουτέστιν ἑνοειδῶς ἐνεργῶν, καὶ δι᾽ ἑκάστου τῶν ὑπ᾽ αὐτοῦ γινομένων τῇ δυνάμει τῆς ἑαυτοῦ θεότητος ἀχωρίστως συνεκφαίνων τῆς οἰκείας σαρκὸς τὴν ἐνέργειαν. Αὐτοῦ γὰρ ἑνὸς ὄντος οὐδὲν ἑνικώτερον, οὐδ᾽ αὐτοῦ πάλιν τῶν ἑαυτοῦ παντελῶς ἑνικώτερον ἢ σωστικώτερον. Διὰ τοῦτο καὶ πάσχων Θεὸς ἦν ἀληθῶς, καὶ θαυματουργῶν ἄνθρωπος ἦν ὁ αὐτὸς ἀληθῶς, ὅτι καὶ φύσεων ἀληθῶν καθ᾽ ἕνωσιν ἄρρητον ὑπόστασις ἦν ἀληθής. Αἷς καταλλήλως τε καὶ προσφυῶς ἐνεργῶν ἐδείκνυτο σώζων αὐτὰς ἀληθῶς ἀσυγχύτους σωζόμενος· εἴπερ ἀπαθὴς μεμένηκε φύσει καὶ παθητός, ἀθάνατος καὶ θνητός, ὁρατὸς καὶ νοούμενος, ὡς φύσει Θεὸς καὶ φύσει ἄνθρωπος ὁ αὐτός.*

*Οὕτω μὲν οὖν, κατ᾽ ἐμὲ φάναι, τιμᾷ τὴν ὑπακοὴν ὁ φύσει Δεσπότης, καὶ πειρᾶται ταύτης ἐκ τοῦ παθεῖν, οὐχ ἵνα σώσῃ μόνον τοῖς ἑαυτοῦ τὴν ἅπασαν φύσιν ἀποκαθάρας τοῦ χείρονος, ἀλλ᾽ ἵνα καὶ τὴν ἡμετέραν ὑπακοὴν δοκιμάσῃ, μανθάνων τῇ πείρᾳ τῶν ἡμετέρων τὰ καθ᾽ ἡμᾶς, ὁ πᾶσαν γνῶσιν τῇ φύσει περιγράφων, πόσον μὲν ἀπαιτούμεθα, πόσον δὲ συγχωρούμεθα πρὸς τὴν τελείαν ὑποταγήν, δι᾽ ἧς προσάγειν πέφυκε τῷ Πατρὶ τοὺς σωζομένους, κατ᾽ αὐτὸν φανέντας τῇ δυνάμει τῆς χάριτος. Ὢς μέγα καὶ φρικτὸν ὄντως τὸ τῆς ἡμῶν σωτηρίας μυστήριον.*

---

5. Ἀσκώντας τὰ ἀνθρώπινα σὰν Θεὸς καὶ τὰ θεϊκὰ σὰν ἄνθρωπος ἔδωσε τὴν πιστοποίηση γιὰ τὶς δύο φύσεις του καὶ τὶς ἐνέργειές του.

ρίαρχη δύναμη μέσα στὰ σαρκικά, ποὺ ἀφανίζει μὲ τὸ πάθος τὴ φθορὰ καὶ δημιουργεῖ μὲ τὸ θάνατο τὴν ἀνώλεθρη ζωή, καὶ πράττοντας σὰν δοῦλος τὰ δεσποτικά του ἔργα, δηλαδὴ σαρκικὰ πράττοντας τὰ θεϊκά του ἔργα, ἀποδείκνυε τὴν ἄφατη κένωση ποὺ θεοποιοῦσε ὅλο τὸ γένος μας μὲ παθητὴ σάρκα, τὸ ὁποῖο εἶχε γίνει γῆ μὲ τὴ φθορά[5].

Γιατὶ μὲ τὴν ἐναλλαγὴ αὐτῶν ἐπιβεβαίωνε μὲ σαφήνεια τόσο τὶς φύσεις ποὺ ὑπόστασή τους ἀποτελοῦσε ὁ ἴδιος, ὅσο καὶ τὶς ἐνέργειες τῆς οὐσίας τους, δηλαδὴ τὶς κινήσεις, ποὺ ἕνωνε ἀσύγχυτα στὸν ἑαυτό του, χωρὶς νὰ δέχεται διαίρεση στὶς δύο φύσεις ποὺ ἦταν αὐτὸς ἡ ὑπόστασή τους, ἐφόσον προσφυῶς στὸν ἑαυτό του ἐνεργοῦσε μοναδικῶς, δηλαδὴ ἑνοειδῶς, καὶ μὲ καθένα ἀπὸ ὅσα αὐτὸς ἔπραττε μὲ τὴ δύναμη τῆς θεότητάς του συμφανέρωνε τὴν ἐνέργεια τῆς δικῆς του σάρκας. Γιατὶ ἀπὸ αὐτόν, ποὺ εἶναι ἕνας, δὲν ὑπάρχει ἄλλο ἑνικότερο, οὔτε πάλι ἦταν κάτι ὁλότελα πιὸ ἑνικὸ καὶ πιὸ σωστικὸ ἀπὸ τὰ δικά του ἔργα. Γι' αὐτὸ ἦταν στ' ἀλήθεια ὁ ἴδιος καὶ Θεὸς πάσχων καὶ στ' ἀλήθεια ἄνθρωπος ποὺ θαυματουργοῦσε, ἐπειδὴ ἦταν καὶ ἀληθινὴ ὑπόσταση ἀληθινῶν φύσεων σὲ ὑπόσταση ἄρρητη. Σ' αὐτὲς ἐνεργώντας μὲ τρόπο κατάλληλο καὶ προσφυὴ παρουσιαζόταν νὰ σώζεται, διασώζοντάς τις ἀληθινὰ ἀσύγχυτες, ἀφοῦ βέβαια ἔμεινε ἀπαθὴς καὶ παθητὸς στὴ φύση, ἀθάνατος καὶ θνητός, ὁρατὸς καὶ νοητός, ἐπειδὴ εἶναι ὁ ἴδιος φύσει Θεὸς καὶ φύσει ἄνθρωπος.

Μ' αὐτὴ τὴν ἔννοια, κατὰ τὴ γνώμη μου, ὁ φύσει Δεσπότης τιμᾶ τὴν ὑπακοὴ καὶ τὴν ἐπιχειρεῖ διὰ μέσου τοῦ πάθους, ὄχι γιὰ νὰ σώσει μόνο μὲ τὴν ἐνέργειά του ὅλη τὴ φύση ἀποκαθαίροντάς την ἀπὸ τὸ χειρότερο, ἀλλὰ γιὰ νὰ δοκιμάσει καὶ τὴ δική μας ὑπακοὴ μαθαίνοντας τὰ δικά μας μὲ τὴ βίωση τῶν δικῶν μας αὐτὸς ποὺ περικλείει ὅλη τὴ γνώση στὴ φύση του, μαθαίνοντας δηλαδὴ κατὰ πόσο κρινόμαστε ὀφειλέτες καὶ κατὰ πόσο συγχωρούμαστε ὡς πρὸς τὴν τέλεια ὑποταγή, μὲ τὴν ὁποία πρέπει νὰ ὁδηγήσει στὸν Πατέρα του ὅσους ἀποδείχθηκαν ὅτι σώζονται ἀπὸ αὐτὸν μὲ τὴ δύναμη τῆς χάριτος. Γιατὶ εἶναι ἀληθινὰ μεγάλο

*Ἀπαιτούμεθα γὰρ ὅσον ἐκεῖνος φύσει τὸ καθ' ἡμᾶς, συγχωρούμεθα σὲ ὅσον αὐτὸς ὑπὲρ ἡμᾶς ἑνώσει τὸ καθ' ἡμᾶς. Εἰ μήπου γνώμης φιλαμαρτήμονος ἕξις ποιεῖται κακίας ὕλην τῆς φύσεως τὴν ἀσθένειαν. Καὶ δῆλός ἐστι ταύτης ὑπάρχων τῆς ἐννοίας ὁ πολὺς οὗτος διδάσκαλος, τοῖς ἑξῆς αὐτὴν βεβαιῶν. Φησὶ γάρ· «Εἰ γὰρ τὸ φῶς ἐδιώχθη διὰ τὸ πρόβλημα, φαῖνον ἐν τῇ σκοτίᾳ, τῷ βίῳ τούτῳ, ὑπὸ τῆς ἄλλης σκοτίας, τοῦ πονηροῦ λέγω καὶ τοῦ πειραστοῦ, τὸ σκότος πόσον, ὡς ἀσθενέστερον; Καὶ τί θαυμαστόν, εἰ ἐκείνου διαφυγόντος παντάπασιν ἡμεῖς ποσῶς καταληφθείημεν; Μεῖζον γὰρ ἐκείνῳ τὸ διωχθῆναι, ἤπερ ἡμῖν τὸ καταληφθῆναι, παρὰ τοῖς ὀρθῶς ταῦτα λογιζομένοις».*

## *Ε'*

*Εἰς τὴν πρὸς Γάϊον τὸν θεραπευτὴν ἐπιστολὴν τοῦ Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐπισκόπου Ἀθηνῶν· «Πῶς, φής, Ἰησοῦς, ὁ πάντων ἐπέκεινα, πᾶσιν ἀνθρώποις ἐστὶν οὐσιωδῶς συντεταγμένος; Οὐδὲ γὰρ ὡς αἴτιος ἀνθρώπων ἐνθάδε λέγεται ἄνθρωπος, ἀλλ' ὡς αὐτὸς κατ' οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος ὤν».*

*Ἐπειδὴ κατὰ τὴν ἁπλῆν ἐκδοχὴν τῆς ἁγίας Γραφῆς, ὡς πάντων αἴτιος ὁ Θεὸς πᾶσι σημαίνεται τοῖς τῶν ἐξ αὐτοῦ παρηγμένων ὀνόμασιν, οἰόμενον, τυχόν, καὶ μετὰ τὴν σάρκωσιν τούτῳ μόνῳ τῷ τρόπῳ πάλιν ἄνθρωπον τὸν Θεὸν ὀνομάζεσθαι, τούτοις τὸν θεραπευτὴν Γάϊον ἐπανορθοῦται τοῖς ῥήμασιν ὁ πολὺς Διονύσιος, διδάσκων ὡς οὐχ ἁπλῶς ὁ τῶν ὅλων Θεὸς σαρκωθεὶς λέγεται ἄνθρωπος, ἀλλ' ὡς αὐτὸ κατ' οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος ὤν. Ἧς μόνη τε καὶ ἀληθής ἐστιν ἀπόδειξις ἡ κατὰ φύσιν αὐτῆς συστατικὴ δύναμις, ἣν οὐκ ἄν τις ἁμάρτοι*

---

6. Ὁ Χριστὸς ζητεῖ νὰ πράττομε ὅ,τι ἔλαβε ἀπὸ ἐμᾶς· ὅ,τι μᾶς παραχώρησε ἐκεῖνος καὶ ἀδυνατοῦμε νὰ τὸ πράξομε μᾶς τὸ συγχωρεῖ.

καὶ φρικτὸ τὸ μυστήριο τῆς σωτηρίας μας. Ἀπαιτεῖται ἀπὸ μέρους μας τόσο, ὅσο ἐκεῖνος ἔχει λάβει ἀπὸ τὴ φύση, καὶ συγχωρούμαστε τόσο, ὅσο αὐτὸς μᾶς παραχώρησε μὲ τὴν ἕνωσή του μ' ἐμᾶς[6], ἐὰν βέβαια ἡ ἕξη τῆς φιλομαρτήμονας γνώμης δὲν κάνει ὕλη κακίας τὴν ἀσθένεια τῆς φύσης μας. Καὶ φαίνεται νὰ ἐννοεῖ κάτι τέτοιο ὁ μεγάλος αὐτὸς δάσκαλος, βεβαιώνοντάς μάς το μὲ τὰ ἑξῆς. Γιατὶ λέει· «Ἂν τὸ φῶς ποὺ φέγγει στὸ σκοτάδι, δηλαδὴ στὴ ζωὴ αὐτή, διώχθηκε ἐξαιτίας τοῦ σωματικοῦ σκεπάσματος ἀπὸ τὸ ἄλλο σκοτάδι, ἐννοῶ τὸ σκοτάδι τοῦ πονηροῦ ποὺ μᾶς πειράζει, πόσο εἶναι τὸ σκοτάδι, ἀφοῦ εἶναι πιὸ ἀδύναμο; Καὶ γιατί εἶναι θαυμαστό, φεύγοντας ἐκεῖνο τὸ φῶς ἐντελῶς, νὰ πιαστοῦμε ἐμεῖς; Γιατὶ εἶναι μεγαλύτερο γιὰ κεῖνον νὰ διωχθεῖ, παρὰ νὰ πιαστοῦμε ἐμεῖς, γιὰ ὅσους σκέπτονται ὀρθὰ αὐτὰ τὰ πράγματα».

## 5

Στὴν ἐπιστολὴ τοῦ Διονύσιου τοῦ Ἀρεοπαγίτου, ἐπισκόπου τῶν Ἀθηνῶν, πρὸς τὸ Γάϊο τὸ θεραπευτή· «Πῶς μᾶς λὲς ὅτι ὁ Ἰησοῦς, ποὺ εἶναι ἐπέκεινα ὅλων, εἶναι ἐνταγμένος ὡς πρὸς τὴν οὐσία στὴν τάξη τῶν ἀνθρώπων; Οὔτε βέβαια ἐδῶ λέγεται ἄνθρωπος ὡς αἴτιος τῶν ἀνθρώπων, ἀλλὰ ἐπειδὴ αὐτὸς εἶναι κατὰ τὴν οὐσία ὅλη ἄνθρωπος ἀληθινά»[1].

Ἐπειδή, σύμφωνα μὲ τὴν ἁπλὴ ἔννοια τῆς ἁγίας Γραφῆς, ὁ Θεὸς ὡς αἴτιος τῶν πάντων δηλώνεται μὲ τὰ ὀνόματα ὅσων ἔχει δημιουργήσει, κι ἐπειδὴ ἴσως καὶ μετὰ τὴ σάρκωση ὁ Γάϊος ὁ θεραπευτὴς νόμιζε πὼς μόνο μὲ τὸν τρόπο τοῦτο ὀνομάζεται ὁ Θεὸς ἄνθρωπος, γι' αὐτὸ ὁ μεγάλος Διονύσιος τὸν ἐπανορθώνει μὲ αὐτοὺς τοὺς λόγους, διδάσκοντας ὅτι δὲ λέγεται ὁ Θεὸς τῶν ὅλων ἄνθρωπος ὅταν σαρκώθηκε μόνο, ἀλλὰ γιατὶ εἶναι ἄνθρωπος ἀληθινὰ σύμφωνα μὲ ὅλη τὴν οὐσία του. Τῆς οὐσίας μοναδικὴ καὶ ἀληθινὴ ἀπόδειξη εἶναι ἡ φυσικὴ συστατική της δύναμη,

1. Ὁ ἅγιος Μάξιμος ἐδῶ ἀποκρούει τὴν αἵρεση τοῦ μονοενεργητισμοῦ.

τῆς ἀληθείας φυσικὴν φήσας ἐνέργειαν, κυρίως τε καὶ πρώτως χαρακτηριστικὴν αὐτῆς, ὡς εἰδοποιὸν ὑπάρχουσαν κίνησιν, γενικωτάτην πάσης τῆς φυσικῶς αὐτῇ προσούσης περιεκτικῆς ἰδιότητος, ἧς χωρὶς μόνον ἐστὶ τὸ μὴ ὄν, ὡς μόνου τοῦ μηδαμῶς ὄντος, κατὰ τοῦτον τὸν μέγαν διδάσκαλον, οὔτε κίνησιν οὔτε ὕπαρξιν ἔχοντος.

Τρανότατα γοῦν διδάσκει μηδὲν ἠρνῆσθαι παντάπασι τῶν ἡμετέρων τὸν Θεὸν σαρκωθέντα, πλὴν τῆς ἁμαρτίας, ἐπεὶ μηδὲ τῆς φύσεως ἦν, οὐχ ἁπλῶς ἄνθρωπον, ἀλλ᾽ αὐτὸ κατ᾽ οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπον ὄντα διαρρήδην ἀποφηνάμενος. Οὗ κυρίως εἶναι διὰ τῶν ἐπαγομένων καὶ τὴν κλῆσιν ἀνθρωπικῶς οὐσιωθέντος διατεινόμενός φησιν· «Ἡμεῖς δὲ τὸν Ἰησοῦν οὐκ ἀνθρωπικῶς ἀφορίζομεν». Ἐπεὶ μὴ ψιλὸν ἄνθρωπον αὐτὸν δογματίζομεν, τέμνοντες τὴν ὑπὲρ ἔννοιαν ἕνωσιν. Οὐσιωδῶς γάρ, ἀλλ᾽ οὐχ ὡς ἀνθρώπων αἰτίου ἐπ᾽ αὐτοῦ τοῦ φύσει Θεοῦ καθ᾽ ἡμᾶς ἀληθῶς οὐσιωθέντος τὸ 'ἄνθρωπος' ὄνομα λέγομεν. Οὐδὲ γὰρ ἄνθρωπος μόνον, ὅτι καὶ Θεὸς ὁ αὐτός, «οὐδὲ ὑπερούσιος μόνον», ὅτι καὶ ἄνθρωπος ὁ αὐτός, εἴπερ μὴ ψιλὸς ἄνθρωπος μήτε γυμνὸς ὑπάρχει Θεός, «ἀλλ᾽ ἄνθρωπος ἀληθῶς ὁ διαφερόντως φιλάνθρωπος». Ἀπείρῳ γὰρ πόθῳ τῷ πρὸς ἀνθρώπους ὅπερ ἐστὶν ἀληθῶς αὐτὸ φύσει τὸ ποθούμενον γέγονε, μήτε τι πεπονθὼς εἰς τὴν ἰδίαν οὐσίαν πρὸς τῆς ἀφθέγκτου κενώσεως, μήτε τι τῆς ἀνθρωπίνης διὰ τὴν ἀπόρρητον πρόσληψιν ἀμείψας ἢ μειώσας τὸ σύνολον φύσεως, ὧν ὁ λογος κυρίως αὐτῆς καθέστηκε σύστασις.

«Ὑπὲρ ἀνθρώπους», ὅτι θεϊκῶς ἀνδρὸς χωρὶς «καὶ κατὰ ἀνθρώπους», ἀνθρωπικῶς ὅτι νόμῳ κυήσεως. «Ἐκ τῆς ἀνθρώπων οὐσίας ὁ ὑπερούσιος οὐσιωμένος»· οὐ γὰρ ψιλὴν μόνην ἐφάντασεν ἡμῖν ἐν ἑαυτῷ τὴν ἐν εἴδει σαρκὸς διαμόρφωσιν, κατὰ τοὺς τῶν Μανιχαίων λήρους, ἢ σάρκα συνουσιωμένην

ποὺ δὲν θὰ κάνει κανένας λάθος ἂν τὴ χαρακτηρίσει φυσικὴ ἐνέργεια, ποὺ τὴν χαρακτηρίζει κύρια καὶ ἀρχικά, ἐπειδὴ εἶναι κίνηση εἰδοποιός, κίνηση γενικότατη ὅλης τῆς περιεκτικῆς ἰδιότητας ποὺ κατὰ τρόπο φυσικὸ ὑπάρχει σ' αὐτήν, χωρὶς τὴν ὁποία ὑπάρχει μονάχα τὸ μὴ ὄν, γιατὶ τὸ μὴ ὂν μονάχα, σύμφωνα μὲ τὸ μεγάλο αὐτὸ δάσκαλο, δὲν ἔχει καθόλου οὔτε κίνηση οὔτε ὕπαρξη.

Διδάσκει λοιπὸν ὁλοκάθαρα ὅτι ὁ Θεὸς ὅταν σαρκώθηκε δὲν ἀρνήθηκε κανένα ἀπολύτως ἀπὸ τὰ δικά μας στοιχεῖα, ἐκτὸς ἀπὸ τὴν ἁμαρτία, ποὺ ἐξάλλου δὲν ἀνῆκε στὴ φύση μας, ἀποκαλώντας τον σαφέστατα ὄχι ἁπλῶς ἄνθρωπο, ἀλλὰ σὲ ὅλη του τὴν οὐσία ἄνθρωπο ἀληθινά. Ἰσχυριζόμενος μὲ ὅσα προσθέτει ὅτι καὶ ἡ κλήση εἶναι κυρίως δική του μετὰ τὴν ἐνανθρώπησή του, λέει· «Ἐμεῖς δὲν διαστέλλομε τὸν Ἰησοῦ σὰν ἄνθρωπο». Γιατὶ δὲν ἀποφαινόμαστε πὼς εἶναι ἁπλὸς ἄνθρωπος, διασπώντας τὴν ὑπέρνοη ἕνωση. Γιατὶ ὡς πρὸς τὴν οὐσία μας καὶ ὄχι ἐπειδὴ εἶναι αἰτία τῶν ἀνθρώπων τοῦ ἀποδίδομε τὸ ὄνομα ἄνθρωπος, στὸν ἴδιο τὸ Θεὸ ποὺ ἔλαβε ἀληθινὰ τὴ δική μας οὐσία. Δὲν εἶναι δηλαδὴ ἄνθρωπος μόνο, ἀλλὰ εἶναι ὁ ἴδιος καὶ Θεός. «Κι οὔτε ὑπερούσιος μόνο εἶναι», γιατὶ ὁ ἴδιος εἶναι καὶ ἄνθρωπος, ἀφοῦ δὲν εἶναι ἁπλὸς ἄνθρωπος οὔτε γυμνὸς (καθαρὸς) Θεός, «ἀλλὰ εἶναι ἀληθινὰ ἄνθρωπος ὁ ἐξαιρετικὰ φιλάνθρωπος». Γιατὶ ἀπὸ ἀπέραντο πόθο πρὸς τοὺς ἀνθρώπους ἔγινε ἀληθινὰ τὸ ἴδιο τὸ ποθούμενο ὅπως ἦταν στὴ φύση του, χωρὶς νὰ πάθει τίποτε στὴ δική του οὐσία ἀπὸ τὴν ἀνείπωτη κένωσή του, οὔτε νὰ λάβει ὡς ἀντάλλαγμα κάτι ἀπὸ τὴν ἀνθρώπινη φύση γιὰ τὴν ἀπόρρητη πρόσληψή της, οὔτε νὰ μειώσει καθόλου τὴ φύση του, ποὺ ἡ ἀναλογία τους στάθηκε κυρίως ἡ σύστασή του.

«Πάνω ἀπὸ τοὺς ἀνθρώπους» ἐπειδὴ ἔγινε θεϊκὰ χωρὶς μεσολάβηση ἀνδρὸς καὶ «σύμφωνα μὲ τοὺς ἀνθρώπους», κατὰ τὸν ἀνθρώπινο νόμο, ἐπειδὴ γεννήθηκε μὲ κύηση. «Ὁ ὑπερούσιος οὐσιώθηκε ἀπὸ τὴν ἀνθρώπινη οὐσία»· δὲν ἔδειξε δηλαδὴ στὴ φαντασία μας μιὰ πλασματικὴ διαμόρφωσή του σ' ἕνα εἶδος σάρκας, σύμφωνα μὲ τὴ φλυαρία τῶν Μανιχαίων, οὔτε ἔφερε κα-

*οὐρανόθεν ἑαυτῷ συγκατήγαγε, κατὰ τοὺς Ἀπολιναρίου μύθους, ἀλλ' αὐτὸ κατ' οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος γεγονώς, προσλήψει δηλονότι σαρκὸς νοερῶς ἐψυχωμένης, ἑνωθείσης αὐτῷ καθ' ὑπόστασιν.*

*«Ἔστι δὲ οὐδὲν ἧττον ὑπερουσιότητος ὑπερπλήρης ὁ ἀεὶ ὑπερούσιος». Οὐ γὰρ ὑπεζεύχθη τῇ φύσει γενόμενος ἄνθρωπος, τοὐναντίον δὲ μᾶλλον συνεπῆρεν ἑαυτῷ τὴν φύσιν, ἕτερον αὐτὴν ποιήσας μυστήριον, αὐτὸς δὲ μείνας παντάπασιν ἄληπτος, καὶ τὴν οἰκείαν σάρκωσιν λαχοῦσαν γένεσιν ὑπερούσιον μυστηρίου παντὸς δείξας ἀληπτοτέραν, τοσοῦτον καταληπτὸς δι' αὐτὴν γεγονώς, ὅσον πλέον ἐγνώσθη δι' αὐτῆς ἀληπτότερος. «Κρύφιος γάρ ἐστι καὶ μετὰ τὴν ἔκφανσιν», φησὶν ὁ διδάσκαλος, «ἤ, ἵνα τὸ θειότερον εἴπω, καὶ ἐν τῇ ἐκφάνσει. Καὶ τοῦτο γὰρ Ἰησοῦ κέκρυπται, καὶ οὐδενὶ λόγῳ, οὐδὲ νῷ τὸ κατ' αὐτὸν ἐξῆκται μυστήριον, ἀλλὰ καὶ λεγόμενον ἄρρητον μένει, καὶ νοούμενον, ἄγνωστον». Τί τούτου πρὸς ἀπόδειξιν θείας ὑπερουσιότητος γένοιτ' ἂν ἀποδεικτικώτερον, ἐκφάνσει τὸ κρύφιον καὶ λόγῳ τὴν ἀφασίαν καὶ νῷ δηλούσης τὴν καθ' ὑπεροχὴν ἀγνωσίαν, καὶ τὸ δὴ μεῖζον εἰπεῖν, οὐσιώσει τὸ ὑπερούσιον; «Ἀμέλει τῇ ταύτης περιουσίᾳ καὶ εἰς οὐσίαν ἀληθῶς ἐλθὼν ὑπὲρ οὐσίαν οὐσιώθη»· τοὺς νόμους δηλαδὴ καινοτομήσας τῆς κατὰ φύσιν γενέσεως, καὶ δίχα τῆς ἐξ ἀνδρὸς ἐν εἴδει σπορᾶς ἀληθῶς γενόμενος ἄνθρωπος. Καὶ δηλοῖ Παρθένος αὐτὸν ὑπερφυῶς κύουσα τὸν ὑπερούσιον Λόγον χωρὶς ἀνδρὸς ἐκ τῶν αὐτῆς παρθενικῶν αἱμάτων ἀθρωπικῶς, ξένῳ παρὰ τὴν φύσιν θεσμῷ, διαπλαττόμενον.*

*«Καὶ ὑπὲρ ἄνθρωπον ἐνήργει τὰ ἀνθρώπου»· τὴν τῶν στοιχείων ἀπαθῶς καινοτομήσας φύσιν ταῖς βάσεσι. Καὶ δηλοῖ σαφῶς ὕδωρ ἄστατον, ὑλικῶν καὶ γεηρῶν ποδῶν ἀνέχον βάρος καὶ μὴ ὑπεῖκον, ἀλλ' ὑπερφυεῖ δυνάμει πρὸς τὸ ἀδιάχυτον*

---

2. Ἡ ἀδυναμία γνώσης τοῦ ὄντος ποὺ ὑπερβαίνει τὴ γνώση.

τεβαίοντας ἀπὸ τὸν οὐρανὸ σάρκα συνουσιωμένη μαζί του, σύμφωνα μὲ τὰ μυθολογήματα τοῦ 'Απολιναρίου, ἀλλὰ ἔγινε αὐτὸ ἀκριβῶς μὲ ὅλη τὴν οὐσία, ἄνθρωπος ἀληθινά, μὲ τὴν πρόσληψη δηλαδὴ σάρκας ποὺ εἶχε ψυχὴ καὶ νοῦ, ποὺ ἑνώθηκε μαζί του σὲ ὑπόσταση.

«Δὲν εἶναι ὅμως καθόλου λιγότερο ὑπερπλήρης ἀπὸ ὑπερουσιότητα ὁ ὑπερούσιος». Δὲν ὑποτάχθηκε δηλαδὴ στὴ φύση ὅταν ἔγινε ἄνθρωπος, ἀλλὰ μᾶλλον ἔγινε τὸ ἀντίθετο· συνεπῆρε μαζί του καὶ τὴ φύση, δημιουργώντας μ' αὐτὴν ἄλλο μυστήριο, ἐνῶ αὐτὸς παρέμεινε τελείως ἀσύλληπτος, δείχνοντας ἀκόμα πιὸ ἀσύλληπτη ἀπὸ κάθε ἄλλο μυστήριο τὴ σάρκωσή του ποὺ τῆς ἔλαχε ὑπερούσια γέννηση, κι ἔγινε τόσο καταληπτὸς χάρη σ' αὐτήν, ὅσο μὲ αὐτὴν ἔγινε γνωστὸ ὅτι ἦταν ἀκόμα πιὸ ἀκατάληπτος. «Παραμένει κρυμμένος καὶ μετὰ τὴ φανέρωσή του», λέει ὁ δάσκαλος, «ἤ, γιὰ νὰ πῶ τὸ θεϊκότερο, καὶ μέσα στὴ φανέρωσή του. Γιατὶ κι αὐτὸ τοῦ Ἰησοῦ εἶναι ἀπόκρυφο καὶ μὲ κανένα λόγο οὔτε μὲ καμμιὰ ἔννοια δὲν ἐξηγήθηκε τὸ μυστήριό του, ἀλλά κι ὅταν λέγεται μένει ἄρρητο κι ὅταν νοεῖται μένει ἄγνωστο. Ποιά μεγαλύτερη ἀπὸ αὐτὴν ἀπόδειξη ὑπάρχει τῆς θείας ὑπερουσιότητας, ποὺ δηλώνει μὲ τὴ φανέρωσή της τὴν κρυφιότητα καὶ μὲ λόγο τὴν ἀφασία καὶ μὲ τὸ νοῦ τὴν ὑπεροχικὴ ἀγνωσία[2], καί, γιὰ νὰ πῶ τὸ μεγαλύτερο, μὲ τὴν οὐσίωσή του τὴν ὑπερουσιότητά του; «Χωρὶς ἀμφιβολία μὲ τὴν ἀφθονία της κι ἐνῶ ἦρθε ἀληθινὰ στὴν οὐσία, οὐσιώθηκε πάνω ἀπὸ τὴν οὐσία»· ἔδωσε δηλαδὴ νέα τροπὴ στοὺς νόμους τῆς φυσικῆς γέννησης καὶ ἔγινε ἄνθρωπος χωρὶς τὴ μορφὴ σπορᾶς ἐκ μέρους ἀνδρός. Καὶ τὸ φανερώνει αὐτὸ ἡ Παρθένος ποὺ ἐκύησε πάνω ἀπὸ τὴ φύση τὸν ὑπερούσιο Λόγο, χωρὶς μεσολάβηση ἄνδρα, σὰν ἄνθρωπο μὲ τὰ παρθενικά της αἵματα κι ἐκεῖνος διαπλάστηκε μὲ ξένο θεσμὸ παραφύση.

«Καὶ πάνω ἀπὸ ἄνθρωπο ἐνεργοῦσε τὰ ἀνθρώπινα», μεταβάλλοντας χωρὶς νὰ μεταβληθεῖ ὁ ἴδιος τὴ φύση τῶν στοιχείων π.χ. μὲ τὰ πόδια του. Καὶ τὸ δείχνει τοῦτο μὲ σαφήνεια τὸ ἄστατο νερὸ ποὺ σηκώνει τὸ βάρος τῶν ποδιῶν χωρὶς νὰ ὑποχωρεῖ μὲ

*συνιστάμενον· εἴπερ ἀληθῶς ἀβρόχοις ποσί, σωματικὸν ὄγκον ἔχουσι, καὶ ὕλης βάρος, τὴν ὑγρὰν καὶ ἄστατον οὐσίαν μεταβατικῶς ἐπεπόρευτο, περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπ᾽ ἐδάφους, καὶ τῇ δυνάμει τῆς ἑαυτοῦ θεότητος ἀχωρίστως διὰ τῆς μεταβάσεως συνεκφαίνων τῆς οἰκείας σαρκὸς τὴν κατὰ φύσιν ἐνέργειαν· εἴπερ φύσει ταύτης ἡ μεταβατικὴ καθέστηκε κίνησις, ἀλλ᾽ οὐ τῆς ἡνωμένης αὐτῇ καθ᾽ ὑπόστασιν ὑπεραπείρου καὶ ὑπερουσίου θεότητος. Ἅπαξ γὰρ ἀνθρωπικῶς οὐσιωθεὶς ὁ ὑπερούσιος Λόγος μετὰ τῆς ἀνθρωπίνης οὐσίας ἀμείωτον εἶχεν, ὡς ἰδίαν αὐτοῦ, καὶ τὴν γενικῶς αὐτὸν ὡς ἄνθρωπον χαρακτηρίζουσαν τῆς οὐσίας κίνησιν πᾶσιν οἷς ὡς ἄνθρωπος ἐνήργει φυσικῶς εἰδοποιουμένην· εἴπερ ἀληθῶς γέγονεν ἄνθρωπος, ἀναπνέων, λαλῶν, βαδίζων, χεῖρας κινῶν, προσφυῶς ταῖς αἰσθήσεσι χρώμενος εἰς ἀντίληψιν τῶν αἰσθητῶν, πεινῶν, διψῶν, ἐσθίων, ὑπνῶν, κοπιῶν, δακρύων, ἀγωνιῶν, καίτοι δύναμις ὢν αὐθυπόστατος, καὶ τὰ λοιπὰ πάντα οἷς αὐτουργικῶς ψυχῆς δίκην φυσικῶς τὸ συμφυὲς σῶμα κινούσης, τὴν προσληφθεῖσαν φύσιν κινῶν ὡς αὐτοῦ καὶ γενομένην ἀληθῶς καὶ λεγομένην, ἢ κυρίως εἰπεῖν, αὐτὸς δίχα τροπῆς τοῦθ᾽ ὅπερ ἐστὶ πραγματικῶς ἡ φύσις γενόμενος ἀφαντάστως τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πεπλήρωκεν.*

*Οὐκ ἀνεῖλεν οὖν τὴν συστατικὴν τῆς προσληφθείσης οὐσίας ἐνέργειαν, ὥσπερ οὐδ᾽ αὐτὴν τὴν οὐσίαν ὁ διδάσκαλος, εἰπών, «Ὑπὲρ οὐσίαν οὐσιώθη, καὶ ὑπὲρ ἄνθρωπον ἐνήργει τὰ ἀνθρώπου», ἀλλ᾽ ἔδειξεν ἐπ᾽ ἀμφοῖν τὴν καινότητα τῶν τρόπων ἐν τῇ μονιμότητι τῶν φυσικῶν σωζομένην λόγων, ὧν χωρὶς οὐδὲν τῶν ὄντων ἐστὶν ὅπερ ἐστίν. Εἰ δὲ φῶμεν, ὡς τῆς μὲν προσληφθείσης οὐσίας θέσις, τῆς δὲ συστατικῆς αὐτῆς ἐνεργείας ἀφαίρεσις, ἡ καθ᾽ ὑπεροχήν ἐστιν ἀπόφασις, τίνι λόγῳ τὴν αὐτὴν ἐπ᾽ ἀμφοῖν ἴσως τεθεῖσαν, τῆς μὲν ὕπαρξιν, τῆς*

ὑπερφυσικὴ δύναμη, ἀλλὰ νὰ πυκνώνει καὶ νὰ μένει ἀδιάσπαστο, ἀφοῦ ἀληθινὰ χωρὶς νὰ βρέξει τὰ πόδια, ποὺ ἔχουν σωματικὸ ὄγκο καὶ ὑλικὸ βάρος, πήγαινε βαδίζοντας πάνω στὴν ὑγρὴ καὶ ἄστατη οὐσία, περπατώντας πάνω στὴ θάλασσα σὰ νὰ ἦταν ἔδαφος καὶ μὲ τὴ δύναμη τῆς θεότητάς του φανέρωνε ταυτόχρονα μὲ τὸ βάδισμά του ἐπάνω στὸ νερὸ τὴν ἀχώριστη φυσικὴ ἐνέργεια τῆς σάρκας του, ἐφόσον βέβαια ἡ μεταβατικὴ κίνηση εἶναι κίνηση τῆς σάρκας κι ὄχι τῆς ὑπεράπειρης καὶ ὑπερούσιας θεότητας ποὺ εἶναι ἑνωμένη μαζί της σὲ μιὰ ὑπόσταση. Γιατὶ ἔχοντας λάβει ὁ ὑπερούσιος Λόγος τὴν ἀνθρώπινη οὐσία, μαζὶ μὲ τὴν ἀνθρώπινη οὐσία εἶχε ἀμείωτη, σὰν τελείως δική του, καὶ τὴν κίνηση τῆς οὐσίας, ποὺ τὸν χαρακτήριζε γενικὰ σὰν ἄνθρωπο καὶ ποὺ συγκεκριμενοποιόταν φυσικὰ σὲ ὅλα ὅσα ἐνεργοῦσε σὰν ἄνθρωπος, ἀφοῦ ἔγινε ἀληθινὰ ἄνθρωπος, ἀναπνέοντας, μιλώντας, βαδίζοντας, χειρονομώντας, χρησιμοποιώντας κατάλληλα τὶς αἰσθήσεις γιὰ νὰ ἀντιλαμβάνεται τὰ αἰσθητά, πεινώντας, διψώντας, τρώγοντας, κοιμούμενος, κοπιάζοντας, δακρύζοντας, ἀγωνιώντας, ἂν καὶ βέβαια ἦταν δύναμη αὐτοϋπόστατη καὶ κάνοντας αὐτοδύναμα ὅλα τὰ ὑπόλοιπα, μὲ τὰ ὁποῖα ὅπως ἡ ψυχὴ κινεῖ φυσικὰ τὸ σύμφωνο σῶμα, κινώντας τὴ φύση ποὺ ἔχει προσλάβει ἀφοῦ ἔγινε καὶ λέγεται δική του, ἤ, γιὰ νὰ κυριολεκτήσω, ἀφοῦ ὁ ἴδιος ἔγινε χωρὶς μεταβολὴ καὶ χωρὶς νὰ μποροῦμε νὰ φανταστοῦμε αὐτὸ ποὺ εἶναι ἡ φύση μας πραγματικὰ ἐκπληρώνοντας τὴ γιὰ χάρη μας οἰκονομία.

Δὲν ἀναίρεσε λοιπὸν τὴν ἐνέργεια ποὺ συνιστᾶ τὴν οὐσία ποὺ εἶχε προσλάβει, ὅπως οὔτε καὶ τὴν ἴδια τὴν οὐσία ὁ δάσκαλος λέγοντας· «Οὐσιώθηκε πάνω ἀπὸ τὴν οὐσία κι ἐνεργοῦσε τὰ ἀνθρώπινα πάνω ἀπὸ τὸν ἄνθρωπο, ἀλλὰ ἔδειξε καὶ στὰ δύο τὴν ἐφαρμογὴ νέων τρόπων ποὺ σώζεται στὴ μονιμότητα τῶν φυσικῶν λόγων, ποὺ δίχως αὐτοὺς κανένα ἀπὸ τὰ ὄντα δὲν εἶναι αὐτὸ ποὺ εἶναι. Ἂν ὅμως ποῦμε ὅτι θέση τῆς οὐσίας ποὺ ἔχει προσληφθεῖ καὶ ἀφαίρεση τῆς συστατικῆς της ἐνέργειας εἶναι ἡ ὑπεροχικὴ ἀποφατικὴ διατύπωση, μὲ ποιό λόγο θὰ δείξομε ὅτι αὐτὴ ποὺ ἔχει τεθεῖ ἐξίσου καὶ γιὰ τὶς δύο σημαίνει ὕπαρξη τῆς μιᾶς

*δὲ πάντως ἀναίρεσιν σημαίνουσαν δείξομεν; Ἢ πάλιν ἐπείπερ οὐκ αὐτοκίνητος ἡ προσληφθεῖσα φύσις ἐστίν, ὑπὸ τῆς ἡνωμένης αὐτῇ καθ' ὑπόστασιν ἀληθῶς κινουμένη θεότητος, καὶ τὴν συστατικὴν αὐτῆς ἀφαιρούμεθα κίνησιν, μηδ' αὐτὴν τὴν οὐσίαν ὁμολογήσομεν, οὐκ αὐθυπόστατον φανεῖσαν, τουτέστι καθ' ἑαυτήν, ἀλλ' ἐν αὐτῷ τῷ κατ' ἀλήθειαν αὐτὴν οὐσιωθέντι Θεῷ Λόγῳ τὸ εἶναι λαβοῦσαν, ἴσην ἐπ' ἀμφοῖν τὴν αἰτίαν ἔχοντες τῆς παραιτήσεως, ἢ καὶ τὴν κίνησιν τῇ φύσει συνομολογήσομεν, ἧς χωρὶς οὐδὲ φύσις ἐστί, γινώσκοντες ὡς ἕτερος μὲν ὁ τοῦ εἶναι λόγος ἐστίν, ἕτερος δὲ ὁ τοῦ πῶς εἶναι τρόπος, ὁ μὲν τὴν φύσιν, ὁ δὲ τὴν οἰκονομίαν πιστούμενος. Ὧν ἡ σύνοδος τὸ μέγα τῆς ὑπερφυοῦς Ἰησοῦ φυσιολογίας ποιησαμένη μυστήριον σωζομένην ἔδειξεν ἐν ταυτῷ τὴν διαφορὰν τῶν ἐνεργειῶν καὶ τὴν ἕνωσιν, τὴν μὲν ἀδιαιρέτως ἐν τῷ φυσικῷ θεωρουμένην λόγῳ τῶν ἡνωμένων, τὴν δὲ ἀσυγχύτως ἐν τῷ μοναδικῷ γνωριζομένην τρόπῳ τῶν γινομένων.*

*Τί γὰρ καὶ τίς, ποῦ τε καὶ πῶς φύσις ἔσται συστατικῆς ἔρημος γενομένη δυνάμεως; Τὸ γὰρ καθόλου μηδὲ μίαν ἔχον δύναμιν οὔτε ἔστιν, οὔτε τί ἐστιν, οὔτε ἔστι τις αὐτοῦ παντελῶς θέσις, φησὶν ὁ πολὺς οὗτος διδάσκαλος. Εἰ δὲ τούτων λόγος οὐδείς, εὐσεβῶς ὁμολογεῖσθαι χρὴ τάς τε τοῦ Χριστοῦ φύσεις, ὧν αὐτὸς ὑπόστασις ἦν, καὶ τὰς αὐτοῦ φυσικὰς ἐνεργείας, ὧν αὐτὸς ἕνωσις ἦν ἀληθής, κατ' ἄμφω τὰς φύσεις, εἴπερ ἑαυτῷ προσφυῶς, μοναδικῶς, ἤγουν ἑνοειδῶς, ἐνεργῶν, καὶ διὰ πάντων ἀχωρίστως τῇ θεϊκῇ δυνάμει συνεκφαίνων τῆς οἰκείας σαρκὸς τὴν ἐνέργειαν. Πῶς γὰρ ἔσται φύσει Θεός, καὶ φύσει πάλιν ἄνθρωπος ὁ αὐτός, οὐκ ἔχων ἀνελλιπῶς τὸ φύσει κατ' ἄμφω πεφυκός; Τί τε καὶ τίς ὑπάρχων γνωσθήσεται, μὴ πιστούμενος οἷς ἐνήργει φυσικῶς, ὅπερ ἐστὶ μὴ τρεπόμενον; Πῶς*

---

3. Ἄλλος ὁ λόγος καὶ ἄλλος ὁ τρόπος τοῦ εἶναι. Ὁ πρῶτος δηλώνει τὸ νόημα τοῦ εἶναι, ἐνῶ ὁ δεύτερος τὸ πῶς μιὰ ὕπαρξη ἐκδηλώνεται καὶ συγκεκριμε-

καὶ ὁπωσδήποτε ἀναίρεση τῆς ἄλλης; Ἢ πάλι ἡ φύση ποὺ ἔχει προσληφθεῖ δὲν εἶναι αὐτοκίνητη, ἀλλὰ τὴν κινεῖ ἡ θεότητα ποὺ ἔχει ἑνωθεῖ σὲ ὑπόσταση μαζί της ἀληθινὰ καὶ ἂν ἀφαιρέσομε τὴν κίνηση ποὺ ἀποτελεῖ συστατικὴ ἰδιότητα της, δὲ θὰ ὁμολογήσομε οὔτε τὴν ἴδια τὴν οὐσία ποὺ φανερώθηκε ὅτι δὲν εἶναι αὐτοϋπόστατη, δηλαδὴ δὲν ὑπάρχει ἀπὸ μόνη της, ἀλλὰ ἔλαβε τό εἶναι μέσα στὸν Θεὸ Λόγο ποὺ ἔλαβε ἀληθινὰ τὴν οὐσία της, ἔχοντας ἴση καὶ γιὰ τὶς δύο αἰτία γιὰ νὰ τὴ ζητοῦμε, ἢ θὰ συνομολογήσομε καὶ τὴν κίνηση στὴ φύση, ποὺ χωρὶς αὐτὴν δὲν ὑπάρχει οὔτε ἡ φύση, γνωρίζοντας ὅτι ἄλλος εἶναι ὁ λόγος τοῦ εἶναι καὶ ἄλλος ὁ τρόπος τῆς συγκεκριμένης ὕπαρξης, καὶ ὁ ἕνας πιστοποιεῖ τὴ φύση, ἐνῶ ὁ ἄλλος τὴν οἰκονομία[3]. Ἡ συνένωση αὐτῶν ἀποτελώντας τὸ μέγα μυστήριο τῆς ὑπερφυσικῆς συγκρότησης τῆς φύσης τοῦ Ἰησοῦ ἔδειξε ταυτόχρονα τὴ διαφορὰ τῶν ἐνεργειῶν καὶ τὴν ἕνωση· τὴ μία τὴ βλέπομε ἀδιαίρετη στὸ φυσικό λόγο τῶν δυνάμεων ποὺ ἑνώθηκαν, καὶ τὴν ἄλλη τὴ γνωρίζομε ἀσύγχυτη στὸ μοναδικὸ τρόπο ὅσων γίνονται.

Τί εἶναι δηλαδὴ καὶ τί λογῆς εἶναι, ποῦ καὶ πῶς ὑπάρχει μιὰ φύση, ποὺ ἀπουσιάζει ἀπὸ αὐτὴν ἡ δύναμη ποὺ τὴ συνιστᾶ; Γιατὶ τὸ καθόλου (γενικό), ἐπειδὴ δὲν ἔχει καμμιὰ δύναμη, οὔτε κᾶν ὑπάρχει οὔτε εἶναι κάτι, οὔτε μπορεῖ νὰ τεθεῖ κατὰ ὁποιοδήποτε τρόπο, μᾶς λέει αὐτὸς ὁ μεγάλος δάσκαλος. Κι ἂν γι' αὐτὰ δὲν μπορεῖ νὰ γίνει κανένας λόγος, πρέπει νὰ ὁμολογήσομε μ' εὐσέβεια καὶ τὶς φύσεις τοῦ Χριστοῦ ποὺ αὐτὸς ἀποτελοῦσε ὑπόστασή τους καὶ τὶς φυσικὲς ἐνἔργειἔς του, ποὺ ἀποτελοῦσε ὁ ἴδιος ἀληθινὴ ἕνωσή τους καὶ στὶς δύο του φύσεις, ἂν ἀνάλογα μὲ τόν ἑαυτό του, ἐνεργοῦσε μόνος του, δηλαδὴ ἑνιαία, καὶ σὲ ὅλα φανέρωνε ἀχώριστη ἀπὸ τὴ θεϊκὴ δύναμη τὴν ἐνέργεια τῆς σάρκας του. Πῶς δηλαδὴ θὰ εἶναι Θεὸς φύσει καὶ πάλι ἄνθρωπος φύσει ὁ ἴδιος, ἂν τοῦ λείπει τὸ φυσικὸ συστατικὸ κάθε μιᾶς φύσης; Καὶ τί θ' ἀναγνωρίσομε πῶς εἶναι καὶ τί λογῆς, ἂν δὲν πιστοποιεῖται μὲ τὶς φυσικές του ἐνέργειες αὐτὸ ποὺ χωρὶς τροπὴ εἶναι; Καὶ

νοποιεῖται.

*δὲ πιστώσεται καθ' ἓν τῶν ἐξ ὧν, ἐν οἷς τε καὶ ἅπερ ἐστὶν ἀκίνητος μένων καὶ ἀνενέργητος;*

*Ὑπὲρ οὐσίαν οὖν οὐσιώθη, γενέσεως ἀρχὴν καὶ γεννήσεως ἑτέραν τῇ φύσει δημιουργήσας, συλληφθεὶς μὲν σπορᾷ τῆς οἰκείας σαρκός, τεχθεὶς δὲ σφραγὶς τῆς παρθενίας τῇ τεκούσῃ γενόμενος, καὶ τῶν ἀμίκτων ἐπ' αὐτῆς τὴν ἀντίφασιν δείξας συναληθεύουσαν. Ἡ γὰρ αὐτὴ καὶ παρθένος καὶ μήτηρ, καινοτομοῦσα τὴν φύσιν τῇ συνόδῳ τῶν ἀντικειμένων, εἴπερ τῶν ἀντικειμένων παρθενία καὶ γέννησις, ὧν ἐκ φύσεως οὐκ ἄν τις ἐπινοηθήσεται σύμβασις. Διὸ καὶ Θεοτόκος ἀληθῶς ἡ Παρθένος, ὑπερφυῶς δίκην σπορᾶς συλλαβοῦσά τε καὶ τεκοῦσα τὸν ὑπερούσιον Λόγον, ἐπείπερ τοῦ σπαρέντος τε καὶ συλληφθέντος κυρίως ἡ τίκτουσα μήτηρ.*

*Καὶ ὑπὲρ ἄνθρωπον ἐνήργει τὰ ἀνθρώπου, κατ' ἄκραν ἕνωσιν δίχα τροπῆς συμφυεῖσαν δεικνὺς τῇ θεϊκῇ δυνάμει τὴν ἀνθρωπίνην ἐνέργειαν· ἐπειδὴ καὶ ἡ φύσις ἀσυγχύτως ἑνωθεῖσα τῇ φύσει δι' ὅλου περικεχώρηκε, μηδὲν ἀπόλυτον παντάπασιν ἔχουσα, καὶ τῆς ἡνωμένης αὐτῇ καθ' ὑπόστασιν κεχωρισμένον θεότητος. Ὑπὲρ ἡμᾶς γὰρ ἀληθῶς τὴν ἡμῶν οὐσίαν οὐσιωθεὶς ὁ ὑπερούσιος Λόγος συνῆψε τῇ καταφάσει τῆς φύσεως καὶ τῶν αὐτῆς φυσικῶν καθ' ὑπεροχὴν τὴν ἀπόφασιν, καὶ γέγονεν ἄνθρωπος, τὸν ὑπὲρ φύσιν τοῦ πῶς εἶναι τρόπον ἔχον συνημμένον τῷ τοῦ εἶναι λόγῳ τῆς φύσεως, ἵνα καὶ τὴν φύσιν πιστώσηται τῇ τῶν τρόπων καινότητι, μὴ δεχομένην κατὰ τὸν λόγον ἀλλοίωσιν, καὶ δείξῃ τὴν ὑπεράπειρον δύναμιν ὡσαύτως κἀν τῇ τῶν ἐναντίων γενέσει γνωριζομένην· ἀμέλει ἐξουσίᾳ γνώμης ἔργα πεποιηκὼς τὰ πάθη τῆς φύσεως, ἀλλ' οὐχ ὡς ἡμεῖς ἀνάγκης ἀποτελέσματα φυσικῆς, ἔμπαλιν ἢ ἐφ' ἡμῶν ἔχει, τὸ καθ' ἡμᾶς φύσει παθητὸν διεξῆλθεν, ἐξουσίᾳ γνώμῃ κι-*

πῶς θὰ πιστοποιηθεῖ σὲ καθένα ἀπὸ τὰ στοιχεῖα ἀπὸ τὰ ὁποία προέρχεται, ἂν μένει στὰ συστατικά του στοιχεῖα ποὺ τὸν ἀποτελοῦν ἀκίνητος καὶ ἀνενεργός;

Οὐσιώθηκε λοιπὸν πάνω ἀπὸ τὴν οὐσία, δημιουργώντας στὴ φύση ἄλλη ἀρχὴ δημιουργίας καὶ γένεσης. Ἡ σύλληψή του ἔγινε μὲ σπορὰ ἀπὸ τὸν ἴδιο τῆς σάρκας του καὶ μὲ τὴ γέννησή του σφράγισε τὴν παρθενία τῆς μητέρας του, δείχνοντας μ' αὐτὴν νὰ καταργεῖται ἡ ἀντίφαση ἀνάμεσα στὰ ἀσυμβίβαστα. Γιατὶ ἡ ἴδια εἶναι καὶ παρθένος καὶ μητέρα, θέτοντας νέο νόμο στὴ φύση μὲ τὸ συμβιβασμὸ τῶν ἀντίθετων, ἀφοῦ ἡ παρθενία καὶ ἡ γέννηση εἶναι ἀπὸ τὰ ἀντίθετα καὶ γι' αὐτὸ δὲν μποροῦμε νὰ σκεφτοῦμε καμμιὰ φυσικὴ σύμπτωση. Γι' αὐτὸ καὶ ἀληθινὰ Θεοτόκος εἶναι ἡ Παρθένος, ἀφοῦ μὲ ὑπερφυσικὸ τρόπο σὰν ἀπὸ σπορὰ συνέλαβε καὶ γέννησε τὸν ὑπερούσιο Λόγο, ἐφόσον μητέρα ἐκείνου ποὺ ἔχει σπαρεῖ καὶ συλληφθεῖ εἶναι αὐτὴ ποὺ τὸν γεννᾶ.

Καὶ πάνω ἀπὸ ἄνθρωπο ἐνεργοῦσε τὰ ἀνθρώπινα, δείχνοντας σὲ τέλεια ἕνωση χωρὶς τροπὴ τὴν ἀνθρώπινη ἐνέργεια νὰ ἔχει συμφυεῖ μὲ τὴ θεϊκὴ δύναμη, ἐπειδὴ καὶ ἡ ἀνθρώπινη φύση ἑνωμένη ἀσύγχυτα μὲ τὴ θεία τὴν ἀγκάλιασε ἀπὸ παντοῦ καὶ δὲν ἔχει τίποτε ἀνεξάρτητο καὶ χωριστὸ ἀπὸ τὴν θεότητα τὴν ἑνωμένη μαζί της σὲ ὑπόσταση. Γιατὶ ἀληθινὰ πάνω ἀπὸ μᾶς ἀφοῦ οὐσιώθηκε μὲ τὴ δική μας οὐσία ὁ ὑπερούσιος Λόγος συνένωσε μὲ τὴν κατάφαση τῆς φύσης μας καὶ τῶν φυσικῶν γνωρισμάτων της τὴν καθ' ὑπεροχὴ ἀπόφαση κι ἔγινε ἄνθρωπος ἔχοντας τὸν ὑπερφυσικὸ τρόπο τοῦ συγκεκριμένου εἶναι ἑνωμένο μὲ τὸ φυσικὸ εἶναι, γιὰ νὰ ἐξασφαλίσει καὶ τὴ φύση μὲ τοὺς καινοὺς τρόπους καὶ νὰ μὴ δέχεται ἀλλοίωση στὴ φύση της, ἀλλὰ καὶ νὰ δείξει ὅτι ἡ ὑπεράπειρη δύναμη ἀναγνωρίζεται ἐπίσης καὶ στὴ γένεση τῶν ἀντίθετων. Βέβαια εἶχε μεταβάλει τὰ πάθη τῆς φύσης σὲ πράξεις αὐτεξούσιας γνώμης καὶ δὲν ἦταν ὅπως σ' ἐμᾶς ἀποτελέσματα ἀνάγκης, τὸ ἀντίθετο ἀπὸ ὅ,τι γίνεται σ' ἐμᾶς· πέρασε πέρα ὡς πέρα τὴν παθητότητα τῆς φύσης μας κι ἔδειξε αὐτεξούσια ὅτι σ'

*νητὸν δείξας ἐφ' ἑαυτοῦ τὸ πεφυκὸς ἐφ' ἡμῶν εἶναι γνώμης κινητικόν.*

*Ὅπερ τοῖς ἑξῆς σαφηνίζων φησὶν ὁ διδάσκαλος· «Τί ἄν τις τὰ λοιπὰ πάμπολλα ὄντα διέλθοι, δι' ὧν ὁ θείως ὁρῶν ὑπὲρ νοῦν γνώσεται καὶ τὰ ἐπὶ τῇ φιλανθρωπίᾳ τοῦ Ἰησοῦ καταφασκόμενα, δύναμιν ὑπεροχικῆς ἀποφάσεως ἔχοντα;». Τὰ γὰρ τῆς φύσεως πάντα μετὰ τῆς φύσεως κατὰ σύλληψιν ἄρρητον ὑποδὺς ὁ ὑπερούσιος Λόγος οὐδὲν εἶχεν ἀνθρώπινον φυσικῷ λόγῳ καταφασκόμενον, ὃ μὴ καὶ θεῖον ἦν, τρόπῳ τῷ ὑπὲρ φύσιν ἀποφασκόμενον. Ὧν ὑπὲρ νοῦν ὡς ἀναπόδεικτος ὑπῆρχεν ἡ γνῶσις, μόνην κατάληψιν ἔχουσα τὴν πίστιν τῶν γνησίως τὸ τοῦ Χριστοῦ σεβαζομένων μυστήριον. Οὗτινος, ὥσπερ συνοπτικὸν τὸν λόγον ἀποδιδούς, φησί· «Καὶ γάρ, ἵνα συνελόντες εἴπωμεν, οὐδὲ ἄνθρωπος ἦν», ὅτι φύσει τῆς κατὰ φύσιν ἀνάγκης ἄνετος ἦν, τῷ καθ' ἡμᾶς οὐχ ὑπαχθεὶς θεσμῷ τῆς γενέσεως. «Οὐχ ὡς μὴ ἄνθρωπος», ὅτι κατ' οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος ἦν, φύσει τῶν καθ' ἡμᾶς φυσικῶν ἀνεχόμενος, «ἀλλ' ὡς ἐξ ἀνθρώπων»· ἐπείπερ ἡμῖν ὁμοούσιος ἦν, ὅπερ ἡμεῖς κατὰ φύσιν ἄνθρωπος ὤν, «ἀνθρώπων ἐπέκεινα», καινότητι τρόπων, ὅπερ οὐχ ἡμεῖς, τὴν φύσιν περιγράφων.*

*«Καὶ ὑπὲρ ἄνθρωπον ἀληθῶς ἄνθρωπος γεγονώς», τοὺς ὑπὲρ φύσιν τρόπους καὶ τοὺς κατὰ φύσιν λόγους ἀλυμάντως ἔχων ἀλλήλοις συνημμένους, ὧν ἀμήχανος ἡ σύμβασις ἦν, αὐτὸς ᾧ μηδέν ἐστιν ἀμήχανον ἀληθὴς γενόμενος ἕνωσις μηδετέρῳ τὸ παράπαν ὧν ὑπόστασις ἦν θατέρου κεχωρισμένως ἐνεργῶν, δι' ἑκατέρου δὲ μᾶλλον πιστούμενος θάτερον· εἴπερ ἄμφω κατ' ἀλήθειαν ὢν ὡς μὲν Θεὸς τῆς ἰδίας ἦν κινητικὸς ἀνθρωπότητος, ὡς ἄνθρωπος δὲ τῆς οἰκείας ἐκφαντικὸς ὑπῆρχε θεότητος. Θεϊκῶς μέν, ἵν' οὕτως εἴπω, τὸ πάσχειν ἔχων,*

αὐτὸν ἦταν κινούμενο τῆς γνώμης του ἐκεῖνο ποὺ σ' ἐμᾶς ἦταν ἀπὸ τὴ φύση του κινητικὸ τῆς γνώμης.

Αὐτὸ ἀκριβῶς διασαφηνίζοντάς το ὁ δάσκαλος μὲ τὰ ἑπόμενα, λέει· «Ποιός μπορεῖ νὰ ἀναφέρει τὰ ὑπόλοιπα ποὺ εἶναι πάμπολλα; Μὲ αὐτὰ ὅποιος ἔχει ὅραση θεϊκὴ θὰ ἐννοήσει πέρα ἀπὸ τὸ νοῦ καὶ ὅσα καταφάσκονται καὶ γιὰ τὴ φιλανθρωπία τοῦ Ἰησοῦ καὶ ἔχουν σημασία ὑπεροχικῆς ἀπόφασης». Ὅλα δηλαδὴ τὰ γνωρίσματα τῆς φύσης μαζὶ μὲ τὴ φύση μας ἀφοῦ τὰ ἀνέλαβε κατὰ τὴν ἄρρητη σύλληψή του ὁ ὑπερούσιος Λόγος, δὲν εἶχε τίποτε ἀνθρώπινο ἀποδεκτὸ κατὰ φυσικὸ λόγο ποὺ νὰ μὴν εἶναι καὶ θεῖο καὶ νὰ μὴν ἀποφάσκεται μὲ τὸν ὑπερφυσικὸ τρόπο. Ἡ γνώση αὐτῶν τῶν πραγμάτων ἦταν ὑπέρνοη, ἀφοῦ ἦταν ἀναπόδεικτη καὶ μόνος δρόμος κατάληψής της ἦταν ἡ πίστη ἐκείνων ποὺ σέβονται γνήσια τὸ μυστήριο τοῦ Χριστοῦ, ποὺ ἀποδίδει συνοπτικὰ τὸ λόγο του καὶ λέει· «Καὶ γιὰ νὰ μιλήσομε περιληπτικά, δὲν ἦταν οὔτε ἄνθρωπος», ἐπειδὴ ἀπὸ τὴ φύση του ἦταν ἀδέσμευτος ἀπὸ τὴν ἀνάγκη τῆς φύσης, ἀφοῦ δὲν εἶχε ὑπεχθεῖ ὅπως ἐμεῖς στὸ νόμο τῆς γέννησης. «Ὄχι ἐπειδὴ δὲν ἦταν ἄνθρωπος», γιατὶ ἦταν κατὰ τὴν οὐσία ὁλοκληρωτικὰ ἄνθρωπος στ' ἀλήθεια καὶ δεχόταν στὴ φύση του ὅλα τὰ δικά μας φυσικὰ στοιχεῖα, «ἀλλὰ ἐπειδὴ προερχόταν ἀπὸ τοὺς ἀνθρώπους», γιατὶ ἦταν ὁμοούσιος μ' ἐμᾶς καὶ ἦταν ἄνθρωπος πέρα ἀπὸ τοὺς ἀνθρώπους», ὅ,τι ἐμεῖς εἴμαστε κατὰ φύση, καθορίζοντας τὴ φύση μὲ τὴν καινότητα τῶν τρόπων, πράγμα ποὺ δὲν συμβαίνει μὲ ἐμᾶς.

«Κι ἔγινε ἀληθινὰ ἄνθρωπος πάνω ἀπὸ ἄνθρωπο», συνάπτοντας μεταξύ τους τοὺς ὑπερφυσικοὺς τρόπους καὶ τοὺς φυσικοὺς λόγους χωρὶς ν' ἀλληλοεπηρεάζονται, ποὺ ὁ συμβιβασμός τους ἦταν ἀδύνατος, αὐτὸς γιὰ τὸν ὁποῖο δὲν ὑπάρχει ἀδύνατο, ἔγινε ἕνωση ἀληθινὴ καὶ δὲν ἐνεργοῦσε καθόλου χωριστὰ μὲ κάποιο ἀπὸ αὐτὰ ποὺ ἀποτελοῦν τὴν ὑπόστασή του, ἀλλὰ μᾶλλον μὲ καθένα ἀπὸ αὐτὰ βεβαίωνε τὸ ἄλλο, ἀφοῦ ἦταν στ' ἀλήθεια καὶ τὰ δύο· ὡς Θεὸς κινοῦσε τὴν ἀνθρώπινη φύση του καὶ ὡς ἄνθρωπος φανέρωνε τὴν ἴδια του τὴ θεότητα. Εἶχε θεϊκή, γιὰ νὰ πῶ ἔτσι,

*ἑκούσιον γάρ, ἐπεὶ μὴ ψιλὸς ἄνθρωπος ἦν, ἀνθρωπικῶς δὲ τὸ θαυματουργεῖν, διὰ σαρκὸς γάρ, ἐπεὶ μὴ γυμνὸς ὑπῆρχε Θεός. Ὡς εἶναι τὰ μὲν πάθη θαυμαστὰ τῇ κατὰ φύσιν θεϊκῇ δυνάμει τοῦ πάσχοντος καινιζόμενα, τὰ δὲ θαύματα παθητά, τῇ κατὰ φύσιν αὐτὰ θαυματουργοῦντος παθητικῇ δυνάμει συμπληρούμενα τῆς σαρκός. Ὅπερ εἰδὼς ὁ διδάσκαλός φησι· «Καὶ τὸ λοιπὸν οὐ κατὰ Θεὸν τὰ θεῖα δράσας», ὅτι μὴ μόνον θεϊκῶς κεχωρισμένα σαρκός, οὐ γὰρ ὑπερούσιος μόνον, οὔτε τὰ ἀνθρώπινα κατὰ ἄνθρωπον, ὅτι μὴ μόνον σαρκικῶς κεχωρισμένα θεότητος, οὐ γὰρ ἄνθρωπος μόνον, «ἀλλ' ἀνδρωθέντος Θεοῦ καινήν τινα τὴν «θεανδρικὴν» ἐνέργειαν ἡμῖν πεπολιτευμένος». Καὶ γὰρ προσλήψει σαρκὸς νοερῶς ἐψυχωμένης ἀληθῶς ἄνθρωπος γεγονώς, ὁ διαφερόντως φιλάνθρωπος, τὴν δὲ θεϊκὴν ἐνέργειαν καθ' ἕνωσιν ἄρρητον τῇ συμφυΐᾳ τῆς σαρκικῆς ἐσχηκὼς ἀνδρωθεῖσαν, τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πεπλήρωκε θεανδρικῶς, ἤγουν θεϊκῶς ἅμα καὶ ἀνδρικῶς τά τε θεῖα καὶ τὰ ἀνθρώπινα δράσας ἤ, σαφέστερον εἰπεῖν, θεϊκὴν ἐν ταυτῷ καὶ ἀνδρικὴν ἐνέργειαν πεπολιτευμένος.*

*Οὐκοῦν ἀποφάσει τῆς τῶν θείων καὶ ἀνθρωπίνων πρὸς ἄλληλα διαιρέσεως τὴν τῆς ἑνώσεως κατάφασιν ὁ σοφὸς ποιησάμενος τὴν φυσικὴν τῶν ἡνωμένων διαφορὰν οὐκ ἠγνόησεν· ἡ γὰρ ἕνωσις τὴν διαίρεσιν ἀπωσαμένη, τὴν διαφορὰν οὐκ ἐλώβησεν. Εἰ δὲ τῆς διαφορᾶς τὸν λόγον ὁ τῆς ἑνώσεως τρόπος ἔχει σωζόμενον, ἄρα περίφρασίς ἐστιν ἡ τοῦ ἁγίου φωνή, καταλλήλῳ κλήσει τοῦ διττοῦ τὴν φύσιν Χριστοῦ τὴν διττὴν παραδηλοῦντος ἐνέργειαν· εἴπερ φύσει τε καὶ ποιότητι κατ' οὐδένα τρόπον ἐκ τῆς ἑνώσεως ὁ τῶν ἡνωμένων οὐσιώδης μεμείωται λόγος. Ἀλλ' οὐχ ὥς τινι, ἀποφάσει τῶν ἄκρων τινὸς μέσου ποιουμένου κατάφασιν. Οὐκ ἔστι γάρ τι μέσον ἐπὶ Χριστοῦ, τῇ τῶν ἄκρων ἀποφάσει καταφασκόμενον. «Καινὴν μέν», ὡς καινοῦ μυστηρίου χαρακτηριστικήν, οὗ λόγος ἐστὶν ὁ ἀπόρρητος*

τὴν ἰδιότητα νὰ πάσχει, γιατὶ ἦταν κάτι ἑκούσιο, ἀφοῦ δὲν ἦταν ἁπλὸς ἄνθρωπος· καὶ ἀνθρώπινα εἶχε τὴν ἰδιότητα νὰ θαυματουργεῖ μέσω τῆς σάρκας, ἐπειδὴ δὲν ἦταν γυμνὸς Θεός. Ἔτσι ἦταν τὰ πάθη του θαυμαστὰ καὶ ἐγκαινιάζονταν μὲ τὴ φυσικὴ δύναμη ἐκείνου ποὺ τὰ ἔπασχε, ἐνῶ τὰ θαύματά του, δεμένα μὲ τὸ παθητό, πραγματοποιοῦνταν μὲ τὴ φυσική, παθητικὴ δύναμη τῆς σάρκας ἐκείνου ποὺ τὰ θαυματουργοῦσε. Αὐτὸ γνωρίζοντάς το ὁ δάσκαλος, λέει· «Καὶ στὸ ἑξῆς ἔπραξε τὰ θεῖα ὄχι ὡς Θεός»· δὲν ἦταν θεϊκὰ μόνο, χωρισμένα ἀπὸ τὴ σάρκα, γιατὶ δὲν ἦταν μόνο ὑπερούσιος, οὔτε ἔπραττε τὰ ἀνθρώπινα σὰν ἄνθρωπος, γιατὶ δὲν ἦταν μόνο σαρκικὰ χωρισμένα ἀπὸ τὴ θεότητα, γιατὶ δὲν ἦταν ἄνθρωπος μόνο, ἀλλὰ εἶχε παρουσιάσει σ' ἐμᾶς κάποια νέα ἐνέργεια «θεανδρική», δηλαδὴ «Θεοῦ ποὺ ἔγινε ἄνθρωπος». Γιατὶ μὲ τὴν πρόσληψη σάρκας, ἐμψυχωμένης ἀπὸ τὸ νοῦ, ἔγινε ἄνρθωπος ἀληθινά, ὁ ἐξαιρετικὰ φιλάνθρωπος, κι ἔχοντας τὴν ἐνανθρωπισμένη θεϊκὴ ἐνέργεια σὲ μιὰ ἄρρητα ἕνωση σύμφυτη μὲ τὴ σαρκική, ὁλοκλήρωσε θεανδρικὰ τὴν οἰκονομία του πρὸς ἐμᾶς, δηλαδὴ πράττοντας σὰν Θεὸς μαζὶ καὶ σὰν ἄθρωπος τὰ ἀνθρωπινα ἤ, γιὰ νὰ τὸ πῶ σαφέστερα, ἐκδηλωνοντας ταυτόχρονα θεϊκὴ καὶ ἀνθρώπινη ἐνέργεια.

Ἑπομένως μὲ τὴν ἄρνηση τῆς διαίρεσης ἀνάμεσα στὰ θεῖα καὶ τὰ ἀνθρώπινα, προχωρώντας στὴν κατάφαση τῆς ἕνωσης ὁ σοφὸς δὲν ἀγνόησε τὴ φυσικὴ διαφορὰ ἐκείνων ποὺ εἶχαν ἑνωθεῖ· ἀπωθώντας δηλαδὴ ἡ ἕνωση τὴ διαίρεση δὲν κατάργησε τὴ διαφορά. Ἐφόσον ὁ λόγος τῆς διαφορᾶς διασώζεται στὸν τρόπο τῆς ἕνωσης, ἄρα ὁ λόγος τοῦ ἁγίου εἶναι περίφραση ποὺ μὲ τὴν κατάλληλη κλήση τοῦ διπλοῦ στὴ φύση Χριστοῦ δηλώνει παράλληλα τὴ διπλή του ἐνέργεια, ἐφόσον βέβαια μὲ κανένα τρόπο δὲν ἔχει μειωθεῖ ἀπὸ τὴν ἕνωση στὴ φύση καὶ στὴν ποιότητά της ἡ οὐσία ἐκείνων ποὺ ἔχουν ἑνωθεῖ. Ἀλλὰ τὸ πράγμα δὲν εἶναι κάποια κατάφαση ἑνὸς μέσου μὲ τὴν ἀπόφαση τῶν δύο ἄκρων. Γιατὶ γιὰ τὸ Χριστὸ δὲν ἰσχύει κάτι μέσο, ποὺ καταφάσκεται μὲ τὴν ἀπόφαση τῶν ἄκρων. Καὶ λέει «καινή», ἐπειδὴ χαρακτηρίζει ἕνα καινὸ μυστήριο, τοῦ ὁποίου ὁ λόγος εἶναι ὁ ἀπόρρητος

*τρόπος τῆς συμφυΐας. Τίς γὰρ ἔγνω πῶς σαρκοῦται Θεός, καὶ μένει Θεός; πῶς μένων Θεὸς ἀληθής, ἄνθρωπός ἐστιν ἀληθής; ἄμφω δεικνὺς ἑαυτὸν ἀληθῶς ὑπάρξει φυσικῇ, καὶ δι' ἑκατέρου θάτερον, καὶ μηδετέρῳ τρεπόμενος. Ταῦτα μόνη πίστις χωρεῖ, σιγῇ τιμῶσα τὸν Λόγον, οὗτινος τῇ φύσει τῶν ὄντων ἐμπέφυκε λόγος οὐδείς. «Θεανδρικὴν» δέ, οὐχ ὡς ἁπλῆν, οὐδὲ πρᾶγμά τι σύνθετον, καὶ ἢ μόνης γυμνῆς κατὰ φύσιν θεότητος, ἢ μόνης ψιλῆς ὑπάρχουσαν ἀνθρωπότητος, ἢ συνθέτῳ φύσει τινῶν ἄκρων μεταιχμίῳ προσήκουσαν, ἀλλ' ἀνδρωθέντι Θεῷ, τουτέστι τελείως ἐνανθρωπήσαντι, προσφυεστάτην. Οὐδ' αὖ πάλιν μίαν, ὡς οὐκ ἂν ἄλλως νοηθῆναι «τῆς καινῆς» καθά τισιν ἔδοξεν, ἢ «μιᾶς δυναμένης»· ποιότητος γάρ, ἀλλ' οὐ ποσότητος ἡ «καινότης»· ἐπεὶ καὶ φύσιν ἐξ ἀνάγκης ἑαυτῇ συνεισάξει τοιαύτην· εἴπερ πάσης φύσεως ὅρος ὁ τῆς οὐσιώδους αὐτῆς ἐνεργείας καθέστηκε λόγος, ἣν οὐ διπλῆν εἴποι ποτ' ἂν τραγελάφων μύθοις φιλοτιμούμενος.*

*Πῶς δὲ καὶ τούτου δοθέντος ὁ τοῦτο πεφυκὼς μίαν ἔχων ἐνέργειαν, καὶ ταύτην φυσικήν, ἐπιτελέσει τῇ αὐτῇ τὰ θαύματα καὶ τὰ πάθη, λόγῳ φύσεως ἀλλήλων διαφέροντα, δίχα στερήσεως ἐπισυμβαινούσης τῇ ἀπογενέσει τῆς ἕξεως; Οὐδὲν γὰρ τῶν ὄντων μιᾷ καὶ τῇ αὐτῇ ἐνεργείᾳ τἀναντία πέφυκε δρᾶν, ὅρῳ τε καὶ λόγῳ συνεχόμενον φύσεως. Διὸ μίαν ἁπλῶς ἢ φυσικὴν ἐπὶ Χριστοῦ θεότητος καὶ σαρκὸς ἐνέργειαν λέγειν οὐ θέμις, εἴπερ μὴ ταυτὸν ποιότητι φυσικῇ θεότης καὶ σάρξ, ἐπεὶ καὶ φύσιν, καὶ γενήσεται τετρὰς ἡ τριάς. Οὔτε γὰρ κατὰ φύσιν, οὔτε κατὰ δύναμιν, οὔτε κατ' ἐνέργειαν, γέγονεν ταυτόν, φησί, τῇ σαρκί. Οὐδενὶ γὰρ ᾧ πέφυκεν εἶναι διὰ τὴν μίαν οὐσίαν Πατρὶ καὶ Πνεύματι ταυτὸν ὁ Υἱός, γέγονε ταυτὸν τῇ σαρκὶ διὰ τὴν ἕνωσιν, κἂν πεποίηκεν αὐτὴν ζωοποιὸν ἑνώσει τῇ πρὸς αὐτόν,*

---

**4. Δηλαδὴ θὰ ἐμφανιζόταν τέταρτο πρόσωπο, κι ἔτσι ἡ τριάδα θὰ γινόταν τετράδα.**

τρόπος τῆς συμφυΐας. Γιατὶ ποιός γνώρισε τὸ πῶς ὁ Θεὸς ἐνσαρκώνεται κι ὡστόσο μένει Θεός; Καὶ πῶς, μένοντας Θεὸς ἀληθινός, εἶναι καὶ ἀληθινὸς ἄνθρωπος, δείχνοντας τὸν ἑαυτό του ἀληθινά σὲ μιὰ ὕπαρξη φυσική, καὶ μὲ τὸ ἕνα τὸ ἄλλο, χωρὶς νὰ μεταβάλλεται στὸ ἄλλο; Αὐτὰ μόνο ἡ πίστη τὰ συλλαμβάνει, τιμώντας τὸ Λόγο μὲ τὴ σιγή, ποὺ στὴ φύση του δὲν ὑπάρχει ἔμφυτος κανένας λόγος τῶν ὄντων. «Θεανδρική» πάλι τὴν εἶπε ὄχι ὡς ἁπλή, ἀλλὰ οὔτε καὶ ὡς κάτι σύνθετο, οὔτε ὅτι εἶναι δηλαδὴ κατὰ τὴ φύση της γυμνὴ θεότητα μόνο ἢ μόνο ἁπλὴ ἀνθρωπότητα ἢ ὅτι ταιριάζει στὸ μεταίχμιο τῶν δύο ἄκρων μιᾶς σύνθετης φύσης, ἀλλὰ ὅτι εἶναι πολὺ καταλληλη στὸν Θεὸ ποὺ ἔγινε ἄνδρας, δηλαδὴ ἐνανθρώπησε τέλεια. Οὔτε πάλι τὴν εἶπε μία, ἐπειδὴ δὲν μπορεῖ νὰ γίνει ἀλλιῶς ἀντιληπτὴ καὶ καινὴ (ἐνέργεια), ὅπως νόμισαν μερικοί, παρὰ ὡς μία. Γιατὶ ἡ καινότητα εἶναι στοιχεῖο τῆς ποιότητας καὶ ὄχι τῆς ποσότητας, ἐπειδὴ θὰ φέρει μαζί της ὑποχρεωτικὰ καὶ τέτοια φύση, ἀφοῦ ὅρος κάθε φύσης εἶναι ὁ λόγος τῆς οὐσιώδους ἐνέργειάς της, ποὺ δέ θὰ τὴν πεῖ ποτὲ διπλὴ γοητευμένος ἀπὸ τὸ μύθο τοῦ τραγέλαφου.

Πῶς ὅμως καὶ μ' αὐτὸ τὸ δεδομένο αὐτὸς ποὺ ἔχει αὐτὴ τὴ φύση μὲ τὴ μιὰ ἐνέργεια καὶ μάλιστα φυσική, θὰ πραγματοποιήσει καὶ τὰ θαύματα καὶ τὰ πάθη, ποὺ διαφέρουν μεταξύ τους κατὰ τὴ φύση, χωρὶς τὴ στέρηση ποὺ ἐπακολουθεῖ στὴ φθορὰ τῆς ποιότητάς του; Γιατὶ κανένα βέβαια ἀπὸ τὰ ὄντα δὲν πραγματοποιεῖ μὲ μία καὶ τὴν ἴδια ἐνέργεια τὰ ἀντίθετα, δεσμευμένο ἀπὸ τὸν ὅρο καὶ τὸ λόγο τῆς φύσης. Γι' αὐτὸ δὲν ἐπιτρέπεται νὰ μιλοῦμε ἁπλῶς γιὰ μιὰ ἢ γιὰ φυσικὴ ἐνέργεια τῆς θεότητας καὶ τῆς σάρκας τοῦ Χριστοῦ, ἀφοῦ δὲν εἶναι τὸ ἴδιο μὲ τὴ φυσικὴ ποιότητα ἡ θεότητα καὶ ἡ σάρκα, γιατὶ θὰ ποῦμε μία φύση καὶ θὰ γίνει ἡ τριάδα τετράδα[4]. Γιατί, λέει, δὲν ταυτίστηκε μὲ τὴ σάρκα οὔτε κατὰ τὴ φύση οὔτε κατὰ τὴ δύναμη οὔτε κατὰ τὴν ἐνέργεια. Μὲ κανένα δηλαδὴ στοιχεῖο, ποὺ ἐξαιτίας τῆς μιᾶς οὐσίας ταυτίζει τὸν Υἱὸ μὲ τὸν Πατέρα καὶ τὸ Πνεῦμα, δὲν ταυτίστηκε μὲ τὴ σάρκα ἐξαιτίας τῆς ἕνωσης, ἔστω κι ἂν τῆς ἔδωσε ζωὴ μὲ τὴν ἕνωσή της μαζί του, ἐνῶ ἀπὸ τὴ φύση της εἶχε τὴ θνητότητα.

*ἔχουσαν τὸ φύσει θνητόν. Ἐπεὶ καὶ τρεπτῆς ὑπάρχων δειχθήσεται φύσεως, καὶ τὴν οὐσίαν τῆς σαρκὸς εἰς ὅπερ οὐκ ἦν ἀλλοιώσας, καὶ ταυτὸν πεποιηκὼς τῇ φύσει τὴν ἕνωσιν.*

*Τὴν γὰρ θεανδρικὴν ἐνέργειαν, ὡς ἀπεδόθη νοήσωμεν, ἣν ἡμῖν οὐχ ἑαυτῷ πολιτευσάμενος τὴν φύσιν τοῖς ὑπὲρ φύσιν ἐκαίνισε. Πολιτεία γάρ ἐστι βίος κατὰ νόμον φύσεως διεξαγόμενος. Διπλοῦς δὲ ὢν τὴν φύσιν ὁ Κύριος, εἰκότως βίον ἔχων ἐφάνη κατάλληλον, νόμῳ τε θείῳ καὶ ἀνθρωπίνῳ, κατὰ ταυτὸν ἀσυγχύτως συγκεκροτημένον· καινὸν καὶ αὐτόν, οὐχ ὡς μόνον ξένον τοῖς ἐπὶ γῆς καὶ παράδοξον, καὶ οὔπω τῇ φύσει τῶν ὄντων διεγνωσμένον, ἀλλὰ καὶ χαρακτῆρα καινῆς τοῦ καινῶς βιώσαντος ἐνεργείας, ἣν θεανδρικὴν τυχὸν προσηγόρευσεν ὁ τῷ μυστηρίῳ τούτῳ κλῆσιν ἐπινοήσας ἁρμόδιον, ἵνα δείξῃ τὸν κατὰ τὴν ἀπόρρητον ἕνωσιν τῆς ἀντιδόσεως τρόπον, κατ' ἐπαλλαγὴν τὰ φυσικῶς ἑκατέρῳ μέρει τοῦ Χριστοῦ προσόντα θατέρῳ πεποιημένον, χωρὶς τῆς ἑκατέρου μέρους πρὸς θάτερον κατὰ τὸν φύσει λόγον μεταβολῆς καὶ συμφύρσεως.*

*Ὥσπερ γὰρ τοῦ πυρακτωθέντος ξίφους τὸ τμητικὸν γέγονε καυστικόν, καὶ τὸ καυστικὸν τμητικὸν (ἡνώθη γὰρ ὥσπερ σιδήρῳ τὸ πῦρ), οὕτω καὶ τῷ τοῦ σιδήρου τμητικῷ τὸ τοῦ πυρὸς καυστικόν, καὶ γέγονε μὲν καυστικὸς ὁ σίδηρος ἑνώσει τῇ πρὸς τὸ πῦρ, καὶ τμητικὸν τὸ πῦρ ἑνώσει τῇ πρὸς τὸ σίδηρον· οὐδέτερον δὲ τρόπον τῇ καθ' ἕνωσιν ἀντιδόσει πρὸς θάτερον πέπονθεν, ἀλλ' ἑκάτερον κἀν τῇ τοῦ συγκειμένου καθ' ἕνωσιν ἰδιότητι μεμένηκε τῆς κατὰ φύσιν οἰκείας ἀνέκπτωτον· οὕτω κἀν τῷ μυστηρίῳ τῆς θείας σαρκώσεως θεότης καὶ ἀνθρωπότης ἡνώθη καθ' ὑπόστασιν, μηδετέρας τῆς φυσικῆς ἐκστάσης ἐνεργείας διὰ τὴν ἕνωσιν, μήτε μὴν ἄσχετον αὐτὴν κεκτημένης μετὰ τὴν ἕνωσιν, καὶ τῆς συγκειμένης καὶ συνυφεστώσης διακεκριμένην. Ὅλη γὰρ τῇ δραστικῇ δυνάμει τῆς οἰκείας θεότητος ὁ σαρκωθεὶς Λόγος ὅλην ἐσχηκὼς συμφυεῖσαν καθ' ἕνωσιν*

Ἀλλιῶς θὰ ἀποδειχθεῖ πὼς ἔχει φύση μεταβλητὴ κι ὅτι τὴν οὐσία τῆς σάρκας τὴ μετέβαλε σὲ κάτι πού δὲν ἦταν κι ἔκανε τὴν ἕνωση τὸ ἴδιο μὲ τὴ φύση.

Τὴ θεανδρικὴ λοιπὸν ἐνέργεια ἃς τὴν ἐννοήσομε ὅπως τὴν ἀναλύσαμε, σύμφωνα μὲ τὴν ὁποία εἶχε πολιτευθεῖ γιὰ χάρη μας κι ὄχι γιὰ χάρη τοῦ ἑαυτοῦ του καὶ μὲ τὶς ὑπερφυσικὲς ἐνέργειές του καινοποίησε τὴ φύση μας. Πολιτεία βέβαια εἶναι ἡ ζωὴ πού ἀκολουθεῖ τὸ νόμο τῆς φύσης. Κι ἐπειδὴ ὁ Κύριος εἶναι διπλὸς στὴ φύση, εὔλογα φάνηκε νὰ ἔχει βίο κατάλληλο, συγκροτημένο μὲ τὸ θεῖο καὶ τὸν ἀνθρώπινο νόμο σὲ ἀσύγχυτη ταυτότητα. Εἶναι 'καινὸς' κι αὐτὸς ὄχι μόνο ἐπειδὴ εἶναι ξένος γιὰ τούς ἐπάνω στὴ γῆ καὶ παράδοξος καὶ πού ὥς τότε δὲν ἔχει διαπιστωθεῖ στὴ φύση τῶν ὄντων, ἀλλὰ καὶ γιατὶ ἦταν ἡ σφραγίδα τῆς καινῆς ἐνέργειας ἐκείνου πού ἔζησε 'καινῶς'. Τὴν ἐνέργεια αὐτὴ τὴν ὀνόμασε ἴσως θεανδρικὴ αὐτὸς πού ἐπινόησε κατάλληλη ὀνομασία γιὰ τὸ μυστήριο αὐτό, γιὰ νὰ δείξει τὸν τρόπο τῆς ἀντίδοσης κατὰ τὴν ἀπόρρητη ἕνωση, κάνοντας ἀμοιβαῖα τὰ φυσικὰ γνωρίσματα καθενὸς ἀπὸ τὰ μέρη τοῦ Χριστοῦ μέρος τοὺ ἄλλου, χωρὶς τὴ μεταβολὴ καὶ τὴ σύμφυρση τοῦ φυσικοὺ λόγου καθενὸς ἀπὸ τὰ δύο μέρη.

Ὅπως δηλαδὴ ἑνὸς ξίφους πού πυρακτώθηκε ἡ ἰδιότητα νὰ κόβει ἔγινε ἰδιότητα νὰ καίει καὶ ἡ ἰδιότητα νὰ καίει ἰδιότητα νὰ κόβει (γιατὶ ἑνώθηκε ἡ φωτιὰ σὰν μὲ τὸ σίδηρο), ἔτσι καὶ ἡ ἰδιότητα τῆς φωτιᾶς νὰ καίει ἑνώθηκε μὲ τὴν ἰδιότητα τοῦ σιδήρου νὰ κόβει, καὶ ὁ σίδηρος μὲ τὴν ἕνωσή του μὲ τὴ φωτιὰ ἀπέκτησε τὴν ἰδιότητα νὰ καίει καὶ τὴν ἰδιότητα νὰ κόβει ἡ φωτιὰ ἑνωμένη μὲ τὸ σίδηρο. Δὲν ἔπαθε καμμιὰ τροπὴ πρὸς τὸ ἄλλο μὲ ἀντίδοση κατὰ τὴν ἕνωση, ἀλλὰ ἔμεινε τὸ καθένα ἀνέκπτωτο ἀπὸ τὴ φυσικὴ δική του ἰδιότητα ἀκόμα καὶ στὴν ἰδιότητα ἐκείνου πού ἔχει ἑνωθεῖ μαζί του. Ἔτσι καὶ στὸ μυστήριο τῆς θείας σάρκωσης, ἡ θεότητα καὶ ἡ ἀνθρωπότητα ἑνώθηκαν σὲ ὑπόσταση καὶ καμμιὰ ἀπὸ τὶς δύο δὲν βγῆκε λόγῳ τῆς ἕνωσης ἀπὸ τὴ φυσική της ἐνέργεια οὔτε καὶ τὴν εἶχε ἀνεξάρτητη μετὰ τὴν ἕνωση καὶ χωριστὴ ἀπὸ τὴν συνενωμένη καὶ συνυπάρχουσα μαζί της. Μὲ ὅλη δηλαδὴ τὴ δραστικὴ δύναμη τῆς θεότητάς του ὁ σαρκωμέ-

*ἄλυτον τὴν παθητικὴν τῆς ἰδίας ἀνθρωπότητος δύναμιν ἀνθρωπίνως Θεὸς ὢν ἐνήργει τὰ θαύματα, διὰ σαρκὸς φύσει παθητῆς συμπληρούμενα, καὶ θεϊκῶς ἄνθρωπος ὢν διεξῄει τὰ πάθη τῆς φύσεως, κατ' ἐξουσίαν ἐπιτελούμενα θεϊκήν· ἄμφω δὲ μᾶλλον θεανδρικῶς, ὡς Θεὸς ὁμοῦ καὶ ἄνθρωπος ὢν τοῖς μὲν ἡμᾶς ἑαυτοῖς ἀποδιδούς, φανέντας ὅπερ γεγόναμεν, τοῖς δὲ διδοὺς ἡμᾶς ἑαυτῷ, γενομένους ὅπερ παρέδειξε, καὶ δι' ἀμφοτέρων πιστούμενος τὴν τῶν ἐξ ὧν, ἐν οἷς τε καὶ ἅπερ ὑπῆρχεν ἀλήθειαν, ὡς μόνος ἀληθὴς καὶ πιστός, καὶ ὅπερ ἐστὶ παρ' ἡμῶν ὁμολογεῖσθαι βουλόμενος.*

*Ὃν ἔχοντες, ἡγιασμένοι λόγῳ τε καὶ βίῳ, μορφούμενον, μιμήσασθε τὴν μακροθυμίαν, καὶ τὴν παροῦσαν δεχόμενοι γραφήν, φάνητέ μοι τῶν ἐμφερομένων φιλάνθρωποι κριταί, νικῶντες συμπαθείᾳ τὰ τοῦ παιδὸς ὑμῶν ὀλισθήματα, μόνην ταύτην ἐκδεχομένῳ τῆς εὐπειθείας ἀντίδοσιν, καὶ γένεσθέ μοι μεσῖται τῆς πρὸς αὐτὸν καταλλαγῆς εἰρήνην δημιουργοῦντες τὴν πάντα νοῦν ὑπερέχουσαν, ἧς αὐτὸς ἄρχων ἐστὶν ὁ Σωτήρ, ἕξει πρακτικῇ τῆς τῶν παθῶν ταραχῆς ἐλευθερῶν τοὺς φοβουμένους αὐτόν, καὶ Πατὴρ τοῦ μέλλοντος αἰῶνος, Πνεύματι γεννῶν δι' ἀγάπης καὶ γνώσεως τοὺς τὸν ἄνω κόσμον πληρώσαντας.*

*Αὐτῷ δόξα, μεγαλωσύνη, κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.*

νος Λόγος ἔχοντας δεμένη μαζί του μὲ ἕνωση ἀδιάλυτη τὴν παθητικὴ ἰδιότητα τῆς ἀνθρωπότητάς του, ἐνῶ ἦταν Θεὸς ἐνεργοῦσε σὰν ἄνθρωπος τὰ θαύματα, ποὺ ὁλοκληρώνονταν ἀπὸ σάρκα παθητὴ ἀπὸ τὴ φύση της, καὶ θεϊκά, ἐνῶ ἦταν ἄνθρωπος ὑπέφερε τὰ πάθη τῆς φύσης μας, ποὺ δοκίμαζε κατὰ θεϊκὴ ἐξουσία. Ἢ μᾶλλον καὶ τὰ δύο 'θεανδρικά', ὡς Θεὸς μαζὶ καὶ ἄνθρωπος ποὺ ἦταν, μὲ αὐτὰ ἀποδίδοντας ἐμᾶς στοὺς ἑαυτούς μας ποὺ ἀποδειχθήκαμε αὐτὸ ποὺ εἴχαμε γίνει, καὶ μ' ἐκεῖνα παραδίδοντας ἐμᾶς στὸν ἑαυτό του, ἀφοῦ γίναμε ὅ,τι μᾶς εἶχε ὑποδείξει, καὶ μὲ τὰ δύο ἐπιβεβαιώνοντας τὴν ἀλήθεια, ἀπὸ ποῦ προέρχεται, ποῦ καὶ τί ἦταν, ἐπειδὴ εἶναι ὁ μόνος ἀληθινὸς καὶ πιστὸς καὶ ποὺ θέλει νὰ ὁμολογοῦμε τί ἀκριβῶς εἶναι.

Αὐτὸν ἔχοντας διαμορφώσει στὴν ψυχή σας, σεῖς οἱ ἁγιασμένοι στὸ λόγο καὶ στὸ βίο, μιμηθεῖτε τὴ μακροθυμία του καί, δεχόμενοι τὴν παρούσα ἐπιστολή, φανεῖτε φιλάνθρωποι κριτές μου γιὰ τὸ περιεχόμενό της, ὑπερνικώντας μὲ τὴ συμπάθειά σας τὰ ὀλισθήματα τοῦ παιδιοῦ σας, ποὺ περιμένει αὐτὸ μόνο τὸ ἀντίδωρο γιὰ τὴν ὑπακοή του, καὶ γίνετε μεσίτες μου γιὰ τὴ συμφιλίωσή μου μαζί του, δημιουργώντας τὴν εἰρήνη ποὺ ὑπερέχει κάθε νοῦ, τῆς ὁποίας ἄρχοντας εἶναι ὁ Σωτήρας, ποὺ μὲ τὴν πρακτικὴ ἕξη ἐλευθερώνει ἀπὸ τὴν ταραχὴ τῶν παθῶν ἐκείνους ποὺ τὸν φοβοῦνται, καὶ Πατέρας τοῦ μελλοντικοῦ αἰώνα, ποὺ γεννᾶ μὲ τὴ χάρη τοῦ Πνεύματος μὲ ἀγάπη καὶ γνώση ἐκείνους ποὺ ἔχουν γεμίσει τὸν ἄνω κόσμο.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα, ἡ μεγαλοσύνη καὶ ἡ δύναμη, μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα στοὺς αἰῶνες. Ἀμήν.

## ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΚΥΖΙΚΟΥ

## ΜΑΞΙΜΟΣ ΕΝ ΚΥΡΙΩι ΧΑΙΡΕΙΝ

### ‹ ΠΡΟΛΟΓΟΣ ›

Ἐπαινοῦνται μέν, καὶ τυχὸν δικαίως, παρὰ πάντων τῆς φιλομαθείας ἕνεκεν οἱ προθυμότεροι τῶν καλῶν ἐρασταὶ καὶ τῆς ἐπ᾽ αὐτοῖς ἐπιστήμης ἐπιμεληταὶ σπουδαιότεροι τοῖς κρείττοσι καὶ τῶν κρειττόνων διδασκάλοις προσιόντες, ὅτι δι᾽ ἐρωτήσεως τὴν γνῶσιν τῶν ἠγνοημένων καὶ τὴν ἐπιστήμην ἀνεπαισχύντως λαμβάνοντες σφᾶς αὐτοὺς ἀγνοίας καὶ ἀπειρίας καὶ τοῦ κατ᾽ αὐτὰς ὀνείδους ἐλευθεροῦσιν. Ὑμᾶς δὲ τίς ἂν ἀξίως ἐπαινέσειε λόγος; ἢ τίς ἀνθρώπων κἂν διανοίᾳ περιλαβεῖν ὑμῶν τὸ τῆς ἀρετῆς μέγεθος ἱκανὸς εὑρεθήσεται; Ὅτι δόκιμοι λογικῶν προβάτων ποιμένες ὑπάρχοντες καὶ πρὸς τὴν ἄνω μάνδραν φωναῖς σύριγος πνευματικῆς ἀνάγειν τε καὶ ἐπάγειν εἰδότες, οἷα δὴ τῆς ἀνεφίκτου τοῖς ἄλλοις τῶν θείων μυστικῆς γνώσεως τὴν ἕξιν προειληφότες, καθ᾽ ἣν τῆς Χριστοῦ Ἐκκλησίας ἀξίως πεπιστωμένοι τοὺς οἴακας νηὸς τρόπον ἐπιστημόνως ἰθύνετε, μετὰ τοῦ φόρτου τῆς πίστεως καὶ τῆς τοῦ κατὰ Θεὸν βίου εὐπρεπείας, πρὸς τὸν λιμένα τοῦ θείου θελήματος, μηδὲν τῶν κατὰ τὴν θάλασσαν τοῦ βίου πειρασμῶν παραβλαβεῖσαν. Περὶ τῶν ἐγνωσμένων ὑμῖν, ὧν καὶ ἐξηγητὰς ὑμᾶς κατέστησεν ὁ Θεός, οὐ μόνον τοὺς σοφωτέρους, εἴπερ τις ὑμῶν ἐστιν ὅλως κατὰ τὴν γνῶσιν ἀνώτερος, ἀλλὰ καὶ τοὺς μηδενὸς ἀξίους καὶ παντελῶς παντὸς ἀπείρους μαθήματος, πίστει τοῦ εὑρεῖν τι, καθὼς εἰώθατε, καὶ παρὰ τοῖς ἀσήμοις ἐπίσημον ἐρωτᾶν οὐχ ἡγεῖσθε ἀνάξιον.

## ΣΤΟΝ ΙΩΑΝΝΗ ΑΡΧΙΕΠΙΣΚΟΠΟ ΚΥΖΙΚΟΥ Ο ΜΑΞΙΜΟΣ ΤΟΥ ΕΥΧΕΤΑΙ ΧΑΡΑ ΕΝ ΚΥΡΙΩ

### ‹ΠΡΟΛΟΓΟΣ›

Δέχονται ἐπαίνους, καὶ ἴσως δίκαια, ἀπὸ ὅλους γιὰ τὴ φιλομάθειά τους οἱ πιὸ πρόθυμοι ἐραστὲς τῶν καλῶν κι ἐπιμελέστεροι σπουδαστὲς τῆς ἐπιστήμης αὐτῶν πλησιάζοντας τοὺς κράτιστους δασκάλους τῶν ἀνώτερων ἀληθειῶν, ἐπειδὴ μὲ τὶς ἐρωτήσεις τους ἀποκτοῦν χωρὶς ταλαιπωρία τὶς πληροφορίες καὶ τὴ γνώση ὅσων ἀγνοοῦν καὶ ἐλευθερῶνουν τοὺς ἑαυτούς των ἀπὸ τὴν ἄγνοια καὶ τὴν ἀπειρία καὶ τὸ ὄνειδος ποὺ προκαλοῦν. Ἐσᾶς ὅμως ποιός λόγος θὰ μποροῦσε νὰ σᾶς ἐπαινέσει ἐπάξια; ἢ ποιός ἄνθρωπος θὰ βρεθεῖ ἱκανὸς νὰ περιλάβει στὴ διάνοιά του τὸ μέγεθος τῆς ἀρετῆς σας; Γιατὶ εἶστε δοκιμασμένοι ποιμένες τῶν λογικῶν προβάτων καὶ γνωρίζετε νὰ ὁδηγεῖτε στὴν οὐράνια μάνδρα μὲ τοὺς ἤχους τῆς πνευματικῆς φλογέρας, ἀφοῦ ἔχετε προαποκτήσει τὴν ἀδύνατη στοὺς ἄλλους μυστικὴ γνώση τῶν θείων, γιὰ τὴν ὁποία σᾶς ἔχουν ἄξια ἐμπιστευθεῖ τὰ πηδάλια τῆς Ἐκκλησίας τοῦ Χριστοῦ κατ' ἀναλογία μ' αὐτὸ ποὺ γίνεται στὰ πλοῖα, καὶ τὰ κατευθύνετε μὲ γνώση, μὲ τὸ φορτίο τῆς πίστης καὶ τὴν εὐπρέπεια τῆς ζωῆς ποὺ ἀρέσει στὸ Θεό, πρὸς τὸ λιμάνι τοῦ θείου θελήματος, χωρὶς νὰ βλάπτεται καθόλου ἀπὸ τοὺς πειρασμοὺς τῆς θάλασσας τῆς ζωῆς. Γιὰ πράγματα ποὺ ἐσεῖς γνωρίζετε καὶ τῶν ὁποίων ὁ Θεὸς σᾶς ἔκανε ἐξηγητές, ὄχι μόνο τοὺς σοφότερους, ἂν βέβαια ὑπάρχει κάποιος ἀνώτερός σας στὴ γνώση, ἀλλὰ καὶ ἐκείνους ποὺ δὲν ἀξίζουν καθόλου καὶ εἶναι τελείως ἄπειροι ἀπὸ κάθε μάθημα, πιστεύοντας ὅτι θὰ βρεῖτε κάτι, ὅπως συνηθίζετε, δὲν θεωρεῖτε ἀνάξιο νὰ τοὺς ἐρωτᾶτε, ἀπευθύνοντας σημαντικὲς ἐρωτήσεις σὲ ἀνθρώπους ἀσήμαντους.

*Διὸ κἀγὼ δεξάμενος τὴν τιμίαν ὑμῶν ἐπιστολὴν τὸν περὶ ἑκάστου τῶν ἀπορηθέντων ὑμῖν κεφαλαίων ἐν τοῖς τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου λόγοις, περὶ ὧν ἐφιλοπονοῦμεν ἡνίκα σὺν ἀλλήλοις ἦμεν, ἀποδοθέντα τὸ τηνικαῦτα λόγον γραφῇ καταθέμενος στεῖλαι ὑμῖν κελεύουσαν, ὑμᾶς μὲν εἰκότως τῆς ἀρετῆς ἐθαύμασα καὶ τῆς κατ' αὐτὴν χριστοπρεποῦς ὑμῶν πτωχείας τὸ παμφαὲς καὶ ὑψηλὸν ἀνύμνησα, μᾶλλον δὲ τὸν κατὰ πάντα τρόπον δι' ὑμῶν τε καὶ ἐν ὑμῖν δοξαζόμενον Κύριον, τὸν καὶ ποιήσαντα ὑμᾶς καὶ τὴν πρὸς τὸ ἀξίους αὐτοῦ γενέσθαι χαρισθεῖσαν ὑμῖν δύναμιν τοῖς ἑαυτοῦ ἰδιώμασι δι' αὐτῶν τῶν ἔργων καὶ τῆς ἀληθείας ἀριδήλως ὡραϊσμένην ἐκφαίνοντα, μέχρις ἐμοῦ τοῦ μικροῦ καὶ μηδενὸς ἀξίου καὶ ἀμαθοῦς καὶ πάσης γυμνοῦ παντάπασιν ἀρετῆς καὶ γνώσεως. Περὶ τούτου ταπεινωθέντας θεώμενος ἐμαυτὸν δὲ καταδέξασθαι ὑμῶν τὸ ἐπίταγμα κατὰ δύναμιν ἐβιασάμην, μηδένα τοῦ προπετὴς νομισθῆναι τοῖς πολλοῖς ὑμῶν χάριν ποιησάμενος λόγον, ἀλλὰ καὶ ὑμεῖς τὸν προσφιλῆ καὶ ἐράσμιον τῆς εὐπειθείας μισθὸν ἀντιλαβεῖν ἐκδεχομένῳ τὰς ὑμετέρας ἐκτενεῖς εὐχὰς συνήθως χαρίσασθε, ὅπως Χριστὸς ὁ Θεός, ἡ ἑτοίμη τῶν φοβουμένων αὐτὸν βοήθεια, ἔλθοι μοι τῷ λόγῳ σύμμαχος, μᾶλλον δὲ τὸν τοῦ λέγειν ὅλον εὐσεβῶς ὡς Λόγος χορηγήσοι λόγον.*

*Ἀξιῶ δὲ ὑμᾶς ἐντυγχάνοντας, μὴ τὴν κεκομψευμένην ἐπιζητεῖν πρὸς ἐμοῦ λέξιν, τοὺς περικομποῦντας τὴν ἀκοὴν λόγους οὐκ ἔχοντος καὶ ταῖς περιέργοις τομαῖς ἐμπεριηχήτους ποιεῖν ἀγνοοῦντος. Ἀτριβὴς γὰρ ὢν τῶν τοιούτων μαθημάτων καὶ τῆς ἐπ' αὐτοῖς μελέτης ἄπειρος τυγχάνων, ἀγαπητὸν ἡγοῦμαι καὶ ἐπευκτόν, εἰ τῆς διανοίας τοῦ ἁγίου τούτου καὶ μεγάλου διδασκάλου, κἂν ἐν χυδαίᾳ φράσει, καὶ τοῦτο ποσῶς, καταστοχάσαιμι, μήτι δὲ τῷ πολυστίχῳ τῶν ἐξηγήσεων ἐπισκήπτειν. Ὁ Θεολόγος γὰρ οὗτος ἀνήρ, ὡς ἴστε, βραχυλόγος ὑπάρχων καὶ πολύνους ἀνάγκην δίδωσι τῷ ἐξαπλοῦν βουλομένῳ τὸν αὐτοῦ σκοπόν, κἂν ὁ ρητορικώτατος ᾖ καὶ φιλοσοφώτατος, διὰ πολλῶν ἰέναι, καὶ μάλιστα ἐμοὶ τῷ ἰδιώτῃ· εἰ δ' ὑμᾶς συνήθως ὁ*

Γι' αὐτὸ κι ἐγὼ ὅταν δέχθηκα τὴ σεβαστὴ ἐπιστολή σας ποὺ μὲ παρακαλοῦσε νὰ σᾶς στείλω τὸ λόγο ποὺ εἴχαμε ἀναλύσει τότε σὲ κάθε ἕνα χωρίο τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ποὺ δημιουργοῦσε ἀπορίες καὶ μὲ τὰ ὁποῖα ἀσχολούμασταν ὅταν ἤμαστε μαζί, ἀφοῦ τὸν καταθέσω σὲ ἐπιστολή, δικαιολογημένα θαύμασα τὴν ἀρετή σας καὶ ἐξύμνησα τὴ χριστοπρεπὴ καὶ ὁλόλαμπρη καὶ ὑψηλὴ πτωχεία σας, ἢ καλύτερα τὸν Κύριο ποὺ δοξάζετε ἐσεῖς μὲ τὸν ἑαυτό σας μὲ κάθε τρόπο, αὐτὸν ποὺ καὶ σᾶς ἔχει δημιουργήσει καὶ φανερώνει τὴ δύναμη ποὺ σᾶς χάρισε νὰ γίνετε ἄξιοί του ὡραισμένη λαμπρὰ μὲ δικά του γνωρίσματα μὲ τὰ ἴδια σας τὰ ἔργα καὶ τὴν ἀλήθεια, μέχρι σ' ἐμένα τὸ μικρὸ καὶ τελείως ἀνάξιο καὶ ἀμαθὴ καὶ γυμνὸ τελείως ἀπὸ κάθε ἀρετὴ καὶ γνώση. Βλέποντάς σας νὰ εἶστε ταπεινοὶ στὸ θέμα αὐτό, πίεσα τὸν ἑαυτό μου νὰ δεχθεῖ τὴν ἐντολή σας, μὴ ὑπολογίζοντας γιὰ χάρη σας τὸ ὅτι μποροῦσα νὰ νομισθῶ ἀπὸ τοὺς πολλοὺς αὐθάδης. Ἀλλὰ καὶ σεῖς, σ' ἐμένα ποὺ περιμένω νὰ λάβω τὸν ἀγαπητὸ καὶ ποθητὸ μισθὸ τῆς ὑπακοῆς μου, χαρίστε μου τὴν ἐκτενή, ὡς συνήθως, προσευχή σας, ὥστε νὰ μοῦ χαρίσει ὁ Χριστὸς ὁ Θεός, ἡ πρόθυμη βοήθεια ἐκείνων ποὺ τὸν φοβοῦνται, νὰ μοῦ ἔρθει σύμμαχος στὸ λόγο μου, ἢ καλύτερα νὰ μοῦ χορηγήσει ὡς Λόγος ὅλο τὸ λόγο νὰ μιλήσω μὲ εὐσέβεια.

Ζητῶ ὅμως ἀπὸ ἐσᾶς ὅταν τὸν διαβάζετε νὰ μὴ ἀναζητεῖτε ἀπὸ ἐμένα τὴν κομψὴ διατύπωση, γιατὶ δὲν διαθέτω τοὺς λόγους ποὺ παρασύρουν μὲ τὴ μεγαλοπρέπειά τους τὴν ἀκοὴ καὶ ἀγνοῶ νὰ ἐντυπώνω τὸν ἦχο τους στ' αὐτιὰ μὲ περίεργες παύσεις. Γιατὶ μοῦ λείπει ἡ τριβὴ σὲ τέτοια μαθήματα καὶ ἐπειδὴ εἶμαι ἄπειρος στὴ σχετικὴ μελέτη, θεωρῶ ἀρκετὸ καὶ εὐκταῖο, νὰ ἐπιτύχω, ἔστω καὶ μὲ ταπεινὴ διατύπωση καὶ σὲ μικρὸ βαθμό, τὸ πνεῦμα αὐτοῦ τοῦ ἁγίου καὶ μεγάλου δασκάλου, κι ὄχι νὰ ἐπιδοθῶ στὶς σχοινοτενεῖς ἐξηγήσεις. Γιατὶ ὁ Θεολόγος αὐτὸς ἄνδρας, ὅπως γνωρίζετε, ὄντας ὀλιγόλογος καὶ βαθυνόητος, ἀναγκάζει ὅποιον θέλει ν' ἀναπτύξει τὸ θέμα του, κι ἂν ἀκόμα εἶναι ὁ μέγιστος ρήτορας καὶ ὁ μέγιστος φιλόσοφος, νὰ θίξει πολλὰ πράγματα, καὶ πολὺ περισσότερο ἀναγκάζει ἐμένα τὸν ἀκαλλιέργητο. Ἂν

*θεοφιλὴς ἀνακινήσοι ζῆλος πρὸς τὸ σύντομον ἅμα καὶ εὐφραδὲς τὰ γραφόμενα μετακομίσαι, ἢ καὶ τὸν νοῦν ὅλον διορθώσασθαι πρὸς τὸ ὑψηλότερον, μισθὸν αὐτοτελῆ λήψεσθε, τὰς τοῦ θεοφόρου πρὸς τὸν Δεσπότην τῶν ὅλων εὐχάς, ἅτε μὴ συγχωρήσαντες αὐτοῦ τὰ θεῖα καὶ ὑπερφυῆ νοήματα ταῖς ἀποτεύκτοις καὶ χαμαιπετέσιν ἐπιβολαῖς παρασύρεσθαι. Ἀκολούθως δὲ τῇ ὑμετέρᾳ ἐπιστολῇ τὴν περὶ ἑκάστου κεφαλαίου ποιησάμενος ζήτησιν κατεθέμην τῷ γράμματι, χρηστοὺς καὶ φιλανθρώπους ὑμᾶς τῶν λεγομένων κριτὰς γενέσθαι παρακαλῶν.*

## *Α´*

*Ἐκ τοῦ περὶ φιλοπτωχείας λόγου, εἰς τό· «Φείδομαι ὡς συνεργοῦ, καὶ οὐκ ἔχω πῶς φύγω τὴν ἐπανάστασιν, ἢ πῶς μὴ ἀπὸ Θεοῦ πέσω βαρηθεὶς ταῖς πέδαις κατασπώσαις ἢ κατεχούσαις εἰς ἔδαφος».*

*Οὐ ταυτὸν τῷ κατασπᾶσθαι τὸ κατέχεσθαι νενόηται τῷ μακαρίῳ τούτῳ ἀνδρί, μὴ οὕτω νομίσῃς, δοκιμώτατε, εἴπερ τί σοι νοεῖν τῆς αὐτοῦ μεγαλονοίας ἄξιον διεσπούδασται· ἐπεὶ περιττὸς οὕτω τοῖς λόγοις καὶ τὸν νοῦν τῷ λόγῳ μὴ ἐφιστάμενον ἔχων ἀναφανήσεται, εἴπερ μὴ πάσῃ συλλαβῇ σχεδὸν τὴν πρέπουσαν ἐνθέμενος ἔννοιαν πρὸς τὰ κάλλιστά τε καὶ χρήσιμα τοὺς ὀπαδοὺς ὁδηγεῖν παντὶ τρόπῳ διεγνωκέναι ὑποληφθῇ. Οὐχ οὕτω δὲ ταῦτ᾽ ἔχει, πόθεν; Ἀλλὰ καὶ νῷ λόγον σοφῷ συνίστησι, καὶ λόγῳ ὑψηλῷ νοῦν ἐφίστησιν ὑψηλότερον, ἵν᾽ ὑψηλὸς ὑψηλῷ διαγγέλληται, καὶ τῆς ἀληθείας ποσῶς δι᾽ ἀμφοῖν τὸ τέως τοῖς πολλοῖς ἢ καὶ πᾶσιν ἀνεπίβατον μέγεθος διαδειχθῇ. Ἵνα δὲ φανερὸν ἅπαν ἡμῖν γένηται τῶν λεγομένων τὸ αἴνιγμα, αὐτὰ ὡς ἔχει τοῦ μακαρίου σκοπήσωμεν τὰ ῥητά.*

*«Φείδομαι», φησίν, «ὡς συνεργοῦ, καὶ οὐκ ἔχω πῶς φύγω*

1. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΙΔ´, *Περὶ φιλοπτωχείας*, ΕΠΕ, Ἅπαντα Γρηγορίου Θεολόγου, τ. 5, σ.. 250,16. Κατὰ τὸν ἁγ. Μάξιμο ὁ Γρηγόριος ἐδῶ δηλώνει ὅτι φροντίζει τὸν ἑαυτό του σὰν συνεργάτης τοῦ Θεοῦ.

ὅμως ὁ θεοφιλὴς ζῆλος σας σᾶς παρακινήσει, ὅπως συνήθως, νὰ μεταφέρετε τὰ γραφόμενά μου στὴ σύντομη καὶ ἀκριβῆ διατύπωση, ἢ καὶ νὰ διορθώσει ὅλο τὸ νόημα, ὥστε νὰ γίνει ὑψηλότερο, θὰ λάβετε μισθὸ τέλειο, τὶς προσευχὲς τοῦ θεοφόρου πρὸς τὸν Δεσπότη τῶν ὅλων, ἐπειδὴ δὲν ἐπιτρέψατε τὰ θεῖα καὶ ὑπερφυσικὰ νοήματά του νὰ κακοποιοῦνται μὲ ἀποτυχημένες καὶ εὐτελεῖς σκέψεις. Ἀκολουθώντας τὴν ἐπιστολή σας ἔκανα τὴν ἀπάντηση σὲ κάθε θέμα καὶ τὴν ἔβαλα στὴν ἐπιστολή, παρακαλώντας νὰ γίνετε ἀγαθοὶ καὶ φιλάνθρωποι κριτὲς τῶν λεγομένων μου.

## 1

Ἀπὸ τὸ λόγο Περὶ φιλοπτωχείας στὸ λεγόμενο· «Τὸ λυπᾶμαι ὡς συνεργάτη καὶ δὲν ἔχω τρόπο ν' ἀποφύγω τὴν ἐξέγερση, ἢ τὸ πῶς νὰ μὴν ἐκπέσω ἀπὸ τὰ χέρια τοῦ Θεοῦ, καθὼς μὲ βαραίνουν τὰ δεσμά του ποὺ μὲ τραβοῦν καὶ μὲ κρατοῦν στὸ ἔδαφος»[1].

Τὸ 'τραβοῦν' καὶ τὸ 'κρατοῦν' δὲν τὸ ἐξέλαβε μὲ τὸ ἴδιο νόημα ὁ μακάριος αὐτὸς ἄνδρας· μὴν τὸ νομίσεις αὐτό, ἐξοχώτατε, ἂν ἀποφάσισες σοβαρὰ νὰ σκεφθεῖς κάτι ἄξιο τοῦ μεγάλου νοῦ αὐτοῦ· γιατὶ θὰ παρουσιασθεῖ περισσολόγος καὶ ὡς νὰ μὴ ἔχει τὸ νόημα ἀγκιστρωμένο στὸ λόγο, ἂν δὲν θεωρηθεῖ ὅτι, θέτοντας σχεδὸν σὲ κάθε συλλαβὴ τὴν πρέπουσα ἔννοια, ἔχει βάλει ὡς σκοπό του μὲ κάθε τρόπο νὰ ὁδηγήσει τοὺς ὀπαδούς του πρὸς τὰ κάλλιστα καὶ χρήσιμα. Δὲν συμβαίνει ἀσφαλῶς αὐτό, ἀλλὰ καὶ μὲ σοφὸ νόημα ἐκφράζει τὸ λόγο του καὶ σὲ ὑψηλὸ λόγο ἐναποθέτει νόημα ὑψηλότερο, ὥστε νὰ διακηρύσσεται ὁ ὑψηλὸς μὲ ὑψηλὸ μέσο καὶ νὰ δειχθεῖ κατὰ κάποιο τρόπο καὶ μὲ τὰ δύο τὸ μέγεθος τῆς ἀλήθειας, ποὺ ἦταν μέχρι τότε ἀσύλληπτο ἀπὸ τοὺς πολλοὺς ἢ καὶ ἀπὸ ὅλους. Γιὰ νὰ κατανοήσομε ὅμως ὅλο τὸ αἴνιγμα τῶν λόγων του, ἂς ἐξετάσομε πῶς εἶναι διατυπωμένες οἱ σκέψεις τοῦ μακαρίου.

«Τὸ λυπᾶμαι», λέει, «ὡς συνεργάτη καὶ δὲν ἔχω τρόπο ν'

*τὴν ἐπανάστασιν, ἢ πῶς μὴ ἀπὸ Θεοῦ πέσω, βαρηθεὶς ταῖς πέδαις, κατασπώσαις ἢ κατεχούσαις εἰς ἔδαφος». Ταῦτ' εἰπὼν οὐχ ἑαυτῷ πάντως, ἀλλὰ δι' ἑαυτοῦ τῷ κοινῷ τῆς ἀνθρωπότητος διαλέγεται, εἰδὼς ὅτι πᾶς τις ὁ σωτηρίας ἐρῶν ἢ πράξει ἢ θεωρίᾳ πάντως προσανέχει. Ἀρετῆς γὰρ καὶ γνώσεως χωρὶς οὐδαμῶς οὐδεὶς πώποτε τυχεῖν σωτηρίας δεδύνηται. Εἴπερ οὖν τῶν διὰ θεωρίας, φησί, Θεῷ προσεδρευόντων καὶ τοῦ μακαρίου κάλλους κατατρυφώντων καθέστηκα εἷς, εἰρήνην ἔχων παντάπασι καὶ ἁγιασμόν, ὡς ἐμαυτὸν ἁπλώσας Θεῷ, ἀδιαιρέτῳ κατὰ τὴν γνῶμην ταυτότητι, τῷ τὰς ἀλόγους δυνάμεις τῆς ψυχῆς λογίσαι τε πρεπόντως καὶ νῷ διὰ λόγου προσαγαγεῖν καὶ οἰκειώσασθαι, θυμὸν λέγω καὶ ἐπιθυμίαν, τὸν μὲν εἰς ἀγάπην, τὴν δὲ εἰς χαρὰν μεταβαλών, εἴπερ χαρᾶς ἴδιον τὸ σκιρτᾶν θεοπρεπῶς καὶ ἀγάλλεσθαι, κατὰ τὸν ἐκ μήτρας προσκιρτήσαντα Ἰωάννην, τὸν μέγαν τῆς ἀληθείας πρόδρομόν τε καὶ κήρυκα, ἢ τὸν ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ τοῦ Ἰσραὴλ βασιλέα Δαβίδ.*

*Ἐν μήτρᾳ γὰρ (κἂν εἰ τραχὺς ὁ λόγος ὡς ἀτριβὴς τοῖς πολλοῖς, ἀλλ' οὖν ἀληθὴς) καὶ ἡμεῖς καὶ ὁ Θεὸς Λόγος ἐσμὲν ὁ τοῦ παντὸς Ποιητὴς καὶ Δεσπότης, ἐν τῇ παρούσῃ τῆς ζωῆς καταστάσει, ὁ μὲν ἀμυδρῶς ὡς ἐν μήτρᾳ, καὶ μόγις τῷ αἰσθητῷ τούτῳ κόσμῳ διαφαινόμενος, καὶ τοῦτο τοῖς κατὰ Ἰωάννην τῷ Πνεύματι, οἱ δ' ἄνθρωποι, ὡς ἐκ μήτρας τῆς ὑλικῆς περιστάσεως, κἂν ποσῶς τὸν ἐν τοῖς οὖσιν ἐγκρυπτόμενον διαβλέποντες λόγον. Καὶ τοῦτ' ἄνπερ ὦσι ταῖς Ἰωάννου αὐχοῦντες χάρισι. Πρὸς γὰρ τὴν ἄφατον τοῦ μέλλοντος αἰῶνος δόξαν τε καὶ λαμπρότητα καὶ τὴν τῆς κατ' αὐτὸν ζωῆς ἰδιότητα μήτρας οὐδὲν διαφέρει ζόφῳ περικεχυμένης συγκρινομένη ἡ παροῦσα ζωή, ἐν*

ἀποφύγω τὴν ἐξέγερση, ἢ τὸ πῶς νὰ μὴν ἐκπέσω ἀπὸ τὰ χέρια τοῦ Θεοῦ, καθὼς μὲ βαραίνουν τὰ δεσμά του ποὺ μὲ τραβοῦν ἢ μὲ κρατοῦν στὸ ἔδαφος». Λέγοντας αὐτά, δὲν ἀπευθύνεται βέβαια στὸν ἑαυτό του, ἀλλὰ μέσω τοῦ ἑαυτοῦ του συνομιλεῖ μὲ τὸ κοινὸ τῆς ἀνθρωπότητας, γνωρίζοντας ὅτι ὁ καθένας ποὺ ἐπιθυμεῖ τὴ σωτηρία, καταφεύγει ὁπωσδήποτε στὴν πράξη ἢ τὴ θεωρία. Γιατὶ χωρὶς ἀρετὴ καὶ γνώση δὲν μπόρεσε ποτὲ κανεὶς νὰ ἐπιτύχει τὴ σωτηρία. Ἂν λοιπόν, λέει, ἔγινα ἕνας ἀπὸ ἐκείνους ποὺ βρίσκονται δίπλα στὸ Θεὸ μὲ τὴ θεωρία καὶ ἀπολαμβάνουν τὸ μακάριο κάλλος, ἔχοντας εἰρήνη σὲ ὅλα καὶ ἁγιασμό, σὰν νὰ ἔχω ἁπλώσει στὸ Θεὸ τὸν ἑαυτό μου μὲ ἀδιαίρετη ταυτότητα γνώμης, μὲ τὸ νὰ καταστήσω λογικὲς τὶς ἄλογες δυνάμεις τῆς ψυχῆς καὶ μὲ τὸ λόγο νὰ τὶς ὁδηγήσω στὸ νοῦ καὶ νὰ τὶς κάνω οἰκεῖες μ' αὐτόν, ἐννοῶ τὸν θυμὸ καὶ τὴν ἐπιθυμία, μεταβάλλοντας τὸ θυμὸ σὲ ἀγάπη καὶ τὴν ἐπιθυμία σὲ χαρά, ἂν βέβαια γνώρισμα τῆς χαρᾶς εἶναι τὸ θεοπρεπὲς σκίρτημα καὶ ἡ ἀγαλλίαση, ἔτσι ὅπως σκίρτησε παλιὰ ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας του ὁ Ἰωάννης, ὁ μέγας πρόδρομος καὶ κήρυκας τῆς ἀλήθειας, ἢ ὁ βασιλιὰς τοῦ Ἰσραὴλ Δαβὶδ κατὰ τὸ σταμάτημα τῆς κιβωτοῦ.

Στὴν κοιλιὰ λοιπὸν βρισκόμαστε (ἔστω κι ἂν εἶναι τραχὺς ὁ λόγος, γιατὶ εἶναι ἀσυνήθιστος στοὺς πολλούς, ἀλλ' αἶναι ἀληθινὸς) κι ἐμεῖς καὶ ὁ Θεὸς Λόγος, ὁ Ποιητὴς καὶ Κύριος τοῦ παντός, στὴν παρούσα κατάσταση τῆς ζωῆς, ἐκεῖνος ἀμυδρά, σὰν μέσα στὴν κοιλιά, καὶ μὲ δυσκολία διαφαίνεται σ' αὐτὸν ἐδῶ τὸν αἰσθητὸ κόσμο καὶ μάλιστα σ' αὐτοὺς ποὺ ἔχουν τὸ πνεῦμα τοῦ Ἰωάννη, ἐνῶ οἱ ἄνθρωποι, σὰν μέσα ἀπὸ τὴν κοιλιά, διαβλέπουν ἀπὸ τὴ θέση τους αὐτὴ μέσα ἀπὸ τὴν ὕλη ἔστω καὶ λίγο τὸ Λόγο ποὺ κρύβεται μέσα στὰ ὄντα. Καὶ αὐτὸ βέβαια ἐφόσον εἶναι προικισμένοι μὲ τὰ χαρίσματα τοῦ Ἰωάννη. Γιατὶ ἡ παρούσα ζωή, σὲ σύγκριση μὲ τὴν ἀνεκλάλητη δόξα καὶ λαμπρότητα τοῦ μελλοντικοῦ αἰώνα καὶ τὴν ἰδιαίτερη ζωὴ ποὺ μᾶς ἐπιφυλάσσει, δὲν διαφέρει καθόλου ἀπὸ μήτρα τυλιγμένη μέσα στὸ ζόφο, μέσα στὴν ὁποία γιὰ μᾶς ποὺ γίναμε νήπια στὸ νοῦ ἔγινε νήπιο

*ἢ δι' ἡμᾶς τοὺς νηπιάσαντας ταῖς φρεσὶ καὶ ὁ Θεὸς Λόγος τέλειος ὢν καὶ ὑπερτελής, ὡς φιλάνθρωπος, ἐνηπίασεν.*

*Εἴπερ οὖν, ὡς εἴρηται, τοιοῦτός τις ὑπάρχω, καὶ τῆς ἐφικτῆς ἀνθρώποις κατὰ τὴν παροῦσαν ζωὴν ἐπέβην θείας ἀκρότητος, ἀμελήσω δὲ τῆς θεοειδοῦς ἕξεως, ἐμαυτὸν πρὸς τὴν τοῦ σώματος ἑκουσίως ἐπικλίνας στοργήν, κατεσπάσθην βαρηθεὶς ταῖς πέδαις, ἤτοι ταῖς φροντίσι, καὶ ἀπὸ Θεοῦ ἔπεσον, ὡς τὴν περὶ μόνης τῆς βασιλείας τῶν οὐρανῶν μέριμνάν τε καὶ ζήτησιν, ᾧ μὴ θέμις ἦν, τῇ γηΐνῃ λέγω ζωῇ, προσνείμας, καὶ ταῖς αἰσθήσεσι συμφέρεσθαι μᾶλλον, ἢ πρὸς Θεὸν φέρεσθαι τὴν διάνοιαν ἀνασχόμενος. Εἰ δὲ τῶν ἔτι διὰ τῆς πρακτικῆς πολεμικῶς κατὰ τῶν παθῶν ὡπλισμένος εἰμί, μήπω τῶν δι' αὐτῶν ἑλεῖν βουλομένων ἐχθρῶν καθαρῶς ὑπαλύξας τοὺς δόλους, καὶ στέρξω ἀδιακρίτως τὸ σῶμα, κατεσχέθην ὑπ' αὐτοῦ δῆλον, ὡς τὴν πρὸς αὐτὸ σχέσιν τοῦ δι' ἀρετῆς χωρισμοῦ προελόμενος. Κατασπᾶται οὖν ἄρα ὁ θεωρητικὸς ἄσχετος ἤδη κατὰ τὴν ἕξιν γινόμενος τῷ σώματι, τῶν θείων ἀμελῶν θεαμάτων. Κατέχεται δὲ ὁ πρακτικὸς ὁ τῷ σώματι μαχόμενος, ἐνδιδοὺς τῇ πρὸς αὐτὸ πάλῃ, καὶ τοῦ πονεῖν ὑπὲρ ἀρετῆς, ἥτις ἐστὶ ψυχῆς ἐλευθερία, τὸ δοῦλον εἶναι παθῶν ἐπιλεγόμενος.*

## *Β'*

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Τίς ἡ περὶ ἐμὲ σοφία, καὶ τί τὸ μέγα τοῦτο μυστήριον; Ἢ βούλεται μοῖραν ἡμᾶς ὄντας Θεοῦ, καὶ ἄνωθεν ρεύσαντας, ἵνα μὴ διὰ τὴν ἀξίαν ἐπαιρόμενοι καὶ μετεωριζόμενοι καταφρονῶμεν τοῦ Κτίσαντος, ἐν τῇ πρὸς τὸ σῶμα πάλῃ καὶ μάχῃ πρὸς αὐτὸν ἀεὶ βλέπειν, καὶ τὴν συνεζευγμένην ἀσθένειαν παιδαγωγίαν εἶναι τοῦ ἀξιώματος;».***

*Τούτοις τινὲς ἐντυγχάνοντες τοῖς λόγοις, μηδένα, ὡς ἔοι-*

2. ΕΠΕ, Ἅπαντα Γρηγορίου Θεολόγου, Λόγος ΙΔ', *Περὶ φιλοπτωχείας*, τόμ. 5, σ. 250ἑ.

καὶ ὁ Θεὸς Λόγος ὡς φιλάνθρωπος, αὐτὸς ποὺ εἶναι τέλειος καὶ ὑπερτέλειος.

Ἂν λοιπόν, ὅπως εἶπα, εἶμαι τέτοιος ἄνθρωπος κι ἔχω ἀγγίξει στὴν παρούσα ζωὴ τὴ θεία τελειότητα ὅσο εἶναι δυνατὸ αὐτὸ στοὺς ἀνθρώπους, ἀμελήσω ὅμως τὴ θεόμορφη ἕξη, σκύβοντας ἑκούσια στὴν ἀγάπη τοῦ σώματος, τότε μὲ τραβάει πρὸς τὰ κάτω τὸ βάρος τῶν δεσμῶν του, δηλαδὴ τῶν φροντίδων μου γι' αὐτό, καὶ ἐξέπεσα ἀπὸ τὰ χέρια τοῦ Θεοῦ, γιατὶ ἀπέδωσα τὴν ἀποκλειστικὴ μέριμνα καὶ τὴν ἐπιδίωξη τῆς βασιλείας τῶν οὐρανῶν σ' αὐτὸ ποὺ δὲν ἐπιτρεπόταν, ἐννοῶ τὴ γήινη ζωή, καὶ ἀνέχθηκα νὰ συμφέρομαι πιὸ πολὺ μὲ τὶς αἰσθήσεις, παρὰ νὰ στρέφω τὸ νοῦ μου στὸ Θεό. Ἂν ὅμως μὲ τὴν πρακτική μου ἄσκηση συνεχίζω ἁρματωμένος τὸν πόλεμό μου ἐναντίον τῶν παθῶν καὶ δὲν ἔχω ἀπαλλαγεῖ ἀκόμα ἀπὸ τοὺς δόλους τῶν ἐχθρῶν ποὺ θέλουν μὲ τὰ πάθη νὰ μὲ συλλάβουν, καὶ νιώσω τυφλὴ στοργὴ γιὰ τὸ σῶμα, εἶναι φανερὸ ὅτι ἔχω συλληφθεῖ ἀπὸ αὐτό, ἀφοῦ ἔχω προτιμήσει τὴ σχέση μαζί του, ἔχοντας χωριστεῖ ἀπὸ τὴν ἀρετή. Τραβιέται λοιπὸν πρὸς τὰ κάτω ὁ θεωρητικὸς ἐνῶ ἔχει ἤδη ἀποχωριστεῖ τὴ σχέση ἀπὸ τὸ σῶμα, ἂν ἀμελεῖ τὰ θεϊκὰ θεάματα. Ἐνῶ ὁ πρακτικὸς ποὺ πολεμᾶ μὲ τὸ σῶμα κρατιέται στὸ ἔδαφος, ἂν ὑποχωρεῖ στὴν πάλη πρὸς αὐτό, καὶ προτιμᾶ ἀπὸ τοὺς κόπους τῆς ἀρετῆς, ποὺ εἶναι ἐλευθερία τῆς ψυχῆς, τὸ νὰ εἶναι δοῦλος τῶν παθῶν.

## 2

Ἀπὸ τὸν ἴδιο Λόγο, στὸ λεγόμενο· «Ποιά εἶναι ἡ σοφία ποὺ μὲ περιβάλλει καὶ τί εἶναι αὐτὸ τὸ μεγάλο μυστήριο; Ἢ μήπως θέλει, ἐνῶ εἴμαστε μοίρα τοῦ Θεοῦ κι ἔχομε ἀπορρεύσει ἀπὸ τὸν οὐρανό, γιὰ νὰ μὴ κυριευθοῦμε ἀπὸ ἔπαρση ἐξαιτίας τῆς ἀξίας μας καὶ καταφρονήσομε τὸν Κύριο, νὰ προσβλέπομε πάντοτε πρὸς αὐτὸν κατὰ τὴ μάχη καὶ τὴν πάλη μας πρὸς τὸ σῶμα καὶ ἡ ἀσθένεια ἡ δεμένη μαζί μας νὰ εἶναι παιδαγωγί γιὰ τὸ ἀξίωμά μας;»[2].

Ὅταν κάποιοι διαβάζουν αὐτὰ τὰ λόγια, ἐπειδὴ δὲν περιμέ-

*κεν, ὑπὲρ τοῦ πονεῖν τῆς ζητήσεως ἕνεκεν τοῦ ἀληθοῦς μισθὸν ἐκδεχόμενοι, πρὸς τὸ εὔκολον καὶ πολλὰς ἔχον ἤδη ἐκ τῶν Ἑλληνικῶν δογμάτων τὰς ἀφορμὰς καταφεύγουσι, φάσκοντες τήν τέ ποτε οὖσαν κατὰ τὸ δόξαν αὐτοῖς τῶν λογικῶν ἐνάδα, καθ' ἣν συμφυεῖς ὄντες Θεῷ τὴν ἐν αὐτῷ μονὴν ἔχομεν καὶ ἵδρυσιν, προσέτι γε καὶ τὴν γενομένην κίνησιν, ἐξ ἧς σκεδεσθέντα διαφόρως τὰ λογικὰ πρὸς γένεσιν τοῦ σωματικοῦ τούτου κόσμου τὸν Θεὸν ἰδεῖν παρεσκεύασαν, χάριν τοῦ ἐνδῆσαι αὐτὰ σώμασιν ἐπὶ τιμωρίᾳ τῶν προημαρτημένων, διὰ τούτων αἰνίττεσθαι τῶν λόγων νομίζοντες τὸν διδάσκαλον. Ἀλλ' ἠγνόησαν ὡς ἀδύνατα ὑποτίθενται καὶ τῶν ἀμηχάνων καταστοχάζονται, καθὼς προϊὼν μετὰ τοῦ εἰκότος ὁ ἀληθὴς ἀποδείξει λόγος.*

*Εἰ γὰρ τὸ Θεῖον ἀκίνητον, ὡς πάντων πληρωτικόν, πᾶν δὲ τὸ ἐκ μὴ ὄντων τὸ εἶναι λαβὸν καὶ κινητόν, ὡς πρός τινα πάντως φερόμενον αἰτίαν, οὔπω δὲ οὐδὲν κινούμενον ἔστη, ὡς τῆς κατ' ἔφεσιν κινήσεως τὴν δυναμιν μήπω τῷ ἐσχάτῳ προσαναπαῦσαν ὀρεκτῷ (οὐδὲν γὰρ ἱστᾶν ἄλλο τὸ φερόμενον κατὰ φύσιν πέφυκεν ἢ ἐκεῖνο δεικνύμενον), οὐδὲν ἄρα κινούμενον ἔστη, ὡς τοῦ ἐσχάτου μήπω τυχὸν ὀρεκτοῦ· ἐπεὶ μηδ' ἐκεῖνό πω φανὲν τῶν περὶ αὐτὸ φερομένων τὴν κίνησιν ἔστησεν. Εἰ δὲ τοῦτό ποτε γεγενῆσθαι ἐξ ἐπιτάγματος κελεύουσι, καὶ τῆς ἐν τῷ ἐσχάτῳ καὶ μόνῳ ὀρεκτῷ ἱδρύσεώς τε καὶ μονῆς παρακινηθέντα τὰ λογικὰ τὸν σκεδασμὸν ἔλαβεν, ἵνα μὴ λέγων ἐρεσχελῶ, τίς ἡ ἀπόδειξις, τὰς αὐτὰς ἐπὶ τοῖς αὐτοῖς ἐπ' ἄπειρον ἕξειν τὰ λογικὰ μετεμπτώσεις ἐξ ἀνάγκης εἰκότως ὑποθήσονται. Οὗτινος γὰρ διὰ τῆς πείρας καταφρονεῖν ἅπαξ δεδύνηνται, καὶ εἰς*

3. **Ἐδῶ ἐκτίθεται καὶ ἀνατρέπεται ἡ πλατωνικὴ κυρίως ἄποψη γιὰ τὸν ἀν-**

νουν κανένα μισθό, ὅπως φαίνεται, γιὰ τὸν κόπο τους πρὸς ἀναζήτηση τῆς ἀλήθειας, καταφεύγουν στὸ εὔκολο ποὺ ἀντλεῖ πολλὴ βοήθεια ἀπὸ τὰ ἑλληνικὰ διδάγματα[3], μιλώντας καὶ γιὰ τὴ λογικὴ ἑνότητα τῶν λογικῶν ὄντων ποὺ κατὰ τὴ γνώμη τους ὑπῆρχε κάποτε, σύμφωνα μὲ τὴν ὁποία εἴμαστε σύμφυτοι μὲ τὸ Θεὸ καὶ εἴχαμε σταθερὴ παραμονὴ μέσα σ' αὐτόν, καὶ γιὰ τὴν κίνηση ποὺ ἄρχισε κι ἐξαιτίας της διασκορπισμένα σὲ διάφορες κατευθύνσεις τὰ λογικὰ γιὰ τὴ δημιουργία τοῦ σωματικοῦ τούτου κόσμου μᾶς ἔκαναν νὰ δοῦμε τὸ Θεό, γιὰ νὰ δεθοῦν αὐτὰ μέσα σὲ σώματα πρὸς τιμωρία γιὰ τὶς προηγούμενες ἁμαρτίες τους· αὐτὰ νομίζουν ὅτι ὑπαινίσσεται ὁ δάσκαλος μὲ τὰ λόγια αὐτά. Ἀλλ' ἀγνόησαν ὅτι κάνουν ἀδύνατες ὑποθέσεις καὶ καταστοχάζονται ἀπραγματοποίητα πράγματα, ὅπως προχωρώντας μὲ λογικὴ θ' ἀποδείξει ὁ ἀληθινὸς λόγος.

Ἂν δηλαδὴ τὸ Θεῖον εἶναι ἀκίνητον, ἐπειδὴ γεμίζει τὰ πάντα, ἐνῶ τὸ κάθετι ποὺ ἔχει λάβει τὸ εἶναι ἀπὸ τὸ μὴ ὂν εἶναι κινητό, ἐπειδὴ ὁπωσδήποτε κινεῖται πρὸς κάποια αἰτία καὶ δὲν ἔχει σταματήσει ἀκόμα κανένα κινούμενο, ἐπειδὴ δὲν ἔχει ἀκόμα ἀναπαύσει στὸ ἔσχατο ἐπιθυμητὸ τὴ δύναμη τῆς ἐπιθυμίας του (γιατὶ κανένα ἄλλο δὲν μπορεῖ ὡς ἀπὸ τὴ φύση του νὰ σταματήσει αὐτὸ ποὺ κινεῖται, παρὰ μόνο ὅταν φανεῖ τὸ ἔσχατο), ἄρα κανένα κινούμενο δὲ σταμάτησε, ἐπειδὴ δὲν ἐπέτυχε ἀκόμα τὸ ἔσχατο ἐπιθυμητό, γιὰ τὸ λόγο ὅτι δὲ σταμάτησε μὲ τὴν ἐμφάνισή του τὴν κίνηση ἐκείνων ποὺ κινοῦνται γύρω ἀπὸ αὐτό. Κι ἂν αὐτὸ λένε ὅτι ἔγινε κάποτε μὲ διαταγὴ καὶ τὰ λογικὰ διασκορπίστηκαν μὲ παράγγελμα ἀπὸ τὴ σταθερὴ παραμονή τους μέσα στὸ ἔσχατο καὶ μόνο ἐπιθυμητό, γιὰ νὰ μὴ φλυαρῶ γιὰ τὸ ποιά εἶναι ἡ ἀπόδειξη, θὰ ὑποθέσουν ὑποχρεωτικὰ ὅτι τὰ λογικὰ ὄντα θὰ ἔχουν στὸ ἄπειρο τὶς ἴδιες μεταπτώσεις στὰ ἴδια. Γιατὶ αὐτὸ ποὺ μπόρεσαν ἀπὸ τὴν πείρα τους μιὰ φορὰ νὰ τὸ περιφρονήσουν, κανένας λόγος δὲ θὰ ἐμποδίσει νὰ μποροῦν νὰ τὸ περιφρονοῦν

---

θρωπο ποὺ τὴν εἶχε ἐνστερνισθεῖ καὶ ὁ Ὠριγένης. Ὁ Ὠριγένης διδάσκει ὅτι ἡ δημιουργία εἶναι ποινὴ γιὰ τὴν ἁμαρτία τῆς ψυχῆς σὲ παλαιότερη ἀσώματη ὕπαρξη.

*ἀεὶ δυνήσεσθαι οὐδεὶς ὁ κωλύσων ἔσται λόγος. Τοῦ δὲ οὕτω φέρεσθαι τὰ λογικὰ καὶ μηδεμίαν ἔχειν ἢ ἐλπίζειν βάσιν ἀμετάθετον τῆς ἐν τῷ καλῷ παγιότητος, τί ἄλλο γένοιτ' ἂν ἐλεεινότερον;*

*Εἰ δὲ δύνασθαι μὲν φαῖεν, μὴ βούλεσθαι δέ, διὰ τὴν γενομένην πεῖραν τοῦ ἐναντίου, καὶ οὕτως οὐ δι' ἑαυτό, ὡς καλόν, ἀλλὰ διὰ τὸ ἐναντίον τὸ καλὸν αὐτοῖς ἔσται ἐξ ἀνάγκης στεργόμενον, ὡς οὐ φύσει ἢ κυρίως ὃν ἐραστόν. Πᾶν γὰρ ὃ μὴ δι' ἑαυτὸ ἀγαθόν ἐστι καὶ ἐραστὸν καὶ πάσης ἑλκτικὸν κινήσεως οὐ κυρίως καλόν. Καὶ διὰ τοῦτο οὐδὲ καθεκτικὸν εἰκότως τῆς τῶν ἐπ' αὐτῷ ἡδομένων ἐφέσεως, ἀλλὰ καὶ χάριν λοιπὸν ὁμολογήσαιεν ἂν τῷ κακῷ οἱ τοῦτο περιέποντες τὸ φρόνημα, ὡς δι' αὐτοῦ τὸ δέον διδαχθέντες καὶ τὴν ἐν τῷ καλῷ πῆξιν πῶς ἔχειν μεταμαθόντες καὶ γένεσιν αὐτὸ ἀναγκαίως εἴποιεν ἄν, εἴπερ ἑαυτοῖς στοιχεῖν διέγνωσαν, καὶ τῆς φύσεως αὐτῆς χρησιμωτέραν, ὡς τοῦ συμφέροντος κατ' αὐτοὺς οὖσαν διδακτικήν, καὶ τοῦ πάντων τιμιωτέρου κτήματος, τῆς ἀγάπης λέγω, γεννητικήν, καθ' ἣν πέφυκε πάντα τὰ ἐκ Θεοῦ γινόμενα εἰς Θεὸν συνάγεσθαι μονίμως γε καὶ ἀπαρατρέπτως.*

*Καὶ πάλιν, τῶν ἐκ Θεοῦ γενομένων νοητῶν τε καὶ αἰσθητῶν ἡ γένεσις τῆς κινήσεως προεπινοεῖται. Οὐ γὰρ οἷόν τε πρὸ γενέσεως εἶναι κίνησιν. Τῶν γὰρ γενομένων ἡ κίνησις, ἥ τε νοητῶν, νοητή, ἥ τε αἰσθητῶν, αἰσθητή. Οὐδὲν γὰρ τῶν γενομένων ἐστὶ τὸ παράπαν τῷ καθ' αὐτὸ λόγῳ ἀκίνητον, οὐδ' αὐτῶν τῶν ἀψύχων καὶ αἰσθητῶν, ὡς τοῖς ἐπιμελεστέροις τῶν ὄντων θεάμοσιν ἔδοξε. Κινεῖσθαι γὰρ πάντα ἔφασαν, ἢ κατ' εὐθεῖαν, ἢ κατὰ κύκλον, ἢ ἑλικοειδῶς. Πᾶσα γὰρ κίνησις τῷ ἁπλῷ καὶ τῷ συνθέτῳ περιέχεται τρόπῳ. Εἰ τοίνυν προεπινοεῖται τῆς ὧν ἐστι κινήσεως ἡ γένεσις, ἐπιθεωρεῖται δὴ τῆς ὧν*

4. Ὁ Πλάτων καὶ ὁ Ὠριγένης διδάσκουν τὸ ἀντίθετο.

γιὰ πάντα. Νὰ συμπεριφέρονται ὅμως ἔτσι τὰ λογικὰ ὄντα καὶ νὰ μὴν ἔχουν οὔτε νὰ ἐλπίζουν κάποιο ἀμετακίνητο θεμέλιο τῆς σταθερότητάς τους μέσα στὸ καλό, τί ἄλλο θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἐλεεινὸ ἀπὸ αὐτό;

Ἐὰν πάλι ἰσχυρισθοῦν ὅτι μποροῦν ἀλλὰ δὲ θέλουν, ἐπειδὴ ἔχουν λάβει πείρα γιὰ τὸ ἀντίθετο, καὶ ἔτσι πάλι ὄχι γι' αὐτὸ τὸ ἴδιο ὡς καλό, ἀλλὰ ἐξαιτίας τοῦ ἀντίθετου ἐξ ἀνάγκης δείχνουν τὴ στοργή τους πρὸς τὸ καλό, ἐπειδὴ δὲν εἶναι ἀπὸ τὴ φύση του ἢ κυρίως ποθητό. Γιατὶ ὅ,τι δὲν εἶναι ἀπὸ τὸν ἑαυτό του ἀγαθὸ καὶ ποθητὸ καὶ δὲν προσελκύει πρὸς τὸν ἑαυτό του κάθε κίνηση, δὲν εἶναι κυρίως καλό. Καὶ γι' αὐτὸ δικαιολογημένα οὔτε καὶ συγκρατεῖ τὴν ἐπιθυμία ἐκείνων ποὺ εὐχαριστεῖ, ἀλλὰ στὸ τέλος καὶ χάρη θὰ ὁμολογήσουν στὸ κακό, ἐκεῖνοι ποὺ καλλιεργοῦν αὐτὸ τὸ φρόνημα, γιατὶ τάχα ἀπὸ αὐτὸ διδάχθηκαν τὸ πρέπον καὶ ἔμαθαν καλὰ πῶς εἶναι ἡ παγίωση μέσα στὸ καλό, καὶ θὰ μποροῦσαν αὐτὸ νὰ τὸ ποῦν ὑποχρεωτικὰ γένεση. Αὐτὸ βέβαια, ἂν κατάλαβαν ὅτι ἁρμόζει σ' αὐτοὺς καὶ εἶναι χρησιμότερη ἀπὸ τὴν ἴδια τὴ φύση, ἐπειδὴ τοὺς διδάσκει ἐκεῖνο ποὺ τοὺς συμφέρει καὶ ἐπειδὴ γεννᾶ τὸ σπουδαιότερο ἀπὸ ὅλα τὰ ἀποκτήματα, ἐννοῶ τὴν ἀγάπη, σύμφωνα μὲ τὴν ὁποία κατὰ φυσικὸ λόγο ὅλα ὅσα γίνονται ἀπὸ τὸ Θεὸ συγκεντρώνονται στὸ Θεὸ κατὰ τρόπο μόνιμο καὶ ἀμετάβλητο.

Καὶ πάλι ἡ γένεση τῶν αἰσθητῶν καὶ νοητῶν ποὺ δημιούργησε ὁ Θεὸς προεπινοεῖται τῆς κινήσεως[4]. Γιατὶ δὲν εἶναι δυνατὸν νὰ ὑπάρχει πρὶν ἀπὸ τὴ γένεση κίνηση. Ἡ κίνηση δηλαδὴ ἐκείνων ποὺ ἔχουν γίνει εἶναι τῶν νοητῶν νοητὴ καὶ τῶν αἰσθητῶν αἰσθητή. Γιατὶ δὲν ὑπάρχει κανένα ἀπολύτως ἀπὸ ὅσα ἔχουν δημιουργηθεῖ ποὺ νὰ εἶναι ἀκίνητο κατὰ τὴν οὐσία του, οὔτε ἀπὸ αὐτὰ ἀκόμα τὰ ἄψυχα καὶ τὰ αἰσθητά, ὅπως ἐνόμισαν οἱ πιὸ ἐπιμελεῖς μελετητὲς τῶν ὄντων. Γιατὶ δίδαξαν αὐτοὶ ὅτι ὅλα κινοῦνται ἢ εὐθύγραμα ἢ κυκλικὰ ἢ ἑλικοειδῶς. Κάθε κίνηση δηλαδὴ δημιουργεῖται μὲ τὸν ἁπλὸ ἢ τὸν σύνθετο τρόπο. Ἐὰν λοιπὸν προεπινοεῖται ἡ γένεση τῆς κίνησης ἐκείνων ποὺ τὴν ἔχουν, τότε ἡ κίνηση νοεῖται μετὰ τὴ γένεση ἐκείνων ποὺ τὴν ἔχουν,

*ἐστι γενέσεως ἡ κίνησις, ὡς μετ᾽ αὐτὴν κατεπίνοιαν οὖσα. Ταύτην δὲ τὴν κίνησιν δύναμιν καλοῦσιν φυσικήν, πρὸς τὸ κατ᾽ αὐτὴν τέλος ἐπειγομένην, ἢ πάθος, ἤτοι κίνησιν, ἐξ ἑτέρου πρὸς ἕτερον γινομένην, τέλος ἔχουσαν τὸ ἀπαθές, ἢ ἐνέργειαν δραστικήν, τέλος ἔχουσαν τὸ αὐτοτελές. Οὐδὲν δὲ τῶν γενητῶν ἑαυτοῦ τέλος ἐστίν, ἐπειδὴ οὔτε αὐταίτιον, ἐπεὶ καὶ ἀγένητον καὶ ἄναρχον καὶ ἀκίνητον, ὡς πρὸς μηδὲν πῶς ἔχον κινηθῆναι. Ἐκβαίνει γὰρ τῶν ὄντων τὴν φύσιν, ὡς οὐδενὸς ἕνεκεν ὄν, εἴπερ ἀληθὴς ὁ περὶ αὐτοῦ ὁρισμός, κἂν ἀλλότριος ᾖ ὁ λέγων. Τέλος ἐστὶν οὗ ἕνεκεν τὰ πάντα, αὐτὸ δὲ οὐδενὸς ἕνεκεν. Οὐδὲ αὐτοτελές, ἐπεὶ καὶ ἀνενέργητον, ὡς πλῆρες, καὶ ὡσαύτως καὶ μηδαμόθεν τὸ εἶναι ἔχον. Τὸ αὐτοτελὲς γάρ πως καὶ ἀναίτιον. Οὐδ᾽ ἀπαθές, ἐπεὶ καὶ μόνον καὶ ἄπειρον καὶ ἀπερίγραφον. Οὐ γὰρ πάσχειν πέφυκε καθόλου τὸ ἀπαθές, τῷ μήτ᾽ ἐρᾷν ἄλλου, ἢ κινεῖσθαι πρὸς ἄλλο τι κατ᾽ ἔφεσιν.*

*Οὐδὲν ἄρα τῶν γενητῶν κινούμενον ἔστη, ὡς τῆς πρώτης καὶ μόνης αἰτίας, ἐξ ἧς τὸ εἶναι τοῖς οὖσι περίεστι, μήπω τυχόν, ἢ τοῦ ἐσχάτου ἐντὸς γενόμενον ὀρεκτοῦ, ἵν᾽ ἐκ προγεγενημένης ἑνάδος ὁ τῶν λογικῶν σκεδασμὸς ἑαυτῷ τὴν τῶν σωμάτων γένεσιν ἀκολούθως συνεισκομίσας νομισθῇ. Καὶ μαρτυροῦσι Μωϋσῆς καὶ Δαβὶδ καὶ Παῦλος ὁ ἅγιοι, καὶ ὁ τούτων Δεσπότης Χριστός, ὁ μέν, «μὴ γεύσασθαι τοῦ ξύλου τῆς ζωῆς» τὸν προπάτορα ἱστορήσας, καὶ ἄλλοθι εἰπών, «οὐ γὰρ ἥκατε ἕως τοῦ νῦν εἰς τὴν κατάπαυσιν καὶ εἰς τὴν κληρονομίαν, ἣν Κύριος ὁ Θεὸς ἡμῶν δίδωσιν ὑμῖν». Ὁ δέ, «χορτασθήσομαι βοῶν ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου»· καί, «ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα, πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τὸν Θεόν». Ὁ δὲ Φιληππησίοις μὲν γράφων, «εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν, οὐχ ὅτι ἤδη*

5. Γεν. 2,17. 6. Δευτ. 12,9.
7. Ψαλμ. 17,5. 8. Ψαλμ. 42,2.

ἐπειδὴ ἔρχεται στὸ νοῦ ἔπειτα ἀπὸ αὐτὴν. Καὶ αὐτὴν τὴν κίνηση τὴν ὀνομάζουν δύναμη φυσική, ποὺ σπεύδει πρὸς τὸ οἰκεῖο τέλος ἢ πάθος, δηλαδὴ τὴν κίνηση, ποὺ γίνεται ἀπὸ τὸ ἕνα στὸ ἄλλο, κι ἔχει ὡς τέλος τὸ ἀπαθές, ἢ ἐνέργεια δραστικὴ ποὺ τέλος της ἔχει τὸ αὐτοτελές. Κανένα ἀπὸ ὅσα ἔχουν δημιουργηθεῖ δὲν εἶναι τέλος τοῦ ἑαυτοῦ του, ἐπειδὴ δὲν εἶναι οὔτε τὸ ἴδιο αἰτία τοῦ ἑαυτοῦ του, γιατὶ ἀλλιῶς θὰ ἦταν ἀδημιούργητο καὶ δὲ θὰ εἶχε ἀρχὴ οὔτε κίνηση, ἀφοῦ δὲν θὰ ἔχει ἀπὸ ποιό κατὰ κάποιο τρόπο νὰ κινηθεῖ. Γιατὶ ὑπερβαίνει τὴ φύση τῶν ὄντων, ἀφοῦ δὲν ὑπάρχει ἐξαιτίας κανενός, ἂν εἶναι ἀληθινός, ἔστω κι ἂν εἶναι ξενικὸς ὁ ὁρισμός, ποὺ λέει· 'Τέλος εἶναι ἐκεῖνο ποὺ ἐξαιτίας του ὑπάρχουν τὰ πάντα, αὐτὸ ὅμως ὑπάρχει ἐξαιτίας κανενός'. Οὔτε αὐτοτελὲς εἶναι, γιατὶ εἶναι ἀνενεργὸ ἐπειδὴ δέν εἶναι πλῆρες καὶ ἐπίσης δὲν ἔχει τὸ εἶναι του ἀπὸ πουθενά. Γιατὶ τὸ αὐτοτελὲς εἶναι κατὰ κάποιο τρόπο καὶ χωρὶς αἰτία. Οὔτε ἀπαθὲς εἶναι, ἐπειδὴ εἶναι καὶ μόνο καὶ ἄπειρο καὶ ἀπεριόριστο. Γιατὶ τὸ ἀπαθὲς δὲν ἔχει καθόλου στὴ φύση του τὸ πάσχειν, ἐπειδὴ οὔτε ποθεῖ κάτι ἄλλο οὔτε τὸ κινεῖ πρὸς κάτι ἄλλο ὁ πόθος του.

Κανένα λοιπὸν ἀπὸ τὰ δημιουργημένα ποὺ εἶχε κίνηση δὲ σταμάτησε, ἐπειδὴ δὲν πέτυχε ἀκόμα τὴν πρώτη καὶ μόνη αἰτία, ἀπὸ τὴν ὁποία λαμβάνουν τὰ ὄντα τὸ εἶναι, ἢ ἐπειδὴ δὲν βρέθηκε ἀκόμα μέσα στὸ ἔσχατο ποθητό, ὥστε νὰ νομισθεῖ ὅτι ὁ διασκορπισμὸς τῶν λογικῶν ὄντων ἀπὸ τὴν προηγούμενη ἑνότητα προκάλεσε στὴ συνέχεια μέσα του τὴ γένεση τῶν σωμάτων. Καὶ τὸ ἐπιβεβαιώνουν αὐτὸ οἱ ἅγιοι ὁ Μωυσῆς καὶ ὁ Δαβὶδ καὶ ὁ Παῦλος, καὶ ὁ Κύριός τους ὁ Χριστός, ὁ ἕνας διηγούμενος τὸν βίο τοῦ προπάτορα καὶ λέγοντας «νὰ μὴ δοκιμάσετε ἀπὸ τὸ δένδρο τῆς ζωῆς»[5], καὶ σ' ἄλλο σημεῖο, «δὲν φθάσατε ἀκόμα ὡς τώρα στὴν ἀνάπαυση καὶ στὴν κληρονομία ποὺ σᾶς δίνει ὁ Κύριος ὁ Θεός σας»[6]. Ὁ ἄλλος λέγοντας «θὰ χορτάσω ἀτενίζοντας τὴ δόξα σου»[7], καὶ «ἔνιωσε δίψα ἡ ψυχή μου γιὰ τὸ Θεὸ ποὺ εἶναι ἰσχυρὸς καὶ ζωντανός· πότε θὰ φθάσω καὶ θὰ δῶ μὲ τὰ μάτια μου τὸ Θεό;»[8]. Καὶ ὁ Παῦλος γράφοντας στοὺς Φιλιππησίους· «μήπως καὶ φθάσω στὴν ἀνάσταση τῶν νεκρῶν· δὲν λέγω βέ-

*ἔλαβον ἢ ἤδη τετελείωμαι, διώκω δὲ εἴ γε καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Ἰησοῦ Χριστοῦ». Ἑβραίοις δέ, «ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός». Καὶ πάλιν ἐν τῇ αὐτῇ Ἐπιστολῇ μηδένα κομίσασθαι τὰς ἐπαγγελίας διαβεβαιούμενος. Ὁ δέ, «δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς».*

*Οὔπω οὖν οὐδαμῶς οὐδὲν τῶν γενητῶν τὴν φυσικὴν δύναμιν πρὸς τὸ κατ' αὐτὴν τέλος κινουμένην ἔστησεν, οὐδὲ τῆς ἐνεργείας ἐπαύσατο τῷ κατ' αὐτὴν τέλει προσερεῖσαν αὐτήν, οὐδὲ τοῦ κατὰ κίνησιν πάθους τὸν καρπὸν ἐδρέψατο, τὸ ἀπαθές, φημί, καὶ ἀκίνητον. Μόνου γὰρ Θεοῦ τὸ τέλος εἶναι καὶ τὸ τέλειον καὶ τὸ ἀπαθές, ὡς ἀκινήτου καὶ πλήρους καὶ ἀπαθοῦς, τῶν γενητῶν δὲ τὸ πρὸς τέλος ἄναρχον κινηθῆναι, καὶ ἀπόσῳ τελείῳ τέλει παῦσαι τὴν ἐνέργειαν, καὶ παθεῖν, ἀλλ' οὐκ εἶναι ἢ γενέσθαι κατ' οὐσίαν τὸ ἄποιον· πᾶν γὰρ γενητὸν καὶ κτιστὸν οὐκ ἄσχετον δηλονότι. Εὐγνωμόνως δὲ τοῦ πάθους ἀκουστέον· οὐ γὰρ τὸ κατὰ τροπὴν ἢ φθορὰν δυνάμεως ἐνταῦθα δηλοῦται πάθος, ἀλλὰ τὸ φύσει συνυπάρχον τοῖς οὖσι. Πάντα γὰρ ὅσα γέγονε πάσχει τὸ κινεῖσθαι, ὡς μὴ ὄντα αὐτοκίνησις ἢ αὐτοδύναμις.*

*Εἰ τοίνυν γενητὰ ὑπάρχει τὰ λογικὰ καὶ κινεῖται πάντως, ὡς ἐξ ἀρχῆς κατὰ φύσιν διὰ τὸ εἶναι, πρὸς τέλος κατὰ γνώμην διὰ τὸ εὖ εἶναι κινούμενα. Τέλος γὰρ τῆς τῶν κινουμένων κινήσεως αὐτὸ τὸ ἐν τῷ ἀεὶ εὖ εἶναί ἐστιν, ὥσπερ καὶ ἀρχὴ αὐτὸ τὸ εἶναι ὅπερ ἐστὶν ὁ Θεός, ὁ καὶ τοῦ εἶναι δοτὴρ καὶ τοῦ εὖ εἶναι χαριστικός, ὡς ἀρχὴ καὶ τέλος· ἐξ αὐτοῦ γὰρ καὶ τὸ ἁπλῶς κινεῖσθαι ἡμᾶς, ὡς ἀρχῆς, καὶ τὸ πῶς κινεῖσθαι πρὸς αὐτὸν ὡς τέλος ἐστίν. Εἰ δὲ κινεῖται ἀναλόγως ἑαυτῷ νοερῶς τὸ νοερόν,*

9. Φιλ. 3,11. 10. Ἑβρ. 4,10.
11. Ματθ. 11,28.

βαια ὅτι ἤδη τὴν ἔχω ἐπιτύχει ἢ ὅτι εἶμαι ἤδη τέλειος, ἀλλὰ ἐπιδιώκω νὰ ἐπιτύχω ἐκεῖνο γιὰ τὸ ὁποῖο μὲ ἔκανε καὶ ὁ Χριστὸς δικό του»[9]. Καὶ στοὺς Ἑβραίους γράφει· «γιατὶ ἐκεῖνος ποὺ εἰσῆλθε στὴν κατάπαυση τοῦ Θεοῦ, σταμάτησε κι αὐτὸς ἀπὸ τὰ ἔργα του, ὅπως ὁ Θεὸς ἀπὸ τὰ δικά του»[10]. Καὶ πάλι στὴν ἴδια ἐπιστολὴ διαβεβαιώνει ὅτι κανένας δὲν ἐπέτυχε τὶς ὑποσχέσεις. Ὁ Κύριος πάλι λέγει· «ἐλᾶτε πρὸς ἐμένα ὅλοι ὅσοι καπιάζετε καὶ λυγίζετε ἀπὸ τὸ φορτίο τῶν μόχθων σας, καὶ ἐγὼ θὰ σᾶς ἀναπαύσω»[11].

Ἀπολύτως λοιπὸν κανένα ἀπὸ τὰ δημιουργήματα δὲ σταμάτησε τὴ φυσικὴ δύναμή του νὰ κινεῖται πρὸς τὸν οἰκεῖο σκοπό του, οὔτε σταμάτησε τὴν ἐνέργειά του νὰ τὴν καθοδηγεῖ πρὸς τὸν οἰκεῖο τέλος του, οὔτε ἔδρεψε τοὺς καρποὺς τοῦ πάθους τῆς κίνησης, δηλαδὴ τὴν ἀπάθεια καὶ τὴν ἀκινησία. Γιατὶ τοῦ Θεοῦ μόνον ἰδιότητα εἶναι τὸ τέλος καὶ ἡ τελειότητα καὶ ἡ ἀπάθεια, ἐπειδὴ εἶναι ἀκίνητος καὶ πλήρης καὶ ἀπαθής, ἐνῶ γνώρισμα τῶν δημιουργημάτων εἶναι ἡ κίνηση πρὸς τὸ ἄναρχο τέλος καὶ τὸ σταμάτημα στὸ ἄσχετο μὲ τὸ ποσὸ τέλειο τέλος, καὶ τὸ ν' ἀποκτήσουν, ἀλλὰ νὰ μὴ εἶναι ἢ νὰ γίνουν στὴν οὐσία τους χωρὶς ποιό. Γιατὶ εἶναι φανερὸ πὼς κάθετι ποὺ γίνεται καὶ δημιουργεῖται δὲν εἶναι ἀπεριόριστο. Τὸ πάθος βέβαια πρέπει νὰ τὸ ἐννοήσομε μὲ τὴν καλή του ἔννοια· γιατὶ δὲν δηλώνεται ἐδῶ τὸ πάθος μὲ τὴν ἔννοια τῆς τροπῆς ἢ τῆς φθορᾶς, ἀλλὰ μὲ τὴ φυσικὴ ἰδιότητα ποὺ ἔχουν ὅλα τὰ ὄντα. Ὅλα δηλαδὴ ὅσα ἔχουν δημιουργηθεῖ ὑφίστανται τὴν κίνηση, ἐπειδὴ τὰ ἴδια δὲν εἶναι αὐτοκίνηση ἢ αὐτοδύναμη.

Ἂν λοιπὸν τὰ λογικὰ ἔχουν γίνει, ὁπωσδήποτε τότε καὶ κινοῦνται, γιατὶ ἐξαιτίας τῆς ὕπαρξής τους κινοῦνται ἀπὸ τὴν ἀρχὴ φυσικῶς καὶ μὲ τὴ δική τους γνώμη πρὸς ἕνα τέλος γιὰ χάρη τῆς μακαριότητας. Τέλος δηλαδὴ τῆς κίνησης ὅσων κινοῦνται εἶναι νὰ ὑπάρχουν μέσα στὸ ἴδιο τὸ μακάριο εἶναι, ὅπως ἀκριβῶς εἶναι καὶ ἀρχὴ τὸ ἴδιο τὸ εἶναι, δηλαδὴ ὁ Θεός, ὁ ὁποῖος καὶ τὸ εἶναι δίνει καὶ τὸ μακάριο εἶναι χαρίζει, ἀφοῦ εἶναι ἀρχὴ καὶ τέλος. Ἂν πάλι τὸ νοερὸ κινεῖται νοερὰ ἀνάλογα μὲ τὸν ἑαυτό του, τότε

*καὶ νοεῖ πάντως· εἰ δὲ νοεῖ, καὶ ἐρᾷ πάντως τοῦ νοηθέντος· εἰ δ' ἐρᾷ, καὶ πάσχει πάντως τὴν πρὸς αὐτὸ ὡς ἐραστὸν ἔκστασιν· εἰ δὲ πάσχει, δηλονότι καὶ ἐπείγεται· εἰ δὲ ἐπείγεται, καὶ ἐπιτείνει πάντως τὸ σφοδρὸν τῆς κινήσεως· εἰ δὲ ἐπιτείνει σφοδρῶς τὴν κίνησιν, οὐχ ἵσταται μέχρις ἂν γένηται ὅλον ἐν τῷ ἐραστῷ ὅλῳ καὶ ὑφ' ὅλου περιληφθῇ, ἑκουσίως ὅλον κατὰ προαίρεσιν τὴν σωτήριον περιγραφὴν δεχόμενον, ἵν' ὅλον ὅλῳ ποιωθῇ τῷ περιγράφοντι, ὡς μηδ' ὅλως λοιπὸν βούλεσθαι ἐξ ἑαυτοῦ αὐτὸ ἐκεῖνο ὅλον γνωρίζεσθαι δύνασθαι τὸ περιγραφόμενον, ἀλλ' ἐκ τοῦ περιγράφοντος· ὡς ἀὴρ δι' ὅλου πεφωτισμένος φωτί, καὶ πυρὶ σίδηρος, ὅλος ὅλῳ πεπυρακτωμένος, ἢ εἴ τι ἄλλο τῶν τοιούτων ἐστίν.*

*Ἐξ ὧν στοχαστικῶς τὴν ἐσομένην, ἀλλ' οὐ τὴν γεγενημένην καὶ παραφθαρεῖσαν, τοῖς ἀξίοις τῆς ἀγαθότητος μετουσίαν κατ' εἰκασίαν μόνον λαμβάνομεν, ἐπειδὴ καὶ ὑπὲρ ταῦτα πάντα τὰ ἐλπιζόμενά ἐστιν, ὡς ὄψεως ὄντα κατὰ τὸ γεγραμμένον, καὶ ἀκοῆς καὶ διανοίας ἐπέκεινα. Καὶ τοῦτό ἐστιν ἴσως ἡ ὑποταγὴ ἣν ὁ θεῖος Ἀπόστολός φησι τῷ Πατρὶ τὸν Υἱὸν ὑποτάσσειν, τοὺς ἑκουσίως δεχομένους τὸ ὑποτάσσεσθαι, μεθ' ἥν, ἢ δι' ἥν, «ὁ ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος», ὡς τοῦ ἐφ' ἡμῖν, ἤγουν τοῦ αὐτεξουσίου, δι' οὗ πρὸς ἡμᾶς ποιούμενος τὴν εἴσοδον ἐπεκύρου καθ' ἡμῶν τὸ τῆς φθορᾶς κράτος, ἑκουσίως καθ' ὅλου ἐκχωρηθέντος Θεῷ καὶ καλῶς βασιλεύοντος τὸ βασιλεύεσθαι, τῷ ἀργεῖν τοῦ τι ἐθέλειν παρ' ὃ θέλει Θεός· ὥσπερ φησὶν αὐτὸς ἐν ἑαυτῷ τυπῶν τὸ ἡμέτερον ὁ Σωτὴρ πρὸς τὸν Πατέρα· «Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ». Καὶ μετ' αὐτὸν ὁ θεσπέσιος Παῦλος, ὥσπερ ἑαυτὸν ἀρνησάμενος καὶ ἰδίαν ἔχειν ἔτι ζωὴν μὴ εἰδώς· «ζῶ γὰρ οὐκ ἔτι ἐγώ· ζῇ γὰρ ἐν ἐμοὶ Χριστός».*

*Μὴ ταραττέτω δὲ ὑμᾶς τὸ λεγόμενον. Οὐ γὰρ ἀναίρεσιν τοῦ αὐτεξουσίου γίνεσθαί φημι, ἀλλὰ θέσιν μᾶλλον τὴν κατὰ*

---

12. Α' Κορ. 15,26. 13. Ματθ. 26,30.
14. Γαλ. 10,20.

ὁπωσδήποτε καὶ νοεῖ· κι ἂν νοεῖ, ὁπωσδήποτε καὶ ποθεῖ τὸ ἀντικείμενο τῆς νόησής του· κι ἂν ποθεῖ, ὑφίσταται ὁπωσδήποτε καὶ τὴν ἔκσταση πρὸς αὐτὸ ποὺ εἶναι τὸ ποθητό του· κι ἂν ὑφίσταται, εἶναι φανερὸ καὶ ὅτι σπεύδει, κι ἂν σπεύδει, τότε ὁπωσδήποτε καὶ ἐπιτείνει τὴ σφοδρότητα τῆς κίνησης· κι ἂν ἐπιτείνει ὁλοένα τὴ σφοδρότητα τῆς κίνησης, δὲ σταματᾶ ὥσπου νὰ εἰσέλθει ὅλο μέσα σ' ὅλο τὸ ποθητὸ καὶ νὰ περι–γραφεῖ ἀπὸ ὅλο, δεχόμενο ὅλο κι αὐτὸ μὲ τὴ θέλησή του καὶ συνειδητὰ τὴ σωτηρία αὐτὴ περι–γραφή, γιὰ νὰ λάβη ὁλόκληρο τὴν ποιότητα ὁλόκληρου ἐκείνου ποὺ τὸ περιγράφει, ὥστε καθόλου νὰ μὴ θέλει στὸ ἑξῆς αὐτὸ ποὺ περιγράφεται ν' ἀναγνωρίζεται ἀκέραιο ἀπὸ τὸν ἑαυτό του, ἀλλὰ ἀπὸ αὐτὸ ποὺ τὸ περιγράφει. Νὰ γίνει δηλαδὴ ὅπως ὁ ἀέρας ποὺ τὸν διαπερνᾶ ὡς πέρα τὸ φῶς καὶ ἡ φωτιὰ τὸ σίδερο ὅλη σὲ ὅλο ἢ ὁποιοδήποτε ἄλλο ἀπὸ τὰ ὅμοια.

Ἀπὸ αὐτὰ συμπερασματικὰ καὶ μὲ τὴ φαντασία μόνο λαμβάνομε ὄχι ἐκείνην ποὺ εἴχαμε καὶ ἔχει παραφθαρεῖ, ἀλλὰ τὴ μελλοντικὴ γιὰ τοὺς ἄξιους μετουσία τῆς ἀγαθότητας· γιατὶ ὅσα ἐλπίζομε εἶναι πάνω ἀπὸ ὅλα αὐτά, ἀφοῦ, σύμφωνα μ' ἐκεῖνο ποὺ ἔχει γραφεῖ, εἶναι ἐπέκεινα ἀπὸ ὅραση καὶ ἀπὸ ἀκοὴ καὶ ἀπὸ διάνοια. Καὶ ἴσως αὐτὴ εἶναι ἡ ὑποταγή, σύμφωνα μὲ τὴν ὁποία λέει ὁ θεῖος Ἀπόστολος ὅτι ὁ Υἱὸς ὑποτάσσει στὸν Πατέρα, ὅσους δέχονται ἑκούσια τὴν ὑποταγή, ποὺ ἔπειτ' ἀπὸ αὐτὴν ἢ χάρη σ' αὐτήν, «καταργεῖται ὁ ἔσχατος ἐχθρός, ὁ θάνατος»[12], ἐπειδὴ τὸ αὐτεξούσιό μας, μέσω τοῦ ὁποίου εἰσῆλθε μέσα μας κι ἐπικύρωσε τὸ κράτος τῆς φθορᾶς, παραχωρήθηκε ἐξ ὁλοκλήρου στὸ Θεὸ καὶ ποὺ καλὰ κυβερνᾶ μὲ τὸ νᾶ κυβερνᾶται μὴ θέλοντας νὰ κάνει κάτι ποὺ δὲν θέλει ὁ Θεός, ὅπως ἀκριβῶς ὁ ἴδιος ὁ Σωτήρας ἀποτυπώνοντας στὸν ἑαυτό του τὸν ἄνθρωπο λέει στὸν Πατέρα του· «ὄχι ὅμως ὅπως θέλω ἐγώ, ἀλλὰ ὅπως ἐσύ»[13]. Κι ἔπειτ' ἀπὸ αὐτὸν ὁ θεῖος Παῦλος πού, σὰ νὰ ἔχει ἀρνηθεῖ τὸν ἑαυτό του καὶ δὲ γνωρίζει ἂν ἔχει πιὰ ζωὴ δική τού, λέει· «καὶ δὲν ζῶ πιὰ ἐγῶ, γιατὶ ζεῖ μέσα μου ὁ Χριστός»[14].

Ἂς μὴ σᾶς ταράσσει αὐτὸς ὁ λόγος. Γιατὶ δὲν ἰσχυρίζομαι πὼς καταργεῖται τὸ αὐτεξούσιο, ἀλλὰ γίνεται μᾶλλον θέση του

φύσιν παγίαν τε καὶ ἀμετάθετον, ἤγουν ἐκχώρησιν γνωμικήν, ἵν᾽ ὅθεν ἡμῖν ὑπάρχει τὸ εἶναι, καὶ τὸ κινεῖσθαι λαβεῖν ποθήσωμεν, ὡς τῆς εἰκόνος ἀνελθούσης πρὸς τὸ ἀρχέτυπον, καὶ σφραγῖδος δίκην ἐκτυπώματι καλῶς ἡρμοσμένης τῷ ἀρχετύπῳ, καὶ ἄλλοθι φέρεσθαι μήτ᾽ ἐχούσης λοιπὸν μήτε δυναμένης, ἢ σαφέστερον εἰπεῖν καὶ ἀληθέστερον, μήτε βούλεσθαι δυναμένης, ὡς τῆς θείας ἐπειλημμένης ἐνεργείας, μᾶλλον δὲ Θεὸς τῇ θεώσει γεγενημένης, καὶ πλέον ἡδομένης τῇ ἐκστάσει τῶν φυσικῶς ἐπ᾽ αὐτῆς καὶ ὄντων καὶ νοουμένων, διὰ τὴν ἐκνικήσασαν αὐτὴν χάριν τοῦ Πνεύματος, καὶ μόνον ἔχουσαν ἐνεργοῦντα τὸν Θεὸν δείξασαν, ὥστε εἶναι μίαν καὶ μόνην διὰ πάντων ἐνέργειαν, τοῦ Θεοῦ καὶ τῶν ἀξίων Θεοῦ, μᾶλλον δὲ μόνου Θεοῦ, ὡς ὅλον ὅλοις τοῖς ἀξίοις ἀγαθοπρεπῶς περιχωρήσαντος. Ἀνάγκη γὰρ πᾶσα τῆς κατ᾽ ἔφεσιν τὰ πάντα περί τι ἄλλο παύσασθαι ἐξουσιαστικῆς κινήσεως, τοῦ ἐσχάτου φανέντος ὀρεκτοῦ καὶ μετεχομένου, καὶ ἀναλόγως τῇ τῶν μετεχόντων δυνάμει ἀχωρήτως, ἵν᾽ οὕτως εἴπω, χωρουμένου, πρὸς ὃ πᾶσα σπεύδει πολιτεία τοῦ ὑψηλοῦ καὶ διάνοια, «καὶ εἰς ὃ πᾶσα ἔφεσις ἵσταται, καὶ ὑπὲρ ὃ οὐδαμῶς φέρεται· οὔτε γὰρ ἔχει, καὶ πρὸς ὃ τείνει πᾶσα σπουδαίου κίνησις, καὶ οὗ γενομένοις πάσης θεωρίας ἀνάπαυσις», φησὶν ὁ μακάριος οὗτος διδάσκαλος. Οὔτε γὰρ ἔσται τι ἐκτὸς Θεοῦ τότε δεικνύμενον, ἢ Θεῷ ἀντισηκοῦσθαι δοκοῦν, ἵνα τινὸς ἔφεσιν πρὸς αὐτὸ ῥέψαι δελεάσῃ, πάντων περιληφθέντων αὐτῷ νοητῶν τε καὶ αἰσθητῶν κατὰ τὴν ἄφραστον αὐτοῦ ἔκφανσιν καὶ παρουσίαν, ὡς οὐδ᾽ ἐν ἡμέρᾳ τὰ ἀστρῷα φῶτα καὶ αὐτὰ τὰ ἄστρα ἡλίου φανέντος τῷ πολλῷ καὶ ἀσυγκρίτῳ φωτί, ἐξ οὗ καὶ αὐτοῖς τὸ φῶτα εἶναι καλυπτόμενα, καὶ οὐδ᾽ ὅτι εἰσὶν ὅσον αἰσθήσει γνωριζόμενα.

Ἐπὶ Θεοῦ δὲ καὶ πλέον, ὅσον ἀκτίστου καὶ κτιστῶν ἄπειρον τὸ μέσον ἐστὶ καὶ διάφορον. Τότε γὰρ καὶ τὴν κατ᾽ οὐσίαν ὕπαρξιν τῶν ὄντων κατὰ τὸ τί καὶ πῶς καὶ ἐπὶ τίνι εἶναι, ὡς οἶ-

φυσική καὶ πάγια καὶ ἀμετάθετη, δηλαδὴ παραχώρηση μὲ τὴ γνώμη μας, ὥστε, ἀπ' ὅπου ἔχομε τὸ εἶναι, ἀπὸ ἐκεῖ νὰ ποθήσομε νὰ λάβομε καὶ τὴν κίνηση, γιατὶ ἡ εἰκόνα ἀνέβηκε στὸ ἀρχέτυπο καὶ προσαρμοσμένη μ' ἀκρίβεια στὸ ἀρχέτυπο σὰν ἐκτύπωμα σφραγίδας καὶ μὴ ἔχοντας στὸ ἑξῆς οὔτε μπορώντας ποῦ ἀλλοῦ νὰ κατευθυνθεῖ, ἤ, γιὰ νὰ τὸ πῶ σαφέστερα καὶ ἀληθέστερα, μὴ θέλοντας ἐνῶ μπορεῖ, γιατὶ ἔχει ἀναλάβει τὴ θεία ἐνέργεια, ἢ καλύτερα μὲ τὴ θέωση ἔχει γίνει θεός, κι εὐχαριστιέται περισσότερο μὲ τὴν ἔκστασή της ἀπὸ ὅσα ὑπάρχουν φυσικῶς σ' αὐτὴν καὶ ὅσα νοοῦνται, κι αὐτό, ἐπειδὴ τὴν ἔχει ὑπερκινήσει ἡ χάρη τοῦ Πνεύματος κι ἔδειξε πὼς ἔχει μόνο τὸ Θεὸ νὰ ἐνεργεῖ, ὥστε νὰ εἶναι μία καὶ μόνη διαμέσου ὅλων ἐνέργεια, τοῦ Θεοῦ καὶ τῶν ἀξίων τοῦ Θεοῦ, ἢ καλύτερα τοῦ Θεοῦ μόνο, γιατὶ ἔχει περιχωρήσει φιλάνθρωπα ὅλος ὅλους τοὺς ἄξιους. Γιατὶ εἶναι ἀπόλυτη ἀνάγκη ὅλα νὰ παύσουν τὴν αὐτεξούσια κίνηση τοῦ πόθου τους πρὸς κάτι ἄλλο, ἐπειδὴ φάνηκε καὶ μετέχεται τὸ ἔσχατο ποθητό, ποὺ χωρεῖται ἀπὸ τὸν καθένα ἀχώρητα, γιὰ νὰ τὸ πῶ ἔτσι, ἀνάλογα μὲ τὴ δύναμη ἐκείνων ποὺ τὸ χωροῦν, πρὸς τὸ ὁποῖο σπεύδει ὅλη ἡ πολιτεία καὶ ἡ διάνοια κάθε ὑψηλοῦ «καὶ στὸ ὁποῖο σταματᾶ κάθε ἐπιθυμία καὶ δὲν προχωρεῖ καθόλου περ' ἀπὸ αὐτό· γιατὶ οὔτε ἔχει αὐτὸ ὅπου τείνει κάθε ἐπειγόμενου ἡ κίνηση καὶ ὅπου γιὰ ὅσους ἔχουν γεννηθεῖ ὑπάρχει ἡ ἀνάπαυση ἀπὸ κάθε θεωρία», λέει αὐτὸς ὁ μακάριος δάσκαλος. Οὔτε θὰ μπορέσει τότε νὰ φανεῖ κάτι ἔξω ἀπὸ τὸ Θεὸ ἢ νὰ φέρεται κατὰ τοῦ Θεοῦ, γιὰ νὰ δελεάσει τὴν ἐπιθυμία κάποιου νὰ κλίνει πρὸς αὐτό, ἐπειδὴ ὅλα θὰ ἔχουν περιληφθεῖ μέσα σ' αὐτόν, νοητὰ καὶ αἰσθητὰ κατὰ τὴν ἄφραστη φανέρωση καὶ παρουσία του· ὅπως οὔτε τὰ ἀστρικὰ φῶτα καὶ τὰ ἴδια τὰ ἄστρα κατὰ τὴ διάρκεια τῆς ἡμέρας, μόλις φανεῖ ὁ ἥλιος μὲ τὸ ἄπλετο καὶ ἀπαρόμοιαστο φῶς ποὺ σκεπάζει τὴν ἰδιότητά τους νὰ εἶναι φῶτα κι αὐτά, δὲν τὰ ἀντιλαμβάνεται ἡ αἴσθηση ὅτι κἂν ὑπάρχουν.

Στὴν περίπτωση ὅμως τοῦ Θεοῦ αὐτὸ συμβαίνει ἀκόμα περισσότερο καὶ τόσο, ὅσο ἡ ἀπόσταση ἀνάμεσα στὸν ἄκτιστο καὶ στὰ κτίσματα εἶναι ἄπειρη καὶ διαφορετική. Γιατὶ τότε μαθαίνο-

*μαι, μανθάνοντες πρός τι ἐφετῶς ἔτι κατὰ γνῶσιν οὐ κινηθησόμεθα, τῆς ἑκάστου καὶ ἐφ' ἑκάστου τῶν μετὰ Θεὸν γνώσεως ἡμῖν περατωθείσης, καὶ τῆς ἀπείρου καὶ θείας καὶ ἀπεριλήπτου ἀπολαυστικῶς ἡμῖν ἀναλόγως ὑποκειμένης τε μόνης καὶ μετεχομένης. Καὶ τοῦτό ἐστι τὸ πάνυ φιλοσοφούμενον κατὰ τοῦτον τὸν θεοφόρον διδάσκαλον, «ἐπιγνώσεσθαι ἡμᾶς ποτε ὅσον ἐγνώσμεθα, ἐπειδὰν τὸ θεοειδὲς τοῦτο καὶ θεῖον φάσκοντες τὸν ἡμέτερον νοῦν τε καὶ λόγον τῷ οἰκείῳ προσμίξωμεν, καὶ ἡ εἰκὼν ἀνέλθῃ πρὸς τὸ ἀρχέτυπον, οὗ νῦν ἔχει τὴν ἔφεσιν». Περὶ μὲν οὖν τοῦ μὴ εἶναι τὴν θρυλουμένην ἑνάδα, καὶ τοῦ πῶς κατ' ἔμφασιν ἐκ τῶν νῦν ἡμῖν ἐφικτῶν τῆς Γραφῆς νοημάτων τε καὶ λογισμῶν ἔσται ἡ τῶν μελλόντων κατάστασις, εἰρήσθω ταῦτα. Περὶ δὲ τοῦ πῶς μοῖρα ὄντες Θεοῦ ἀπερρύημεν Θεοῦ ἡγουμένου ἐντεῦθεν τὸν λόγον ποιήσομαι.*

*Τίς γὰρ λόγῳ εἰδὼς καὶ σοφίᾳ τὰ ὄντα ἐκ τοῦ μὴ ὄντος παρὰ Θεοῦ εἰς τὸ εἶναι παρῆχθαι, εἰ τῇ φυσικῶν τῶν ὄντων ἀπείρῳ διαφορᾷ τε καὶ ποικιλίᾳ ἐμφρόνως τὸ τῆς ψυχῆς θεωρητικὸν προσαγάγοι, καὶ τῷ ἐξεταστικῷ συνδιακρίνοι λόγῳ κατ' ἐπίνοιαν τὸν καθ' ὃν ἐκτίσθησαν λόγον, οὐχὶ πολλοὺς εἴσεται λόγους τὸν ἕνα λόγον, τῇ τῶν γεγονότων ἀδιαιρέτῳ συνδιακρινόμενον διαφορᾷ, διὰ τὴν αὐτῶν πρὸς ἄλληλά τε καὶ ἑαυτὰ ἀσύγχυτον ἰδιότητα; Καὶ πάλιν ἕνα τοὺς πολλούς, τῇ πρὸς αὐτὸν τῶν πάντων ἀναφορᾷ δι' ἑαυτὸν ἀσυγχύτως ὑπάρχοντα, ἐνούσιόν τε καὶ ἐνυπόστατον τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸν Λόγον, ὡς ἀρχὴν καὶ αἰτίαν τῶν ὅλων, «ἐν ᾧ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατά, εἴτε ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, πάντα ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται».*

*Τοὺς γὰρ λόγους τῶν γεγονότων ἔχων πρὸ τῶν αἰώνων*

---

15. Κολ. 1,16.

ντας, νομίζω, καὶ τὴν οὐσιαστικὴ ὕπαρξη τῶν ὄντων ὡς πρὸς τὸ τί εἶναι καὶ τὸ πῶς καὶ τὸ ἀπὸ ποιό ἐξαρτῶνται, δὲ θὰ κινηθοῦμε πιὰ ἐπιθυμητικὰ πρὸς κάτι γιὰ νὰ τὸ γνωρίσομε, ἐπειδὴ θὰ ἔχει πιὰ ὁλοκληρωθεῖ ἡ γνώση μας γιὰ καθένα ἀπὸ τὰ ἔπειτ' ἀπὸ τὸ Θεό, καὶ μόνη ποὺ θὰ μᾶς περιμένει νὰ τὴν ἀπολαύσομε ἀνάλογα στὸν καθένα θὰ εἶναι ἡ ἄπειρη καὶ θεία καὶ ἀπερίληπτη γνώση ποὺ μετέχομε. Κι αὐτὸ εἶναι ἐκεῖνο ποὺ γίνεται ἀντικείμενο φιλοσοφικῆς ἀνάλυσης ἀπὸ τὸν θεοφόρο αὐτὸν δάσκαλο «νὰ τὸν γνωρίσομε κάποτε κι ἐμεῖς ὅσο μᾶς ἔχει γνωρίσει, ὅταν ὁμολογώντας μὲ τὸ νοῦ μας καὶ μὲ τὸ λόγο μας τὸ θεόμορφο τοῦτο καὶ θεῖο τὸ ἀναμίξομε μὲ τὸν ἑαυτό μας καὶ ἡ εἰκόνα ἀνεβεῖ πρὸς τὸ ἀρχέτυπο, ποὺ τώρα τὴν συνέχει ὁ πόθος του». Γιὰ τὸ ὅτι λοιπὸν δὲν ὑπάρχει ἡ θρυλούμενη ἑνότητα καὶ γιὰ τὸ πῶς συμπεραίνομε ἀπὸ τὰ νοήματα καὶ τὶς σκέψεις τῆς Γραφῆς ποὺ εἶναι ἐφικτὲς τώρα σ' ἐμᾶς, ὅτι θὰ εἶναι ἡ κατάσταση τῶν μελλοντικῶν, ἂς λεχθοῦν αὐτά. Γιὰ τὸ πῶς τώρα, ἐνῶ εἴμαστε μοίρα τοῦ Θεοῦ, ἀποκοπήκαμε ἀπὸ αὐτόν, μὲ τὴν ὁδηγία τοῦ Θεοῦ θὰ συνεχίσω ἀπὸ τὸ σημεῖο αὐτὸ τὸ λόγο μου.

Ποιός, ποὺ ἔχει τὴ λογικὴ γνώση καὶ σοφία γιὰ τὰ ὄντα ὅτι ὁ Θεὸς τὰ ἔφερε στὸ εἶναι ἀπὸ τὸ μὴ εἶναι, ἂν στὴν ἄπειρη διαφορὰ καὶ ποικιλία τῶν φυσικῶν ὄντων φέρει τὴ θεωρητικὴ δύναμη τῆς ψυχῆς καὶ μὲ τὴ λογικὴ ἐξέταση ξεχωρίσει μὲ τὸ νοῦ του τὸ λόγο τῆς δημιουργίας τους, δὲ θὰ θεωρήσει πολλοὺς λόγους τὸν ἕνα λόγο, ποὺ θὰ διακρίνεται μέσα στὴν ἀδιαίρετη διαφορὰ τῶν κτισμάτων ἐξαιτίας τῆς ἀσύγχυτης ἰδιομορφίας τους ἔναντι τῶν ἄλλων καὶ τοῦ ἑαυτοῦ τους; Καὶ πάλι τοὺς πολλοὺς λόγους θὰ τοὺς θεωρήσει ὡς ἕνα, ποὺ μὲ τὴν ἀναφορὰ ὅλων σ' αὐτὸν ὑπάρχει ἀσύγχυτα ἀπὸ τὸν ἑαυτό του, ὁ Θεὸς Λόγος τοῦ Θεοῦ Πατέρα, ποὺ ἔχει τὴ δική του οὐσία καὶ τὴ δική του ὑπόσταση ὡς ἀρχὴ καὶ αἰτία τῶν ὅλων, ἀπὸ τὴν ὁποία κτίσθηκαν τὰ πάντα, τὰ οὐράνια καὶ τὰ ἐπίγεια, εἴτε ὁρατὰ εἴτε ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχές, εἴτε ἐξουσίες, ὅλα κτίσθηκαν ἀπὸ αὐτόν, μέσω αὐτοῦ καὶ γι' αὐτόν»[15].

Ἔχοντας λοιπὸν τοὺς λόγους τῶν δημιουργημάτων πρὶν

*ὑφεστῶτας βουλήσει ἀγαθῇ κατ' αὐτοὺς τήν τε ὁρατὴν καὶ ἀόρατον ἐκ τοῦ μὴ ὄντος· ὑπεστήσατο κτίσιν, λόγῳ καὶ σοφίᾳ τὰ πάντα κατὰ τὸν δέοντα χρόνον ποιήσας τε καὶ ποιῶν, τὰ καθόλου τε καὶ τὰ καθ' ἕκαστον. Λόγον γὰρ ἀγγέλων δημιουργίας προκαθηγεῖσθαι πιστεύομεν, λόγον ἑκάστης τῶν συμπληρουσῶν τὸν ἄνω κόσμον οὐσιῶν καὶ δυνάμεων, λόγον ἀνθρώπων, λόγον παντὸς τῶν ἐκ Θεοῦ τὸ εἶναι λαβόντων, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγω, τὸν αὐτὸν μὲν ἀπείρῳ δι' ἑαυτὸν ὑπεροχῇ ἄφραστον ὄντα καὶ ἀκατανόητον, καὶ πάσης ἐπέκεινα κτίσεως, καὶ τῆς κατ' αὐτὴν οὔσης καὶ νοουμένης διαφορᾶς καὶ διακρίσεως, καὶ τὸν αὐτὸν ἐν πᾶσι τοῖς ἐξ αὐτοῦ κατὰ τὴν ἑκάστου ἀναλογίαν ἀγαθοπρεπῶς δεικνύμενόν τε καὶ πληθυνόμενον, καὶ εἰς ἑαυτὸν τὰ πάντα ἀνακεφαλαιούμενον, καθ' ὃν τό τε εἶναι καὶ τὸ διαμένειν, καὶ ἐξ οὗ τὰ γεγονότα ὡς γέγονε, καὶ ἐφ' ᾧ γέγονε, καὶ μένοντα καὶ κινούμενα μετέχει Θεοῦ. Πάντα γὰρ μετέχει διὰ τὸ ἐκ Θεοῦ γεγενῆσθαι, ἀναλόγως Θεοῦ, ἢ κατὰ νοῦν, ἢ λόγον, ἢ αἴσθησιν, ἢ κίνησιν ζωτικήν, ἢ οὐσιώδη καὶ ἑκτικὴν ἐπιτηδειότητα, ὡς τῷ μεγάλῳ καὶ θεοφάντορι Διονυσίῳ δοκεῖ τῷ Ἀρεοπαγίτῃ.*

*Ἕκαστον οὖν τῶν νοερῶν τε καὶ λογικῶν ἀγγέλων τε καὶ ἀνθρώπων αὐτῷ τῷ καθ' ὃν ἐκτίσθη λόγῳ τῷ ἐν τῷ Θεῷ ὄντι, καὶ πρὸς τὸν Θεὸν ὄντι, μοῖρα καὶ λέγεται καὶ ἔστι Θεοῦ, διὰ τὸν αὐτοῦ προόντα ἐν τῷ Θεῷ, καθὼς εἴρηται, λόγον. Ἀμέλει τοι, καὶ εἰ κατ' αὐτὸν κινηθείη, ἐν τῷ Θεῷ γενήσεται, ἐν ᾧ ὁ τοῦ εἶναι αὐτοῦ λόγος προένεστιν, ὡς ἀρχὴ καὶ αἰτία, κἂν μηδενὸς ἄλλου πρὸ τῆς ἰδίας ἀρχῆς κατὰ πόθον ἐπιλαβέσθαι θελήσοι, οὐκ ἀπορρέει Θεοῦ, ἀλλὰ μᾶλλον τῇ πρὸς αὐτὸν ἀνα-*

ἀπὸ τοὺς αἰῶνες ὑποταγμένους σ' αὐτὸν μὲ θέληση ἀγαθὴ δημιούργησε σύμφωνα μ' αὐτὴ τὴν κτίση ἀπὸ τὸ μηδέν, τὴν ὁρατὴ καὶ τὴν ἀόρατη, ἔχοντας δημιουργήσει καὶ δημιουργώντας μὲ λόγο καὶ σοφία τὰ πάντα στὴν ὥρα τους καὶ ὅλα γενικὰ καὶ χωριστὰ τὸ καθένα. Πιστεύομε ὅτι ὁ Λόγος προηγεῖται τῆς δημιουργίας τῶν ἀγγέλων, ὁ Λόγος προηγεῖται τῆς καθεμιᾶς ἀπὸ τὶς οὐσίες καὶ τὶς δυνάμεις ποὺ συμπληρώνουν τὸν ἄνω κόσμο· ὁ Λόγος προηγεῖται τῆς δημιουργίας τῶν ἀνθρώπων, ὁ Λόγος προηγεῖται τῆς δημιουργίας καθενὸς ὄντος ποὺ ἔλαβε τὸ εἶναι ἀπὸ τὸ Θεό, γιὰ νὰ μὴν τὰ ἀναφέρω ἕνα ἕνα, καὶ ὁ ὁποῖος Λόγος εἶναι ἀπὸ ἄπειρη ὑπεροχὴ ἐξαιτίας τοῦ ἑαυτοῦ του ἄφραστος καὶ ἀκατανόητος καὶ πέρα ἀπὸ κάθε κτίσμα καὶ ἀπὸ τὴ διαφορὰ καὶ τὴ διάκριση ποὺ ὑπάρχει καὶ νοεῖται σ' αὐτήν, καὶ ὁ ἴδιος μέσα σὲ ὅλα ποὺ προέρχονται ἀπὸ αὐτὸν φανερώνεται καὶ πολλαπλασιάζεται ὅπως πρέπει στὸν ἀγαθὸ κατὰ τὴν ἀναλογία ποὺ ἔχει τὸ κάθε ὄν, καὶ ἀνακεφαλαιώνει τὰ πάντα μέσα στὸν ἑαυτό του, στὸν ὁποῖο ἔχουν τὸ εἶναι καὶ τὴ διαμονὴ καὶ ἀπὸ τὸν ὁποῖο προέρχονται ὅσα ἔγιναν, ὅπως ἔγιναν καὶ γιὰ ὅ,τι ἔγιναν, καὶ τὰ ὁποῖα, εἴτε μένουν σταθερὰ εἴτε κινοῦνται, μετέχουν τοῦ Θεοῦ. Γιατὶ ὅλα, ἐπειδὴ ἔχουν γίνει ἀπὸ τὸ Θεό, κατ' ἀναλογία μετέχουν τοῦ Θεοῦ, ἢ κατὰ τὸ νοῦ ἢ κατὰ τὸ λόγο ἢ κατὰ τὴν αἴσθηση ἢ τὴ ζωτικὴ κίνηση ἢ τὴν ἐπιτηδειότητα τῆς οὐσίας καὶ τῆς ἕξης, ὅπως πιστεύει ὁ μεγάλος καὶ θεοφάντωρ Διονύσιος ὁ Ἀρεοπαγίτης.

Καθένα λοιπὸν ἀπὸ τὰ νοερὰ καὶ λογικὰ ὄντα, ἀπὸ τοὺς ἀγγέλους δηλαδὴ καὶ τοὺς ἀνθρώπους, μὲ τὸν λόγο αὐτὸν τῆς δημιουργίας του, ποὺ βρίσκεται μέσα στὸ Θεό, λέγεται καὶ εἶναι μοίρα τοῦ Θεοῦ, ἐξαιτίας τοῦ λόγου του πού, ὅπως λέχθηκε, προϋπάρχει μέσα στὸ Θεό. Χωρὶς ἀμφιβολία λοιπὸν ἂν κινηθεῖ σύμφωνα μὲ τὸ λόγο του, θὰ βρεθεῖ μέσα στὸ Θεό, μέσα στὸν ὁποῖο προϋπάρχει ὁ λόγος τοῦ εἶναι του ὡς ἀρχὴ καὶ αἰτία του, καὶ ἂν δὲν θελήσει νὰ στρέψει τὸν πόθο του σὲ κανένα ἄλλο ἐκτὸς ἀπὸ τὴν ἴδια του τὴν ἀρχή, δὲν ἀποκόπτεται ἀπὸ τὸ Θεό, ἀλλὰ μᾶλλον μὲ τὴν ἀνάτασή του πρὸς αὐτὸν καὶ μὲ τὴν προση-

*τάσει Θεὸς γίνεται καὶ μοῖρα Θεοῦ λέγεται τῷ μετέχειν προσηκόντως Θεοῦ, ὡς κατὰ φύσιν σοφῶς τε καὶ λελογισμένως δι' εὐπρεποῦς κινήσεως τῆς οἰκείας ἐπιλαβόμενος ἀρχῆς καὶ αἰτίας, οὐκ ἔχων λοιπὸν ἄλλοθί ποι μετὰ τὴν ἰδίαν ἀρχὴν καὶ τὴν πρὸς τὸν καθ' ὃν ἐκτίσθη λόγον ἄνοδόν τε καὶ ἀποκατἄστασιν κινηθῆναι, ἢ πῶς κινηθῆναι, τῆς ἐπὶ τῷ θείῳ δηλονότι σκοπῷ κινήσεως αὐτοῦ αὐτὸν πέρας λαβούσης τὸν θεῖον σκοπόν.*

*Ὡς δηλοῖ καὶ ὁ ἅγιος Βασίλειος, ἐν τῇ εἰς τὸν ἅγιον προφήτην Ἠσαΐαν ἑρμηνείᾳ, λέγων οὕτως· «Σἄββατα δὲ ἀληθῆ ἡ ἀποκειμένη ἀνἄπαυσις τῷ λαῷ τοῦ Θεοῦ, ἅπερ διὰ τὸ ἀληθῆ εἶναι ἀνέχεται ὁ Θεὸς καὶ φθάνει γε ἐπ' ἐκεῖνα τὰ Σάββατα τῆς ἀναπαύσεως, παρ' ᾧ ὁ κόσμος ἐσταύρωται, ἀποστὰς δηλονότι τῶν κοσμικῶν, καὶ ἐπὶ τὸν ἴδιον τόπον τῆς πνευματικῆς ἀναπαύσεως καταντήσας, ἐν ᾧ ὁ γενόμενος οὐκ ἔτι κινηθήσεται ἀπὸ τοῦ ἰδίου τόπου, ἡσυχίας καὶ ἀταραξίας περὶ τὴν κατάστασιν ἐκείνην ὑπαρχούσης· πἄντων οὖν τόπος τῶν ἀξιουμένων τῆς τοιαύτης μακαριότητός ἐστιν ὁ Θεὸς κατὰ τὸ γεγραμμένον· 'γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με'». Παρ' ᾧ βεβαίως πάντων οἱ λόγοι πεπήγασι καθ' οὓς καὶ γινώσκειν τὰ πάντα πρὶν γενέσεως αὐτῶν λέγεται, ὡς ἐν αὐτῷ καὶ παρ' αὐτῷ ὄντων, αὐτῇ τῇ ἀληθείᾳ τῶν πἄντων. Κἂν εἰ αὐτὰ τὰ πάντα, τά τε ὄντα καὶ τὰ ἐσόμενα, οὐχ ἅμα τοῖς ἑαυτῶν λόγοις, ἢ τῷ γνωσθῆναι ὑπὸ Θεοῦ, εἰς τὸ εἶναι παρήχθησαν, ἀλλ' ἕκαστα τῷ ἐπιτηδείῳ καιρῷ κατὰ τὴν τοῦ Δημιουργοῦ σοφίαν πρεπόντως κατὰ τοὺς ἑαυτῶν λόγους δημιουργούμενα καὶ καθ' ἑαυτὰ εἶναι τῇ ἐνεργείᾳ λαμβάνῃ. Ἐπειδὴ ὁ μὲν ἀεὶ κατ' ἐνέργειάν ἐστι Δημιουργός, τὰ δὲ δυνάμει μέν ἐστιν, ἐνεργείᾳ δὲ οὐκ ἔτι· ὅτι μηδὲ οἷόν τε τῶν ἅμα εἶναι τὸ ἄπειρον καὶ τὰ πεπερασμένα, οὐδέ τι δεῖξαι λόγος ἀναφανήσεται τῶν ἅμα*

---

16. Ψαλμ. 30,3.

κουσα μετοχὴ τοῦ Θεοῦ γίνεται καὶ λέγεται μοίρα Θεοῦ, ἐπειδὴ σύμφωνα μὲ τὴ φύση του σοφὰ καὶ συνετὰ μ' εὐπρεπὴ κίνηση φτάνοντας στὴν ἴδια του τὴν ἀρχὴ κι αἰτία, μετὰ τὴν ἴδια του τὴν ἀρχὴ καὶ τὴν ἄνοδο καὶ ἀποκατάστασή του στὸ Λόγο, σύμφωνα μὲ τὸν ὁποῖο δημιουργήθηκε, δὲν ἔχει στὸ ἑξῆς ποῦ ἀλλοῦ νὰ κινηθεῖ καὶ πῶς ἀλλιῶς νὰ κινηθεῖ, ἀφοῦ ἡ κίνησή του, ὅπως εἶναι φανερό, πρὸς τὸ θεῖο στόχο ἔχει ἤδη λάβει ὡς πέρας της τὸν ἴδιο τὸ θεῖο στόχο.

Αὐτὸ δηλώνει καὶ ὁ ἅγιος Βασίλειος στὴν ἑρμηνεία του στὸν ἅγιο προφήτη Ἠσαΐα λέγοντας τὰ ἑξῆς· «Σάββατα ἀληθινὰ εἶναι ἡ ἀνάπαυση ποὺ περιμένει τὸ λαὸ τοῦ Θεοῦ, τὰ ὁποῖα, ἐπειδὴ εἶναι ἀληθινά, τ' ἀνέχεται ὁ Θεός, καὶ φτάνει σ' αὐτὰ τὰ Σάββατα τῆς ἀνάπαυσης αὐτὸς γιὰ τὸν ὁποῖο ἔχει σταυρωθεῖ ὁ κόσμος, ποὺ ἔχει δηλαδὴ ἀποχωριστεῖ ἀπὸ τὰ κοσμικά, καὶ καταλήγει στὸν ἴδιο του τὸν τόπο τῆς πνευματικῆς ἀνάπαυσης. Σ' αὐτὸν φτάνοντας δὲ θὰ κινηθεῖ πιὰ ἀπὸ τὸν τόπο του, γιατὶ σ' ἐκείνη τὴν κατάσταση πραγμάτων ὑπάρχει ἡσυχία καὶ ἀταραξία. Τόπος λοιπὸν ὅλων ὅσοι ἀξιώνονται αὐτὴ τὴ μακαριότητα εἶναι ὁ Θεός, σύμφωνα μὲ τὸ λόγο τῆς Γραφῆς· 'γίνε μου Θεὸς πρόμαχός μου καὶ τόπος ὀχυρὸς τῆς σωτηρίας μου'[16]». Σ' αὐτὸν εἶναι παγιωμένοι ἀκλόνητα οἱ λόγοι ὅλων τῶν ὄντων, σύμφωνα μὲ τοὺς ὁποίους λέγεται ὅτι γνωρίζει τὰ πάντα πρὶν ἀπὸ τὴ γένεσή τους, ἐπειδὴ τὰ πάντα σύμφωνα μὲ τὴν ἴδια τὴν ἀλήθεια βρίσκονται μέσα του καὶ πλησίον του. Ἀκόμα κι ἂν αὐτὰ τὰ πάντα, ὅσα ὑπάρχουν κι ὅσα θὰ ὑπάρξουν, δὲ βγῆκαν στὴν ὕπαρξη ταυτόχρονα μὲ τοὺς λόγους τους ἢ μὲ γνώση τοῦ Θεοῦ, ἀλλὰ δημιουργοῦνται τὸ καθένα τους στὴν κατάλληλη ὥρα κι ὅπως πρέπει κατὰ τὴ σοφία τοῦ Δημιουργοῦ σύμφωνα μὲ τοὺς λόγους τους καὶ παίρνουν κατ' ἐνέργεια τὴν ἀτομική τους ὕπαρξη. Ἐπειδὴ ἐκεῖνος εἶναι πάντοτε Δημιουργὸς κατ' ἐνέργεια, ἐνῶ αὐτὰ ὑπάρχουν δυνάμει καὶ ὄχι ἀκόμα ἐνεργεία. Γιατὶ δὲν εἶναι δυνατὸν νὰ συνυπάρχουν ταυτόχρονα σὲ ὅσα ὑπάρχουν τὸ ἄπειρο καὶ τὰ πεπερασμένα, οὔτε θὰ φανεῖ κάποιος λόγος ν' ἀποδείξει ὅτι μπορεῖ νὰ ὑπάρχει μαζὶ ἡ οὐσία καὶ τὸ ὑπερούσιο καὶ νὰ συμπεριλάβει

*εἶναι δύνασθαι τὴν οὐσίαν καὶ τὸ ὑπερούσιον, καὶ εἰς ταυτὸν ἀγαγεῖν τῷ ἐν μέτρῳ τὸ ἄμετρον, καὶ τῷ ἐν σχέσει τὸ ἄσχετον, καὶ τὸ μηδὲν ἔχον ἐπ' αὐτοῦ κατηγορίας εἶδος καταφασκόμενον τῷ διὰ πάντων τούτων συνισταμένῳ.*

*Πάντα γὰρ τὰ κτιστὰ κατ' οὐσίαν τε καὶ γένεσιν παντάπασι καταφάσκεται τοῖς ἰδίοις καὶ τοῖς περὶ αὐτὰ οὖσι τῶν ἐκτὸς λόγοις περιεχόμενα. Ὑπεξῃρημένης οὖν τῆς ἄκρας καὶ ἀποφατικῆς τοῦ Λόγου θεολογίας, καθ' ἣν οὔτε λέγεται, οὔτε νοεῖται, οὔτε ἔστι τὸ σύνολον τῶν ἄλλῳ συνεγνωσμένων, ὡς ὑπερούσιος, οὐδὲ ὑπό τινος οὐδαμῶς καθ' ὁτιοῦν μετέχεται, πολλοὶ λόγοι ὁ εἷς λόγος ἐστί, καὶ εἷς οἱ πολλοί· κατὰ μὲν τὴν ἀγαθοπρεπῆ εἰς τὰ ὄντα τοῦ ἑνὸς ποιητικήν τε καὶ συνεκτικὴν πρόοδον πολλοὶ ὁ εἷς, κατὰ δὲ τὴν εἰς τὸν ἕνα τῶν πολλῶν ἐπιστρεπτικήν τε καὶ χειραγωγικὴν ἀναφοράν τε καὶ πρόνοιαν, ὥσπερ εἰς ἀρχὴν παντοκρατορικὴν ἢ κέντρον τῶν ἐξ αὐτοῦ εὐθειῶν τὰς ἀρχὰς προειληφὸς καὶ ὡς πάντων συναγωγός, εἷς οἱ πολλοί. Μοῖρα οὖν ἐσμεν καὶ λεγόμεθα Θεοῦ διὰ τὸ τοὺς τοῦ εἶναι ἡμῶν λόγους ἐν τῷ Θεῷ προϋφεστάναι· ρεύσαντες δὲ ἄνωθεν πάλιν λεγόμεθα διότι μὴ καθ' ὃν γεγενήμεθα λόγον τὸν ἐν τῷ Θεῷ προόντα κεκινήμεθα. Καὶ καθ' ἕτερον δὲ τρόπον ἐστὶν εὐμαρὲς τῷ εὐσεβῶς ἐπιβάλλειν τοῖς τῶν ὄντων λόγοις δεδιδαγμένῳ τὸν περὶ τούτου λόγον διεξελθεῖν.*

*Εἰ γὰρ οὐσία τῆς ἐν ἑκάστῳ ἀρετῆς ὁ εἷς ὑπάρχειν Λόγος τοῦ Θεοῦ μὴ ἀμφιβέβληται (οὐσία γὰρ πάντων τῶν ἀρετῶν αὐτός ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὡς γέγραπται «ὃς ἐγενήθη ἡμῖν ἀπὸ Θεοῦ σοφία, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις», ἀπολύτως ταῦτα δηλαδὴ ἐπ' αὐτοῦ λεγόμενα ἔχων, ὡς αὐτοσοφία καὶ δικαιοσύνη καὶ ἁγιότης ὤν, καὶ οὐχ ὡς ἐφ' ἡμῶν προσδιωρισμένως, οἷον ὡς σοφὸς ἄνθρωπος, ἢ δίκαιος ἄνθρωπος), πᾶς δηλονότι ἄνθρωπος ἀρετῆς καθ' ἕξιν*

---

17. Α' Κορ. 1,30.

σὲ ἕνα τὸ ἄμετρο μὲ τὸ ἔμμετρο, τὸ ἄσχετο μὲ τὸ σχετικό, κι αὐτὸ ποὺ δὲν ἔχει κατηγορούμενο νὰ κατονομάζεται μὲ ἕνα ὁποιουδήποτε εἴδους κατηγορούμενο, ὅμοια μ' αὐτὸ ποὺ παίρνει ὕπαρξη μὲ ὅλα αὐτὰ τὰ κατηγορούμενα.

Γιατὶ ὅλα τὰ δημιουργήματα ἀναφορικὰ μὲ τὴν οὐσία καὶ τὴ γένεσή τους καταφάσκονται πλήρως περιεχόμενα ἀπὸ τοὺς δικούς τους καὶ τοὺς γύρω ἀπὸ αὐτὰ ἐξωτερικοὺς λόγους. Ὅταν λοιπὸν ἐξαιρεθεῖ ἡ πλήρης ἀποφατικὴ θεολογία τοῦ Λόγου, σύμφωνα μὲ τὴν ὁποία οὔτε λέγεται οὔτε νοεῖται οὔτε εἶναι γενικὰ κάτι ἀπὸ ὅσα ἀποδίδονται σὲ κάτι ἄλλο, ἀφοῦ ὑπερβαίνει τὴν οὐσία, οὔτε μετέχεται καθόλου μὲ ὁποιοδήποτε τρόπο ἀπὸ κάπου, ὁ ἕνας λόγος εἶναι πολλοὶ λόγοι καὶ οἱ πολλοὶ ἕνας. Κατὰ τὴν ἀπὸ ἀγαθὴ δηλαδὴ διάθεση δημιουργικὴ καὶ συνεκτικὴ πρόοδο στὰ ὄντα τοῦ ἑνὸς ὁ ἕνας Λόγος εἶναι πολλοί, ἐνῶ κατὰ τὴν ἀναφορὰ καὶ τὴν πρόνοια ποὺ στρέφει καὶ χειραγωγεῖ τὰ πολλὰ πρὸς τὸν Ἕνα, σὰν πρὸς μιὰ ἀρχὴ παντοκρατορικὴ ἢ ἕνα κέντρο ποὺ ἔχει προπεριλάβει τὶς ἀρχὲς τῶν εὐθειῶν ποὺ ξεκινοῦν ἀπὸ αὐτὸ καὶ ἐπειδὴ συγκεντρώνει τὰ πάντα οἱ πολλοὶ εἶναι ἕνας Λόγος. Εἴμαστε λοιπὸν καὶ λεγόμαστε μοίρα τοῦ Θεοῦ, ἐπειδὴ προϋπάρχουν μέσα στὸ Θεὸ οἱ λόγοι τοῦ εἶναι μας. Καὶ πάλι λεγόμαστε ὅτι ἔχομε ἀπορρεύσει ἀπὸ ἄνω, γιατὶ δὲν ἔχομε κινηθεῖ σύμφωνα μὲ τὸ λόγο ποὺ προϋπῆρχε στὸ Θεὸ καὶ κατὰ τὸν ὁποῖο γεννηθήκαμε. Ἀλλὰ καὶ μὲ ἄλλο τρόπο εἶναι εὔκολο ὅποιος ἔχει διδαχτεῖ νὰ προσεγγίζει μ' εὐσέβεια τοὺς λόγους τῶν ὄντων νὰ ἐξετάσει τὸ λόγο γιὰ τὸ θέμα αὐτό.

Ἂν λοιπὸν δὲν ἀμφισβητεῖται ὅτι οὐσία τῆς ἀρετῆς τοῦ καθενὸς εἶναι ὁ ἕνας Λόγος τοῦ Θεοῦ (γιατὶ οὐσία ὅλων τῶν ἀρετῶν εἶναι ὁ ἴδιος ὁ Κύριός μας Ἰησοῦς Χριστός, ὅπως ἔχει γραφεῖ· «αὐτὸς ποὺ ἔγινε γιὰ μᾶς ἀπὸ τὸ Θεὸ σοφία καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωση»[17], ἰδιότητες ποὺ λέγονται δηλαδὴ γι' αὐτὸν καὶ τοῦ ἀνήκουν σὲ ἀπόλυτο βαθμό, ἐπειδὴ εἶναι αὐτοσοφία καὶ δικαιοσύνη καὶ ἁγιότητα, κι ὄχι ὡς προσδιορισμοὶ ποὺ προσδιορίζουν ἐμᾶς, γιὰ παράδειγμα σοφὸς ἄνθρωπος ἢ δίκαιος ἄνθρωπος), κάθε ἄνθρωπος ποὺ μετέχει τῆς ἀρετῆς κατὰ

*παγίαν μετέχων ἀναμφηρίστως Θεοῦ μετέχει, τῆς οὐσίας τῶν ἀρετῶν, ὡς τὴν κατὰ φύσιν σπορὰν τοῦ ἀγαθοῦ γνησίως κατὰ προαίρεσιν γεωργήσας καὶ ταυτὸν δείξας τῇ ἀρχῇ τὸ τέλος, καὶ τὴν ἀρχὴν τῷ τέλει, μᾶλλον δὲ ταυτὸν ἀρχὴν οὖσαν καὶ τέλος, ὡς ἀνόθευτος Θεοῦ τυγχάνων συνήγορος, εἴπερ παντὸς πράγματος ἀρχὴ καὶ τέλος ὁ ἐπ' αὐτῷ σκοπὸς ὑπάρχειν πεπίστευται, τὴν μὲν ὡς ἐκεῖθεν εἰληφὼς πρὸς τῷ εἶναι καὶ τὸ κατὰ μέθεξιν φύσει ἀγαθόν, τὸ δὲ ὡς κατ' αὐτὴν γνώμῃ τε καὶ προαιρέσει τὸν ἐπαινετὸν καὶ πρὸς αὐτὴν ἀπλανῶς ἄγοντα ἐξανύσας δρόμον διὰ σπουδῆς, καθ' ὃν γίνεται Θεός, ἐκ τοῦ Θεοῦ τὸ θεὸς εἶναι λαμβάνων, ὡς τῷ κατ' εἰκόνα φύσει καλῷ καὶ προαιρέσει τὴν δι' ἀρετῶν προσθεὶς ἐξομοίωσιν, διὰ τῆς ἐμφύτου πρὸς τὴν ἰδίαν ἀρχὴν ἀναβάσεώς τε καὶ οἰκειότητος. Καὶ πληροῦται λοιπὸν καὶ ἐπ' αὐτῷ τὸ ἀποστολικὸν ῥητὸν τὸ φάσκον· «ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν». Γίνεται γὰρ ἐν τῷ Θεῷ κατὰ τὸν προόντα ἐν τῷ Θεῷ τοῦ εὖ εἶναι λόγον, διὰ τῶν ἀρετῶν ἐνεργούμενος, καὶ ζῇ ἐν τῷ Θεῷ κατὰ τὸν προόντα ἐν τῷ Θεῷ τοῦ ἀεὶ εἶναι λόγον.*

*Ἐντεῦθεν μὲν ἤδη κατὰ τὴν ἀπαθεστάτην ἕξιν ταυτὸν ἑαυτῷ καὶ ἀκίνητος ὤν, ἐν δὲ τῷ μέλλοντι αἰῶνι κατὰ τὴν δοθησομένην θέωσιν τοὺς εἰρημένους καὶ ἐν τῷ Θεῷ προόντας λόγους, μᾶλλον δὲ τὸν Θεόν, ἐν ᾧ οἱ λόγοι τῶν καλῶν πεπήγασιν, ἀγαπητικῶς στέργων καὶ ἀσπαζόμενος· καὶ ἔστι μοῖρα Θεοῦ, ὡς ὤν, διὰ τὸν ἐν τῷ Θεῷ τοῦ εἶναι αὐτοῦ λόγον, καὶ ὡς ἀγαθός, διὰ τὸ ἐν τῷ Θεῷ τοῦ εὖ εἶναι αὐτοῦ λόγον, ὡς τούτους*

---

18. Πράξ. 17,28.

πάγια ἕξη, μετέχει ἀναμφισβήτητα τοῦ Θεοῦ ποὺ εἶναι ἡ οὐσία τῶν ἀρετῶν, ἐπειδὴ καλλιέργησε γνήσια καὶ κατὰ προαίρεση τὴ σύμφωνη μὲ τὴ φύση του σπορὰ τοῦ ἀγαθοῦ καὶ ἔδειξε ἴδιο τὸ τέλος μὲ τὴν ἀρχή, ἢ καλύτερα ἔδειξε πὼς εἶναι ἕνα πράγμα ἡ ἀρχὴ καὶ τὸ τέλος, φθάνοντας νὰ εἶναι ἀνυπόκριτος συνήγορος τοῦ Θεοῦ, ἂν βέβαια ἔχει πιστευθεῖ πὼς ἀρχὴ καὶ τέλος κάθε πράγματος εἶναι ἡ κατάληξη σ' αὐτόν, ἐπειδὴ τὴν ἀρχὴ τῆς ὕπαρξης τὴν ἔλαβε ἀπὸ ἐκεῖ καὶ μαζὶ καὶ τὸ φύσει ἀγαθὸ κατὰ μέθεξη, ἐνῶ τὸ τέλος, ἐπειδὴ σύμφωνα μ' αὐτὴν συνειδητὰ κι αὐτοπροαίρετα τέλειωσε μὲ σοβαρότητα τὸ δρόμο τὸν ἐπαινετὸ ποὺ ὁδηγεῖ ἀλάθευτα σ' αὐτήν, μέσω τοῦ ὁποίου γίνεται θεός, λαμβάνοντας τὴν ἰδιότητα τοῦ θεοῦ ἀπὸ τὸ Θεό, ἐπειδὴ μὲ τὴν προαίρεσή του στὸ κατ' εἰκόνα Θεοῦ φυσικὸ καλὸ καὶ τὴν προαίρεση πρόσθεσε τὴν ἐξομοίωση μὲ τὶς ἀρετές, μὲ τὴν ἔμφυτη ἀνάβαση καὶ οἰκείωση πρὸς τὴν ἴδια τὴν ἀρχή. Κι ἐκπληρώνεται λοιπὸν καὶ στὴν περίπτωση αὐτὴ ὁ ἀποστολικὸς λόγος ποὺ λέει· «μέσα σ' αὐτὸν ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχουμε»[18]. Βρίσκεται δηλαδὴ μέσα στὸ Θεὸ μὲ τὴν προσοχή, χωρὶς νὰ παραβλάψει τὸν λόγο τοῦ εἶναι ποὺ προϋπάρχει μέσα στὸ Θεό, καὶ δραστηριοποιούμενος μὲ τὶς ἀρετὲς κινεῖται μέσα στὸ Θεὸ σύμφωνα μὲ τὸ λόγο τοῦ μακάριου εἶναι ποὺ προϋπάρχει μέσα στὸ Θεό, καὶ ζεῖ μέσα στὸ Θεὸ κατὰ τὸ λόγο τοῦ αἰώνιου εἶναι ποὺ προϋπάρχει μέσα στὸ Θεό.

Ἤδη ἀπὸ ἐδῶ σύμφωνα μὲ τὴν ἀπαθέστατη ἕξη μένοντας ἴδιος μὲ τὸν ἑαυτό του καὶ ἀκίνητος, καὶ στὴ μελλοντικὴ ζωὴ κατὰ τὴ θέωση ποὺ θὰ δοθεῖ στέργοντας ἀγαπητικὰ καὶ ἀποδεχόμενος τοὺς λόγους ποὺ εἴπαμε καὶ ποὺ προϋπάρχουν μέσα στὸ Θεό, ἢ καλύτερα ἀποδεχόμενος τὸ Θεό, μέσα στὸν ὁποῖο ἔχουν τὴν πάγια σταθερότητά τους οἱ λόγοι τῶν καλῶν, ὁ ἄνθρωπος εἶναι καὶ μοίρα τοῦ Θεοῦ, καὶ ἐπειδὴ ὑπάρχει, ἐξαιτίας τοῦ λόγου τοῦ εἶναι ποὺ ὑπάρχει μέσα στὸ Θεό, κι ἐπειδὴ εἶναι ἀγαθὸς ἐξαιτίας τοῦ λόγου τοῦ μακάριου εἶναι ποὺ βρίσκεται μέσα στὸ Θεό, κι ἐπειδὴ εἶναι θεὸς ἐξαιτίας τοῦ λόγου τοῦ αἰώνιου εἶναι ποὺ βρίσκεται μέσα στὸ Θεό· εἶναι μοίρα τοῦ Θεοῦ, γιατὶ τίμησε

τιμήσας καὶ κατ' αὐτοὺς ἐνεργήσας, καὶ δι' αὐτῶν ἑαυτὸν μὲν τῷ Θεῷ μόνῳ δι' ὅλου ἐνθέμενος, τὸν δὲ Θεὸν μόνον ἑαυτῷ δι' ὅλου ἐντυπώσας τε καὶ μορφώσας, ὥστε καὶ αὐτὸν εἶναί τε χάριτι καὶ καλεῖσθαι θεόν, καὶ τὸν Θεὸν εἶναί τε συγκαταβάσει καὶ καλεῖσθαι δι' αὐτὸν ἄνθρωπον, καὶ τῆς ἀντιδιδομένης ἐπὶ τούτῳ διαθέσεως δειχθῆναι τὴν δύναμιν, τὴν καὶ τὸν ἄνθρωπον τῷ Θεῷ θεοῦσαν διὰ τὸ φιλόθεον, καὶ τὸν Θεὸν τῷ ἀνθρώπῳ διὰ τὸ φιλάνθρωπον ἀνθρωπίζουσαν καὶ ποιοῦσαν κατὰ τὴν καλὴν ἀντιστροφήν, τὸν μὲν Θεὸν ἄνθρωπον, διὰ τὴν τοῦ ἀνθρώπου θέωσιν, τὸν δὲ ἄνθρωπον θεόν, διὰ τὴν τοῦ Θεοῦ ἀνθρώπησιν. Βούλεται γὰρ ἀεὶ καὶ ἐν πᾶσιν ὁ τοῦ Θεοῦ Λόγος καὶ Θεὸς τῆς αὐτοῦ ἐνσωματώσεως ἐνεργεῖσθαι τὸ μυστήριον.

Ὅστις δὲ τῆς ἰδίας ἀφέμενος ἀρχῆς μοῖρα τυγχάνων Θεοῦ διὰ τὸν ἐν αὐτῷ τῆς ἀρετῆς ὄντα λόγον κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν πρὸς τὸ μὴ ὂν παραλόγως φέρεται, εἰκότως ἄνωθεν ῥεῦσαι λέγεται, μὴ πρὸς τὴν ἰδίαν ἀρχήν τε καὶ αἰτίαν καθ' ἣν καὶ ἐφ' ᾗ καὶ δι' ἣν γεγένηται κινηθείς, καὶ ἔστιν ἐν ἀστάτῳ περιφορᾷ καὶ ἀταξίᾳ δεινῇ ψυχῆς τε καὶ σώματος, τῆς ἀπλανοῦς καὶ ὡσαύτως ἐχούσης αἰτίας τῇ πρὸς τὸ χεῖρον ἑκουσίῳ ῥοπῇ τὴν ἀποτυχίαν ἑαυτοῦ καταπραξάμενος. Ἐξ οὗ καὶ τὸ ῥεῦσαι κυρίως λεχθείη ἂν ὅτι ἐπ' αὐτῷ κειμένης τῆς πρὸς Θεὸν ἀδηρίτως τὰς τῆς ψυχῆς βάσεις ποιεῖσθαι δυναμένης ἐξουσίας, τὸ χεῖρον καὶ μὴ ὂν τοῦ κρείττονος καὶ ὄντος ἑκὼν ἀντηλλάξατο.

Τούτους δὲ οὓς ἔφην τοὺς λόγους ὁ μὲν Ἀρεοπαγίτης ἅγιος Διονύσιος προορισμοὺς καὶ θεῖα θελήματα καλεῖσθαι ὑπὸ τῆς Γραφῆς ἡμᾶς ἐκδιδάσκει. Ὁμοίως δὲ καὶ οἱ περὶ Πάνταινον τὸν γενόμενον καθηγητὴν τοῦ Στρωματέως μεγάλου Κλήμεντος θεῖα θελήματα τῇ Γραφῇ φίλον καλεῖσθαί φασι. Ὅθεν ἐρωτη-

αὐτοὺς τοὺς λόγους καὶ σύμφωνα μ' αὐτοὺς ἔπραξε καὶ μέσω τῶν λόγων αὐτῶν τοποθετήθηκε ὁλόκληρος μέσα στὸ Θεὸ μόνο καὶ ἐντύπωσε καὶ μορφοποίησε μέσα του πλήρως τὸ Θεὸ μόνο, ὥστε κι ὁ ἴδιος νὰ εἶναι κατὰ χάρη καὶ νὰ καλεῖται θεὸς καὶ ὁ Θεὸς ἀπὸ συγκατάβαση νὰ εἶναι καὶ νὰ καλεῖται γι' αὐτὸν ἄνθρωπος, κι ἔτσι νὰ δειχθεῖ ἡ δύναμη τῆς διάθεσης ποὺ γι' αὐτὸ ἀντιπαραχωρεῖται, δύναμη ποὺ καὶ τὸν ἄνθρωπο θεοποιεῖ γιὰ χάρη τοῦ Θεοῦ ἐξαιτίας τῆς ἀγάπης του πρὸς τὸ Θεό, καὶ τὸ Θεὸ γιὰ χάρη τοῦ ἀνθρώπου κάνει ἄνθρωπο ἐξαιτίας τῆς ἀγάπης πρὸς τὸν ἄνθρωπο, καὶ κάνει, σύμφωνα μὲ τὴν ὡραία αὐτὴ ἀντιστροφή, ἄνθρωπο τὸ Θεὸ χάρη στὴ θέωση τοῦ ἀνθρωπου, καὶ Θεὸ τὸν ἄνθρωπο χάρη στὴν ἐνανθρώπηση τοῦ Θεοῦ. Γιατὶ ὁ Λόγος τοῦ Θεοῦ καὶ Θεὸς θέλει πάντοτε καὶ σὲ ὅλα νὰ πραγματοποιεῖται τὸ μυστήριο τῆς ἐνσωμάτωσής του.

Ὅποιος ὅμως, ἐγκαταλείποντας τὴν ἴδια του τὴν ἀρχή, ἐνῶ τυχαίνει νὰ εἶναι μοίρα τοῦ Θεοῦ ἐξαιτίας τοῦ λόγου τῆς ἀρετῆς ποὺ ἔχει μέσα του, γιὰ τὸ λόγο ποὺ ἐξηγήσαμε, καὶ φέρεται παράλογα πρὸς τὸ μὴ ὄν, αὐτὸς δικαιολογημένα λέγεται ὅτι ἔχει ξεγλιστρήσει ἀπὸ ἐπάνω, ἐπειδὴ δὲν κατευθύνθηκε πρὸς τὴν ἴδια του τὴν ἀρχὴ καὶ αἰτία σύμφωνα μὲ τὴν ὁποία καὶ γιὰ τὴν ὁποία καὶ χάρη στὴν ὁποία ἔχει γίνει, καὶ βρίσκεται σὲ ἄστατη περιφορὰ καὶ φοβερὴ ἀταξία ψυχῆς καὶ σώματος, πραγματοποιώντας τὴν ἀποτυχία του μὲ τὴν ἑκούσια κλίση πρὸς τὸ χειρότερο τῆς ἀλάθευτης καὶ ἀμετάβλητης αἰτίας. Ἀπὸ αὐτὸ μπορεῖ νὰ κυριολεκτηθεῖ καὶ τὸ γλίστρημα (ρεύση), γιατί, ἐνῶ εἶχε στὴ διάθεσή του τὴν ἐξουσία ποὺ μπορεῖ νὰ βάλει χωρὶς ἀγώνα τὰ θεμέλια τῆς ψυχῆς ἐδρασμένα στὸ Θεό, ἔκανε θεληματικὰ ἀνταλλαγὴ τοῦ καλύτερου καὶ τοῦ ὄντος, μὲ τὸ ἀδιαφιλονείκητα χειρότερο καὶ μὴ ὄν.

Αὐτοὺς τοὺς λόγους ποὺ ἀνέφερα ὁ ἅγιος Διονύσιος ὁ Ἀρεοπαγίτης μᾶς διδάσκει ὅτι ἡ Γραφὴ τοὺς ὀνομάζει προορισμοὺς καὶ θεῖα θελήματα. Ὅμοια καὶ οἱ μαθητὲς τοῦ Πάνταινου, ποὺ χρημάτισε καθηγητὴς τοῦ μεγάλου Κλήμεντα τοῦ Στρωματέα, λένε πὼς ἡ Γραφὴ ἀρέσκεται νὰ τοὺς ὀνομάζει θεῖα θελήματα.

*θέντες ὑπό τινων τῶν ἔξω παίδευσιν γαύρων, πῶς γινώσκειν τὰ ὄντα τὸν Θεὸν δοξάζουσιν οἱ Χριστιανοί, ὑπειληφότων ἐκείνων, νοερῶς τὰ νοητά, καὶ αἰσθητικῶς τὰ αἰσθητά, γινώσκειν αὐτὸν τὰ ὄντα ἀπεκρίναντο, μήτε αἰσθητικῶς τὰ αἰσθητά, μήτε νοερῶς τὰ νοητά. Οὐ γὰρ εἶναι δυνατὸν τὸν ὑπὲρ τὰ ὄντα κατὰ τὰ ὄντα τῶν ὄντων ἀντιλαμβάνεσθαι· ἀλλ᾽ ὡς ἴδια θελήματα γινώσκειν αὐτὸν τὰ ὄντα φαμέν, προσθέντες καὶ τοῦ λόγου τὸ εὔλογον. Εἰ γὰρ θελήματι τὰ πάντα πεποίηκε, καὶ οὐδεὶς ἀντερεῖ λόγος, γινώσκειν δὲ τὸ ἴδιον θέλημα τὸν Θεὸν εὐσεβές τε λέγειν ἀεὶ καὶ δίκαιόν ἐστιν, ἕκαστον δὲ τῶν γεγονότων θέλων πεποίηκεν, ἄρα ὡς ἴδια θελήματα ὁ Θεὸς τὰ ὄντα γινώσκει, ἐπειδὴ καὶ θέλων τὰ ὄντα πεποίηκεν. Ἐντεῦθεν δὲ ὁρμώμενος ἔγωγε οἶμαι κατὰ τούτους εἰρῆσθαι τῇ Γραφῇ τοὺς λόγους, τό, «ἔγνων σε παρὰ πάντας», πρὸς Μωϋσῆν, καὶ περί τινων τό, «ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ», «καὶ πάλιν πρός τινας τό, «οὐκ οἶδα ὑμᾶς», ὡς ἕκαστον δηλονότι ἢ κατὰ τὸ θέλημα καὶ τὸν λόγον, ἢ παρὰ τὸ θέλημα καὶ τὸν λόγον τοῦ Θεοῦ προαιρετικὴ κίνησις τῆς θείας ἀκοῦσαι φωνῆς παρεσκεύασε.*

*Ταῦτα καὶ τὰ τοιαῦτα τὸν θεοφόρον τοῦτον ἄνδρα οἶμαι νοήσαντα εἰπεῖν, «ἐπειδὰν τὸ θεοειδὲς τοῦτο καὶ θεῖον, τὸν ἡμέτερον νοῦν τε καὶ λόγον, τῷ οἰκείῳ προσμίξωμεν, καὶ ἡ εἰκὼν ἀνέλθῃ πρὸς τὸ ἀρχέτυπον, οὗ νῦν ἔχει τὴν ἔφεσιν»· ὁμοῦ τε καὶ κατὰ ταυτὸν διὰ τῶν μικρῶν τούτων ῥημάτων τοῦ ποτε τοῦτό τι τῶν ὄντων ἐφθακέναι τὸ μέτρον οἴεσθαι διδασκαλικῶς ἀπάγοντα τοὺς νομίζοντας, καὶ τὸν τοῦ πῶς μοῖρά ἐσμεν Θεοῦ λόγον παραδηλοῦντα, καὶ τὴν μέλλουσαν τῆς μακαρίας λήξεως ἰδιότητα αἰνιττόμενον, καὶ πρὸς τὴν ἄσειστον αὐτῆς καὶ ἀκλόνητον καὶ οὐδαμοῦ μεταπίπτουσαν ἀπόλαυσιν παρορμῶντα τοὺς ἐπὶ τούτῳ δι᾽ ἐλπίδος καθαιρομένους καὶ σπεύδοντας. Ἤι-*

19. Ἐξ. 23,17. 20. Β' Τιμ. 2,9. 21. Ματθ. 7,23.

Γι' αὐτό, ὅταν ρωτήθηκαν ἀπὸ κάποιους ποὺ καμάρωναν γιὰ τὴν ἐξωτερικὴ παιδεία τους καὶ πίστευαν ὅτι ὁ Θεὸς γνωρίζει νοερὰ τὰ νοητὰ καὶ αἰσθητικὰ τὰ αἰσθητά, πῶς οἱ Χριστιανοὶ πιστεύουν ὅτι ὁ Θεὸς γνωρίζει τὰ ὄντα, ἀπάντησαν ὅτι οὔτε αἰσθητικὰ γνωρίζει τὰ αἰσθητὰ οὔτε νοερὰ τὰ νοητά. Γιατὶ δὲν εἶναι δυνατὸ αὐτὸς ποὺ ὑπερβαίνει τὰ ὄντα ν' ἀντιλαμβάνεται τὰ ὄντα μὲ τοὺς τρόπους τῶν ὄντων. Ἀλλὰ λέμε ὅτι αὐτὸς γνωρίζει τὰ ὄντα ὡς ἴδιά του θελήματα, προσθέτοντας καὶ τὴ δικαιολόγηση τῆς διατύπωσής τους. Ἂν δηλαδὴ δημιούργησε τὰ πάντα μὲ τὸ θέλημά του, καὶ δὲν ὑπάρχει γι' αὐτὸ κανένας ἀντίθετος λόγος, καὶ εἶναι δόγμα εὐσεβὲς καὶ εἶναι καὶ δίκαιο νὰ λέμε πάντοτε ὅτι ὁ Θεὸς γνωρίζει τὸ θέλημά του, καὶ καθένα ἀπὸ τὰ δημιουργήματά του τὸ δημιούργησε θέλοντας, ἄρα ὁ Θεὸς γνωρίζει τὰ ὄντα ὡς ἴδιά του θελήματα, ἐπειδὴ καὶ μὲ τὴ θέλησή του δημιούργησε τὰ ὄντα. Ἀπὸ δῶ ξεκινώντας κι ἐγὼ νομίζω ὅτι σύμφωνα μὲ αὐτοὺς τοὺς λόγους λέχθηκε πρὸς τὸ Μωυσῆ ἀπὸ τὴ Γραφὴ ὁ λόγος, «σ' ἐγνώρισα περισσότερο ἀπὸ ὅλους»[19], καὶ γιὰ κάποιους ἄλλους, «γνώρισε ὁ Κύριος αὐτοὺς ποὺ εἶναι δικοί του»[20], καὶ πάλι σὲ κάποιους ἄλλους, «δέ σᾶς γνωρίζω»[21]. Ἔκανε δηλαδὴ τὸν καθένα προαιρετικὴ κίνησή του ν' ἀκούσει τὴ θεία φωνὴ ἢ σύμφωνα μὲ τὸ θέλημα καὶ τὸ λόγο τοῦ Θεοῦ ἢ ἀντίθετα μὲ τὸ θέλημα καὶ τὸ λόγο του.

Αὐτὰ καὶ τὰ παρόμοια εἶχε, νομίζω, στὸ νοῦ του αὐτὸς ὁ θεοφόρος ἄνθρωπος λέγοντας· «ὅταν τοῦτο τὸ θεόμορφο καὶ θεῖο στοιχεῖο, δηλαδὴ τὸ νοῦ καὶ τὸ λόγο μας, τὸ ἀναμίξομε μὲ τὸ δικό μας, καὶ ἡ εἰκόνα ὑψωθεῖ πρὸς τὸ ἀρχέτυπο, τὸ ὁποῖο τώρα ἐπιθυμεῖ...». Καὶ ταυτόχρονα μ' αὐτὸ μὲ τὶς λίγες αὐτὲς λέξεις καὶ ἀπομακρύνει παιδαγωγικὰ ἀπὸ τὴν ἰδέα τους ἐκείνους ποὺ νόμιζαν ὅτι εἶχε φτάσει κάποτε κάποιο ὂν σ' αὐτὸ τὸ μέτρο τῶν ὄντων, καὶ ὑποδηλώνει τὸ λόγο ποὺ λέει πῶς εἴμαστε μοίρα τοῦ Θεοῦ, καὶ ὑπαινίσσεται τὸν μελλοντικὸ ἰδιάζοντα χαρακτῆρα τοῦ μακαρίου τέλους, καὶ παρακινεῖ πρὸς τὴν ἀσάλευτη κι ἀκλόνητη ἀπόλαυση, ποὺ δὲν μεταπίπτει καθόλου, ἐκείνους ποὺ καθαίρονται γι' αὐτὴν μὲ ἐλπίδα καὶ σπεύδουν πρὸς αὐτή. Γνώριζε

*δει γάρ, ὡσεὶ πρὸς ὃ ἔχομεν οὐσίᾳ τε καὶ λόγῳ τὰς ἐμφάσεις κατὰ λόγον καὶ φύσιν εὐθυπορήσαιμεν ἁπλῇ προσβολῇ, καὶ ἡμεῖς, πάσης τῆς οἱασοῦν ζητήσεως χωρίς, περὶ ἣν μόνην ἐστὶν τὸ πταίειν καὶ σφάλλεσθαι, θεοειδῶς κατὰ τὸ ἐφικτὸν τὰ πάντα εἰσόμεθα, μηκέτι δι' ἄγνοιαν τῆς περὶ αὐτὰ κινήσεις ἀντεχόμενοι, ὡς νοῒ τῷ μεγάλῳ καὶ λόγῳ καὶ πνεύματι τὸν ἡμέτερον νοῦν τε καὶ λόγον καὶ πνεῦμα, μᾶλλον δὲ ὅλῳ Θεῷ ὅλους ἑαυτοὺς ὡς ἀρχετύπῳ εἰκόνι προσχωρήσαντες.*

*Καθὼς καὶ ἐν τῷ Περὶ χαλάζης λόγῳ διέξεισιν, οὑτωσὶ φάσκων· «Καὶ τοὺς μὲν τὸ ἄφραστον φῶς διαδέξεται, καὶ ἡ τῆς ἁγίας καὶ βασιλικῆς θεωρίας Τριάδος ἐλλαμπούσης τρανότερόν τε καὶ καθαρώτερον, καὶ ὅλης ὅλῳ νοῒ μιγνυμένης, ἣν δὴ καὶ μόνην βασιλείαν οὐρανῶν ἐγὼ τίθημι», ἡνίκα ἡδονῇ ἥδεται καὶ ἀγάλλεται, ἵνα τοῖς αὐτοῦ τολμήσας συνάψω τὰ ἐμαυτοῦ, πᾶσα κτίσις λογικὴ ἀγγέλων τε καὶ ἀνθρώπων, ὅσοι μηδένα τῶν πρὸς τὸ τέλος κατὰ τὴν κίνησιν φυσικῶς συνηρμοσμένων αὐτοῖς θείων λόγων παρὰ τοῦ Δημιουργοῦ ἐξ ἀπροσεξίας παρέφθειραν, διεσώσαντο δὲ μᾶλλον σωφρόνως ἑαυτοὺς ὅλους καὶ ἀπαρατρέπτους, ὡς θείας ὄργανα φύσεως, καὶ ὄντας καὶ γενησομένους εἰδότες, οὓς δι' ὅλου ὅλος περιφὺς ὁ Θεὸς τρόπον ψυχῆς, ὥσπερ μέλη σώματος ἄρτια καὶ εὔχρηστα τῷ Δεσπότῃ γενησομένους, πρὸς τὸ δοκοῦν μεταχειρίζεται, καὶ τῆς οἰκείας πληροῖ δόξης τε καὶ μακαριότητος, ζωὴν διδοὺς καὶ χαριζόμενος τὴν ἀΐδιόν τε καὶ ἀνεκλάλητον, καὶ παντάπασι παντὸς ἐλευθέραν γνωρίσματος συστατικῆς ἰδιότητος τῆς παρούσης καὶ διὰ φθορᾶς συνισταμένης ζωῆς, ἣν οὐκ ἀὴρ εἰσπνεόμενος, οὐδ' αἵματος ὀχετοὶ τοῦ ἥπατος ἀπορρέοντες συνιστῶσιν, ἀλλὰ Θεὸς ὅλος ὅλοις μετεχόμενος, καὶ ψυχῆς τρόπον πρὸς σῶμα τῇ ψυχῇ, καὶ διὰ μέσης ψυχῆς πρὸς σῶμα γινόμενος, ὡς οἶδεν αὐτός, ἵν'*

δηλαδὴ ὅτι, ἂν κατευθύνομε κατ' εὐθείαν σύμφωνα μὲ τὸ λόγο καὶ τὴ φύση μας πρὸς αὐτὸ ποὺ ἔχομε τὰ φανερώματα τῆς οὐσίας καὶ τοῦ λόγου μὲ μιὰ ἁπλὴ κίνηση, χωρὶς ὁποιαδήποτε ἀναζήτηση ποὺ μόνο σχετικὰ μ' αὐτὴν ὑπάρχει τὸ νὰ λανθάνει καὶ νὰ σφάλλει κανείς, ὅμοια μὲ τὸ Θεό, κατὰ τὸ δυνατόν, καὶ ἐμεῖς θὰ γνωρίσομε τὰ πάντα, καὶ δὲ θὰ πιανόμαστε πιά, ἀπὸ ἄγνοια, ἀπὸ τὴν γύρω ἀπὸ αὐτὰ κίνηση, γιατὶ θὰ ἔχομε παραχωρήσει στὸ μεγάλο νοῦ καὶ λόγο καὶ πνεῦμα τὸ δικό μας νοῦ καὶ λόγο καὶ πνεῦμα, ἢ καλύτερα ὁλόκληρο τὸν ἑαυτό μας σὲ ὁλόκληρο τὸ Θεὸ ποὺ εἶναι ἡ ἀρχέτυπη εἰκόνα.

Τὸ ἴδιο διηγεῖται καὶ στὸ λόγο γιὰ τὸ χαλάζι, λέγοντας τὰ ἑξῆς· «κι αὐτοὺς θὰ τοὺς δεχθεῖ τὸ ἀνείπωτο φῶς καὶ ἡ θεωρία τῆς ἁγίας καὶ βασιλικῆς Τριάδας ποὺ λάμπει λαμπρότερα καὶ καθαρότερα καὶ ποὺ ὅλη ἀναμιγνύεται μὲ ὅλο τὸ νοῦ, τὴν ὁποία βέβαια ἐγὼ μόνη θεωρῶ βασιλεία τῶν οὐρανῶν», ὅταν νιώθει ἡδονὴ καὶ ἀγαλλίαση, γιὰ νὰ τολμήσω νὰ συνάψω τὰ δικά μου μὲ τὰ δικά του, κάθε δημιούργημα λογικὸ ἀγγέλων ἢ ἀνθρώπων, ὅσα δὲν ἔφθειραν ἀπὸ ἀπροσεξία κανέναν ἀπὸ τοὺς θείους λόγους ποὺ ἔχει συναρμόσει μαζί τους ὁ Δημιουργὸς φυσικὰ κατὰ τὴν κίνηση πρὸς τὸ τέλος, ἀλλὰ μᾶλλον τοὺς διέσωσαν μὲ σωφροσύνη ὅλους τους ἀμετάβλητους, ἐπειδὴ γνωρίζουν ὅτι εἶναι καὶ θὰ γίνουν ὄργανα τῆς θείας φύσης. Αὐτοὺς τοὺς λόγους ἀφοῦ τοὺς ἀγκάλιασε ὅλος ἐξ ὁλοκλήρου ὁ Θεὸς σὰ νὰ ἦταν κατὰ κάποιο τρόπο ἡ ψυχή του, σὰ νὰ πρόκειται νὰ γίνουν μέλη τοῦ σώματός του ἄρτια κι εὔχρηστα στὸ Δεσπότη, καὶ τοὺς μεταχειρίζεται ὅπως θέλει καὶ τοὺς γεμίζει μὲ δόξα καὶ μακαριότητα, δίνοντας καὶ χαρίζοντάς τους τὴν ἀΐδια καὶ ἀνεκλάλητη καὶ τελείως ἐλεύθερη ἀπὸ κάθε γνώρισμα τῆς συστατικῆς ἰδιότητας (τῆς ἰδιαίτερης σύστασης) τῆς παρούσας ζωῆς, ποὺ στηρίζεται πάνω στὴ φθορά. Τὴ ζωὴ αὐτὴ δὲν τὴ συνιστοῦν ὁ ἀέρας ποὺ εἰσπνέεται οὔτε τὰ ρυάκια τοῦ αἵματος ποὺ κυλοῦν ἀπὸ τὸ συκώτι, ἀλλὰ ὁλόκληρος ὁ Θεὸς ποὺ μετέχεται ἀπὸ ὅλους καὶ ἀπὸ τὴν ψυχή, ὅπως ἡ ψυχὴ πρὸς τὸ σῶμα, καὶ μέσω τῆς ψυχῆς φθάνει, ὅπως αὐτὸς γνωρίζει, μέχρι τὸ ἴδιο τὸ σῶμα, γιὰ νὰ δεχθεῖ ἡ ψυχὴ τὴν

*ἡ μὲν ἀτρεψίαν δέξηται, τὸ δὲ ἀθανασίαν, καὶ ὅλος ἄνθρωπος θεωθῇ τῇ τοῦ ἐνανθρωπήσαντος Θεοῦ χάριτι θεουργούμενος, ὅλος μὲν ἄνθρωπος μένων κατὰ ψυχὴν καὶ σῶμα διὰ τὴν φύσιν, καὶ ὅλος γινόμενος Θεὸς κατὰ ψυχὴν καὶ σῶμα διὰ τὴν χάριν καὶ τὴν ἐμπρέπουσαν αὐτῷ διόλου θείαν τῆς μακαρίας δόξης λαμπρότητα, μεθ' ἣν οὐκ ἔστι τι ἐπινοῆσαι λαμπρότερον ἢ ὑψηλότερον.*

*Τί γὰρ θεώσεως τοῖς ἀξίοις ἐρασμιώτερον, καθ' ἣν ὁ Θεὸς θεοῖς γενομένοις ἑνούμενος τὸ πᾶν ἑαυτοῦ ποιεῖται δι' ἀγαθότητα; Διὸ καὶ ἡδονὴν καὶ πεῖσιν καὶ χαρὰν καλῶς ὠνόμασαν τὴν τοιαύτην κατἄστασιν, τὴν τῇ θείᾳ κατανοήσει καὶ τῇ ἑπομένῃ αὐτῇ τῆς εὐφροσύνης ἀπολαύσει, ἡδονὴν μέν, ὡς τέλος οὖσαν τῶν κατὰ φύσιν ἐνεργειῶν (οὕτω γὰρ τὴν ἡδονὴν ὁρίζονται), πεῖσιν δὲ ὡς ἐκστατικὴν δύναμιν, πρὸς τὸ ποιοῦν τὸ πάσχον ἐνάγουσαν, κατὰ τὴν ἀποδοθεῖσαν τοῦ ἀέρος πρὸς τὸ φῶς καὶ τοῦ πυρὸς πρὸς τὸν σίδηρον παραδειγματικὴν αἰτίαν, καὶ πείθουσαν φυσικῶς καὶ ἀληθῶς μὴ ἄλλο τι εἶναι παρὰ τοῦτο τῶν ὄντων κεφἄλαιον, ᾗ τὸ ἀπαθὲς δεόντως ἀκολουθεῖ, χαρὰν δὲ ὡς μηδὲν ἔχουσαν ἀντικείμενον μήτε παρελθὸν μήτε μέλλον. Τὴν χαρὰν γἄρ φασι μήτε λύπην ἐπίστασθαι παρελθοῦσαν, μήτε τὸν ἐκ φόβου κόρον ἐπιδέχεσθαι προσδοκώμενον, ὥσπερ ἡ ἡδονή.*

*Ὅθεν καὶ ὡς ἐνδεικτικὴν προσηγορίαν τῆς μελλούσης ἀληθείας ὑπάρχουσαν τὴν χαρὰν ἐκύρωσαν πανταχοῦ οἵ τε θεόπνευστοι λόγοι καὶ οἱ ἐξ αὐτῶν τὰ θεῖα σοφισθέντες μυστήρια Πατέρες ἡμῶν. Εἰ τοίνυν ὡς ἐν ἐπιδρομῇ, κατ' ἐμὲ φἄναι τὸν μικρόν, φυσικῶς τε καὶ γραφικῶς καὶ πατρικῶς δέδεικται, ὡς οὐδὲν τῶν γενητῶν πώποτε κινούμενον ἔστη, οὐδὲ τῆς ἐπ' αὐτὸ κατὰ τὸν θεῖον σκοπὸν ἐπελάβετο λήξεως, πρὸς δὲ τούτοις καὶ ὡς ἀμήχανον τῆς ἐν τῷ Θεῷ μονιμότητος τῶν ἀξιουμένων παρεγκλιθῆναι τὸ βάσιμον. Πῶς γάρ ἐστι δυνατόν, ἵνα τοῖς εἰρημένοις μικράν τινα πρὸς βεβαίωσιν τὴν ἐκ λογισμῶν δῶμεν*

ἀτρεψία καὶ τὸ σῶμα τὴν ἀθανασία, καὶ νὰ θεωθεῖ ὁλόκληρος ὁ ἄνθρωπος θεοποιημένος ἀπὸ τὴ χάρη τοῦ Θεοῦ ποὺ ἔγινε ἄνθρωπος, γίνοντας ἄτρεπτος ὅλος ὁ ἄνθρωπος κατὰ τὴν ψυχὴ καὶ τὸ σῶμα, καὶ ὅλος γινόμενος Θεὸς μὲ τὴ δύναμη τῆς χάριτος καὶ τὴ θεία λαμπρότητα ποὺ ἐμπρέπει ἀπόλυτα σ' αὐτὸν τῆς μακαρίας δόξας, πέρα ἀπὸ τὴν ὁποία δὲν εἶναι δυνατὸν νὰ ἐπινοηθεῖ τίποτε λαμπρότερο καὶ ὑψηλότερο.

Πράγματι, τί εἶναι γιὰ τοὺς ἄξιους πιὸ ἀγαπητὸ ἀπὸ τὴ θέωση, σύμφωνα μὲ τὴν ὁποία ὁ Θεὸς ἑνώνεται μ' αὐτοὺς ποὺ ἔγιναν θεοὶ καὶ ἀπὸ ἀγαθότητα κάνει δικό του τὸ πᾶν; Γι' αὐτὸ ὀρθὰ ὀνόμασαν ἡδονὴ καὶ πάθος καὶ χαρὰ αὐτὴ τὴν κατάσταση, ποὺ δημιουργεῖ ἡ θεία κατανόηση καὶ ἡ ἐπακόλουθη εὐφραντικὴ ἀπόλαυση· ἡδονή, ἐπειδὴ εἶναι τέλος τῶν φυσικῶν ἐνεργειῶν (γιατὶ ἔτσι ὁρίζουν τὴν ἡδονή), καὶ πάθος, ἐπειδὴ σὰν δύναμη ἐκστατικὴ ὁδηγεῖ αὐτὸ ποὺ πάσχει σ' αὐτὸ ποὺ πράττει, σύμφωνα μὲ τὸ παράδειγμα ποὺ δώσαμε γιὰ τὴ σχέση τοῦ ἀέρα μὲ τὸ φῶς καὶ τῆς φωτιᾶς μὲ τὸ σίδηρο, καὶ ποὺ πείθει φυσικὰ καὶ ἀληθινὰ ὅτι δὲν ὑπάρχει κανένας ἄλλος βασικὸς κανόνας τῶν ὄντων ἐκτὸς ἀπὸ αὐτόν, κατὰ τὸν ὁποῖο ἡ ἀπάθεια ἀκολουθεῖ ὅπως πρέπει, καὶ ἡ χαρὰ δὲν ἔχει τίποτε ἀντίθετο οὔτε περασμένο οὔτε μελλοντικό. Γιατὶ λένε ὅτι ἡ χαρὰ οὔτε τὴν περασμένη λύπη θυμᾶται οὔτε δέχεται τὸν ἀναμενόμενο κόρο ἀπὸ τὸ φόβο, ὅπως ἡ ἡδονή.

Γι' αὐτὸ τόσο ἡ θεόπνευστη Γραφὴ παντοῦ ὅσο καὶ οἱ πατέρες μας, ποὺ ἀπὸ αὐτὴν διδάχτηκαν τὰ θεῖα μυστήρια, βεβαίωσαν ὅτι ἡ χαρὰ εἶναι ὄνομα ἐνδεικτικὸ τῆς μελλοντικῆς ἀλήθειας. Συνοπτικὰ λοιπόν, κατὰ τὴ γνωμη ἐμένα τοῦ μικροῦ, ἔχει δειχθεῖ φυσικῶς καὶ ἀπὸ τὸ λόγο τῆς Γραφῆς καὶ ἀπὸ τοὺς Πατέρες, ὅτι τίποτε ἀπὸ ὅσα ἔγιναν ὡς τώρα δὲ σταμάτησε ποτὲ νὰ κινεῖται οὔτε δέχθηκε τὴ λήξη ποὺ ἀνήκει σ' αὐτὸ κατὰ τὸ θεῖο σκοπό, κι ἐκτὸς ἀπὸ αὐτὰ ὅτι εἶναι ἀδύνατο νὰ κλονιστεῖ ἔστω καὶ λίγο ἡ βασιμότητα τῆς μονιμότητας μέσα στὸ Θεὸ ἐκείνων ποὺ ἀξιώνονται. Πῶς δηλαδὴ εἶναι δυνατό, γιὰ νὰ δώσω σὲ ὅσα ἔχουν λεχθεῖ μικρὴ βοήθεια μὲ τὸ συλλογισμὸ πρὸς βεβαίωσή

*βοήθειαν, τοὺς ἅπαξ ἐν τῷ Θεῷ ὑπαρκτικῶς γενομένους τὸν ὑβριστὴν κατὰ τὴν ἔφεσιν ὑποδέξασθαι κόρον, παντὸς κόρου κατὰ τὸν ἴδιον λόγον τε καὶ ὅρον ὀρέξεως τυγχάνοντος σβεστικοῦ, καὶ κατὰ δύο συνισταμένου τρόπους; Ἢ γὰρ τὰ ὑποκείμενα ὡς μικρὰ περιγράφουσα ἡ ὄρεξις σβέννυται, ἢ ἀτιμάζουσα ὡς αἰσχρά τε καὶ εἰδεχθῆ βδελύσσεται, ὑφ' ὧν ὁ κόρος γίνεσθαι πέφυκεν. Ὁ δὲ Θεὸς φύσει ὑπάρχων ἄπειρός τε καὶ τίμιος ἐπιτείνειν μᾶλλον τῶν ἀπολαυόντων αὐτοῦ διὰ τῆς μετοχῆς πρὸς τὸ ἀόριστον τὴν ὄρεξιν πέφυκεν.*

*Εἰ δὲ τοῦτ' ἀληθές, ὥσπερ οὖν καὶ ἔστιν, οὐκ ἦν ἄρα ἡ λεγομένη ἑνὰς τῶν λογικῶν, ἥτις κόρον λαβοῦσα τῆς ἐν τῷ Θεῷ μονιμότητος ἐμερίσθη, καὶ τῷ οἰκείῳ σκεδασμῷ τὴν τοῦ κόσμου τούτου γένεσιν συνεισήγαγεν, ἵνα μὴ τὸ ἀγαθὸν ἐμπερίγραπτον ποιώμεθα καὶ ἄτιμον, ὡς κόρῳ τινὶ περιοριζόμενον καὶ στάσεως αἴτιον γινόμενον ἐκείνοις, ὧν τὴν ἔφεσιν ἀκίνητον κρατεῖν οὐ δεδύνηται. Καὶ μάτην λοιπόν τινες ταύτην θεσπίζουσιν, ὡς ἔμοιγε δοκεῖ, τὰ μὴ ὄντα πλαττόμενοι, καὶ τὸ δὴ τούτου βαρύτερον, καὶ τοῦ μακαρίου τούτου πατρὸς ὡς ταῦτα φρονοῦντος καταψευδόμενοι, ἐφ' ᾧ μὴ μόνον αὐτοὺς ἐκ προτέρου εἴδους ζωῆς τὰς ψυχὰς εἰς σώματα ἐλθεῖν ἐπὶ τιμωρίᾳ τῶν προγεγονότων κακῶν φρονεῖν ἐπ' ἀδείας δύνασθαι, ἀλλὰ καὶ ἄλλους ἀπατᾶν οὕτως ἔχειν εὐλόγως ἐπιχειρεῖν διὰ τῆς τῶν προσώπων ἀξιοπιστίας, οὐ καλῶς οὐδ' ὁσίως πράττοντας, ἀλλ' ἐκείνους ἔχοντας ἀφέντες ὡς ἔχουσιν, αὐτοὶ εὐσεβῶς ἡμεῖς τὸν νοῦν τοῦ διδασκάλου πρὸς τοῖς εἰρημένοις καὶ κατ' ἄλλον σκοπήσομεν τρόπον.*

*Οὐκ οἶμαι τῆς ἀνθρωπίνης αὐτὸν γενέσεως ἐνταῦθα, ἀλλὰ τῆς ἐπιγενομένης αὐτῇ ταλαιπωρίας τὴν αἰτίαν ἀφηγεῖσθαι βούλεσθαι. Θρηνήσας γὰρ τοῦ σώματος ἡμῶν τὴν ἐλεεινότητα διὰ τοῦ εἰπεῖν, «Ὢ τῆς συζυγίας καὶ τῆς ἀλλοτριώσεως! ὃ φοβοῦμαι, περιέπω, καὶ ὃ στέργω, δέδοικα», καὶ τὰ ἑξῆς, καὶ οἷον*

τους, αὐτοὶ ποὺ βρέθηκαν νὰ εἶναι μιὰ φορὰ μέσα στὸ Θεὸ νὰ δεχθοῦν στὴν ἐπιθυμία τους τὸν ὑβριστὴ κόρο, ἀφοῦ κάθε κόρος, σύμφωνα μὲ τὴ σημασία καὶ τὸν ὁρισμό του, τυχαίνει νὰ σβήνει κάθε ὄρεξη, πράγμα ποὺ γίνεται μὲ δύο τρόπους; Ἢ δηλαδὴ κόβεται ἡ ὄρεξη περιγράφοντας ὡς μικρὰ αὐτὰ ποὺ τὴν προκαλοῦν, ἢ τὰ σιχαίνεται καὶ τὰ περιφρονεῖ ὡς αἰσχρὰ καὶ ἄσχημα· ἀπὸ αὐτὰ συνήθως προκαλεῖται ὁ κόρος. Ὁ Θεὸς ὅμως ποὺ εἶναι ἀπὸ τὴ φύση του ἄπειρος καὶ πολύτιμος, ἐπιτείνει περισσότερο τὴν ὄρεξη ἐκείνων ποὺ τὸν ἀπολαύουν μὲ τὴ μετοχή τους στὸ ἀόριστο.

Ἂν αὐτὸ εἶναι ἀληθινό, ὅπως βέβαια καὶ εἶναι, δὲν ἦταν ἑπομένως ἡ λεγόμενη ἑνότητα τῶν λογικῶν, ποὺ δοκιμάζοντας κόρο τῆς μονιμότητάς της μέσα στὸ Θεὸ μοιράστηκε καὶ μὲ τὸ διασκορπισμό της ἔφερε μαζὶ τὴ γένεση τούτου τοῦ κόσμου, γιὰ νὰ μὴν κάνομε τὸ ἀγαθὸ τέτοιο ποὺ νὰ δέχεται περιγραφὴ καὶ τὸ ἀτιμάσομε, ἐπειδὴ τάχα περιορίζεται ἀπὸ κάποιο κόρο καὶ γίνεται αἰτία νὰ σταματήσουν ἐκεῖνα ποὺ δὲν μπόρεσαν νὰ κρατήσουν ἀκίνητη τὴν ἐπιθυμία τους. Καὶ μάταια λοιπόν, ὅπως νομίζω, κάποιοι τὴ θεσμοθετοῦν, δημιουργώντας ἀνύπαρκτα πλάσματα καί, τὸ πιὸ βαρὺ ἀπὸ αὐτό, λένε ψέματα γιὰ αὐτὸν τὸ μακάριο πατέρα πὼς ἔχει τάχα τέτοιες ἀπόψεις, ὥστε ὄχι μόνο αὐτοὶ νὰ μποροῦν εὔκολα νὰ πιστεύουν ὅτι οἱ ψυχὲς ἦρθαν στὰ σώματα ἀπὸ κάποιο προηγούμενο εἶδος ζωῆς πρὸς τιμωρία τῶν κακῶν ποὺ ἔχουν προδιαπραχθεῖ, ἀλλὰ νὰ ἐπιχειροῦν εὔλογα νὰ ἐξαπατοῦν καὶ ἄλλους πὼς ἔτσι συμβαίνει μὲ τὴν ἀξιοπιστία τῶν προσώπων, ἐνεργῶντας οὔτε σωστὰ οὔτε ἠθικά. Ἂς τοὺς ἀφήσομε ὅμως αὐτοὺς νὰ πιστεύουν ὅ,τι πιστεύουν, καὶ ἐκτὸς ἀπὸ αὐτὰ ποὺ εἴπαμε ἂς ἐξετάζομε μὲ εὐλάβεια καὶ μ' ἄλλο τρόπο τὸ νοῦ τοῦ δασκάλου.

Δὲ νομίζω ὅτι θέλει νὰ ἐκθέσει ἐδῶ τὴν αἰτία τῆς ἀνθρώπινης γένεσης, ἀλλὰ τὴν αἰτία τῆς ταλαιπωρίας ποὺ ἀκολούθησε. Ἀφοῦ δηλαδὴ θρήνησε τὴν ἀθλιότητα τοῦ σώματός μας μὲ τὰ λόγια, «ὢ σύζευξη καὶ ἀντίθεση! Αὐτὸ ποὺ φοβᾶμαι, τὸ περιποιοῦμαι, κι αὐτὸ ποὺ ἀγαπῶ, τὸ τρέμω» καὶ τὰ ὅσα στὴ συνέ-

*πρὸς ἑαυτὸν διαπορήσας περὶ τῆς αἰτίας τῶν οἷς ἐνισχήμεθα κακῶν καὶ τῆς κατ' αὐτὴν σοφωτάτης προνοίας διὰ τοῦ φάναι, «Τίς ἡ περὶ ἐμὲ σοφία, καὶ τί τὸ μέγα τοῦτο μυστήριον;», ἐπάγει τὴν λύσιν τρανῶς ποιούμενος οὕτως· «Ἢ βούλεται μοῖραν ἡμᾶς ὄντας Θεοῦ καὶ ἄνωθεν ῥεύσαντας, ἵνα μὴ διὰ τὴν ἀξίαν ἐπαιρόμενοι καὶ μετεωριζόμενοι καταφρονῶμεν τοῦ Κτίσαντος, ἐν τῇ πρὸς τὸ σῶμα πάλῃ καὶ μάχῃ πρὸς αὐτὸν ἀεὶ βλέπειν, καὶ τὴν συνεζευγμένην ἀσθένειαν παιδαγωγίαν εἶναι τοῦ ἀξιώματος».*

*Ὡσανεὶ ἔλεγεν, ἐπειδήπερ ἐκ ψυχῆς καὶ σώματος δι' ἀγαθότητα ὁ ἄνθρωπος γέγονε παρὰ τοῦ Θεοῦ, ἐφ' ᾧ τὴν δοθεῖσαν αὐτῷ λογικήν τε καὶ νοερὰν ψυχήν, ἅτε δὴ κατ' εἰκόνα τοῦ ποιήσαντος αὐτὴν ὑπάρχουσαν, κατὰ μὲν τὴν ἔφεσιν καὶ τὴν ἐξ ὅλης δυνάμεως ὁλικὴν ἀγάπην ἀπρὶξ Θεοῦ γνωστικῶς ἐχομένην, καὶ τὸ καθ' ὁμοίωσιν προσλαβοῦσαν θεωθῆναι, κατὰ δὲ τὴν ἐπιστημονικὴν πρὸς τὸ ὑφειμένον πρόνοιαν, καὶ τὴν περὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν κελεύουσαν ἐντολήν, ἐμφρόνως τοῦ σώματος ἀντεχομένην, λογίσαι τε δι' ἀρετῶν αὐτὸ καὶ οἰκειῶσαι Θεῷ ὡς ὁμόδουλον δι' ἑαυτῆς μεσιτευούσης τὸν ποιητὴν ἔνοικον, καὶ τῆς δοθείσης ἀθανασίας ἄλυτον δεσμὸν αὐτὸν ποιησομένην αὐτῷ τὸν συνδήσαντα, ἵν' ὅπερ ἐστὶ Θεὸς ψυχῇ, τοῦτο ψυχὴ σώματι γένηται, καὶ εἷς ἀποδειχθῇ τῶν ὅλων Δημιουργός, ἀναλόγως διὰ τῆς ἀνθρωπότητος πᾶσιν ἐπιβατεύων τοῖς οὖσι, καὶ εἰς ἓν ἔλθῃ τὰ πολλὰ ἀλλήλων κατὰ τὴν φύσιν ἀλλήλοις συννεύοντα, καὶ γένηται τὰ πάντα ἐν πᾶσιν αὐτὸς ὁ Θεός, πάντα περιλαβὼν καὶ ἐνυποστήσας ἑαυτῷ, διὰ τοῦ μηδὲν ἔτι τῶν ὄντων ἄφετον κεκτῆσθαι τὴν κίνησιν, καὶ τῆς αὐτοῦ ἄμοιρον παρουσίας, καθ' ἣν καὶ θεοὶ καὶ τέκνα καὶ σῶμα*

---

22. Ματθ. 22,39.

χεια λέει, καὶ σὰν νὰ διερωτήθηκε μέσα του ἀπορώντας γιὰ τὴν αἰτία τῶν κακῶν στὰ ὁποῖα ἔχομε ἐμπλακεῖ καὶ γιὰ τὴ σοφότατη πρόνοια τῆς ἐμπλοκῆς αὐτῆς μὲ τὸ νὰ πεῖ, «ποιά εἶναι αὐτὴ ἡ γύρω ἀπὸ ἐμένα σοφία καὶ ποιό αὐτὸ τὸ μεγάλο μυστήριο;», δίνει σαφέστατη λύση στὴν ἀπορία του μὲ τὰ ἑξῆς· «Ἢ θέλει ἐπειδὴ ἐμεῖς εἴμαστε μοίρα Θεοῦ κι ἔχομε ἀποκυλήσει ἀπὸ ἄνω, γιὰ νὰ μὴν ἐπαιρόμαστε γιὰ τὴν ἀξία μας καὶ πετᾶμε στὸν ἀέρα καταφρονώντας τὸν Δημιουργό μας, θέλει κατὰ τὴν πάλη καὶ τὴ μάχη μας πρὸς τὸ σῶμα ν' ἀτενίζομε πάντοτε πρὸς αὐτὸν καὶ ἡ συζευγμένη μαζί μας ἀσθένεια νὰ εἶναι παιδαγωγία τῆς ἀξίας μας».

Εἶναι σὰ νὰ λέει· Ἀπὸ ἀγαθότητα ὁ ἄνθρωπος πλάστηκε ἀπὸ τὸ Θεὸ μὲ ψυχὴ καὶ σῶμα, ὥστε ἡ λογικὴ καὶ νοερὴ ψυχὴ ποὺ τοῦ δόθηκε, ἐπειδὴ εἶναι εἰκόνα τοῦ δημιουργοῦ της, σύμφωνα βέβαια μὲ τὴν ἐπιθυμία της καὶ τὴν ὁλικὴ καὶ μ' ὅλη τὴ δύναμή της ἀγάπη ἰσχυρὰ κρατούμενη γνωστικῶς ἀπὸ τὸ Θεὸ καὶ προσλαμβάνοντας καὶ τὴν ὁμοίωση, νὰ θεωθεῖ. Σύμφωνα πάλι μὲ τὴν ἐπισταμένη πρόνοια πρὸς τὸ κατώτερο καὶ τὴν ἐντολὴ ποὺ προστάζει ν' ἀγαποῦμε τὸν πλησίον μας ὅπως τὸν ἑαυτό μας[22], χρησιμοποιώντας τὸ σῶμα μὲ φρόνηση νὰ τὸ ἐκλογικεύσει μὲ τὶς ἀρετὲς καὶ νὰ τὸ οἰκειώσει μὲ τὸ Θεὸ ὡς ὁμόδουλό της, κάνοντας μὲ δική της μεσίτευση τὸν Ποιητὴ ἔνοικό του καὶ κάνοντάς του μελλοντικὰ ἄλυτο δεσμὸ τῆς ἀθανασίας, τὸν ἴδιο ἐκεῖνον ποὺ τὰ συνέδεσε μαζί, ὥστε, αὐτὸ ποὺ εἶναι ὁ Θεὸς γιὰ τὴν ψυχή, αὐτὸ νὰ γίνει ἡ ψυχὴ γιὰ τὸ σῶμα, καὶ ν' ἀποδειχθεῖ ἕνας ὁ δημιουργὸς τῶν ὅλων, εἰσβάλλοντας μὲ τὴν ἰδιότητα τοῦ ἀνθρώπου σὲ ὅλα τὰ ὄντα ἀναλόγως καὶ νὰ ἑνωθοῦν σὲ ἕνα τὰ πολλὰ ποὺ διίστανται μεταξύ τους κατὰ τὴ φύση, συγκλίνοντας μεταξύ τους γύρω ἀπὸ τὴ μία φύση τοῦ ἀνθρώπου, καὶ νὰ γίνει τὰ πάντα μέσα στὰ πάντα ὁ ἴδιος ὁ Θεός, ἀγκαλιάζοντας τὰ πάντα καὶ δίνοντάς τους ὑπόσταση μέσα του, ἐπειδὴ κανένα πλέον ἀπὸ τὰ ὄντα δὲν θὰ ἔχει ἀνεξάρτητη κίνηση καὶ δὲν θὰ εἶναι ἄμοιρο ἀπὸ τὴ θεία παρουσία, σύμφωνα μὲ τὴν ὁποία καὶ θεοὶ καὶ παιδιὰ καὶ σῶμα καὶ μέλη καὶ μοίρα τοῦ Θεοῦ καὶ τὰ παρόμοια καὶ εἴμα-

*καὶ μέλη καὶ μοῖρα Θεοῦ καὶ τὰ τοιαῦτά ἐσμεν καὶ λεγόμεθα τῇ πρὸς τὸ τέλος ἀναφορᾷ τοῦ θείου σκοποῦ.*

*Ἐπειδὴ τοίνυν τοῦτο καὶ ἐπὶ τούτῳ ὁ ἄνθρωπος γέγονεν, ἐν δὲ τῷ προπάτορι τῷ ἑτοίμῳ πρὸς ἐξουσίαν ἐπὶ τὸ χεῖρον ἐχρήσατο, μετενεγκὼν ἐκ τοῦ ἐπιτετραμμένου πρὸς τὸ κεκωλυμένον τὴν ὄρεξιν (καὶ γὰρ ἦν αὐτεξούσιος, καὶ τοῦ κολληθῆναι τῷ Κυρίῳ καὶ ἓν πνεῦμα γενέσθαι, ἀπατηθεὶς προείλετο, καὶ τοῦ θείου καὶ μακαρίου σκοποῦ ἑκὼν ἑαυτὸν ἀπεξένωσε, τοῦ Θεὸς εἶναι χάριτι τὸ χοῦς γενέσθαι καθ' αἵρεσιν προτιμήσας), σοφῶς ἅμα καὶ φιλανθρώπως καὶ τῇ αὐτοῦ πρεπόντως ἀγαθότητι ὁ τὴν ἡμετέραν σωτηρίαν οἰκονομῶν Θεὸς τῇ παραλόγῳ κινήσει τῆς ἐν ἡμῖν νοερᾶς δυνάμεως παρεπομένην δεόντως τὴν τιμωρίαν παρέπηξεν, αὐτὸ ἐκεῖνο τυχὸν κατὰ τὸν εἰκότα λόγον κολάσας θανάτῳ, περὶ ὃ τὴν κατὰ νοῦν μόνῳ Θεῷ χρεωστουμένην τῆς ἀγάπης δύναμιν κατερρήξαμεν, ἵνα, τοῦ μηδενὸς ἐρῶντες διὰ τοῦ πάσχειν ποτὲ μαθόντες, πρὸς τὸ ὂν πάλιν ταύτην ἐπανάγειν διδαχθῶμεν τὴν δύναμιν. Ὅπερ προϊὼν ἐμφανέστερον ποιεῖται λέγων, «Ἀλλ' ἐμοὶ μὲν καὶ διὰ τοῦτο δοκεῖ μηδὲν τῶν ἐνταῦθα ἀγαθῶν εἶναι πιστὸν τοῖς ἀνθρώποις, μηδὲ πολυχρόνιον, ἀλλ' εἴπερ τι ἄλλο, καὶ τοῦτο καλῶς τῷ τεχνίτῃ λόγῳ καὶ τῇ πάντα νοῦν ὑπερεχούσῃ σοφίᾳ μεμηχανῆσθαι, παίζεσθαι ἡμᾶς ἐν τοῖς δρωμένοις, ἄλλοτε ἄλλως μεταβαλλομένοις καὶ μεταβάλλουσι, καὶ ἄνω καὶ κάτω φερομένοις τε καὶ περιτρεπομένοις, καὶ πρὶν ληφθῆναι ἀπιοῦσι καὶ φεύγουσιν, ἵνα, τὸ ἐν τούτοις ἄστατον καὶ ἀνώμαλον θεωρήσαντες, πρὸς τὸ μέλλον μεθορμισώμεθα. Τί γὰρ ἂν ἐποιήσαμεν ἑστῶτος τοῦ εὖ πράττειν ἡμῖν, ὁπότε οὐ μένοντος τοσοῦτον αὐτῷ προσδεδέμεθα, καὶ οὕτως ἡμᾶς ἡ περὶ τοῦτο ἡδονὴ καὶ ἀπάτη ἔχει δουλώσασα, ὥστε μηδὲν κρεῖττον μηδὲ ὑψηλότερον τῶν παρόντων*

23. Α' Ἰω. 3,1. Στὴν κοσμολογία ποὺ διατυπώνει ἐδῶ ὁ Μάξιμος θὰ θεωθεῖ

στε καὶ λεγόμαστε μὲ τὸ φτάσιμο πρὸς τὸ τέλος τοῦ θείου σκοποῦ[23].

Ἐπειδὴ λοιπὸν γι' αὐτὸ ἔγινε ὁ ἄνθρωπος καὶ γι' αὐτὸ τὸ σκοπό, ὁ προπάτοράς μας ὅμως, ποὺ ἦταν ἑτοιμασμένος γιὰ τὴν ἐξουσία, τὴ χρησιμοποίησε γιὰ τὸ χειρότερο, μεταθέτοντας τὴν ὄρεξή του ἀπὸ αὐτὸ ποὺ ἐπιτρεπόταν στὸ ἀπαγορευμένο (ἦταν δηλαδὴ αὐτεξούσιος καὶ στὸν Κύριο νὰ προσκολληθεῖ καὶ νὰ γίνει μαζί του ἕνα πνεῦμα, καὶ νὰ προσκολληθεῖ στὴν πόρνη καὶ νὰ γίνει ἕνα σῶμα μαζί της, αὐτὸς ἐξαπατημένος προτίμησε τὸ δεύτερο, καὶ ἀποξένωσε θεληματικὰ ἀπὸ τὸ θεῖο καὶ μακάριο σκοπὸ τὸν ἑαυτό του, προτιμώντας ἀπὸ τὸ νὰ εἶναι Θεὸς κατὰ χάρη νὰ γίνει μὲ τὴν ἐκλογή του χῶμα), γι' αὐτὸ σοφὰ καὶ φιλάνθρωπα καὶ ὅπως ἔπρεπε στὴν ἀγαθότητά του, ὁ Θεὸς ποὺ οἰκονομεῖ τὴ σωτηρία μας, στερεώνοντας δίπλα στὴν παράλογη κίνηση τῆς νοερῆς μέσα μας δύναμης τὴν τιμωρία νὰ ἀκολουθεῖ ὑποχρεωτικά, τιμώρησε κατὰ εὔλογο λόγο μὲ θάνατο ἀκριβῶς ἐκεῖνο τὸ στοιχεῖο μας, στὸ ὁποῖο διασπάσαμε τὴ νοερὴ ἀγάπη ποὺ χρεωστοῦμε στὸ Θεὸ μόνο, ὥστε, ἀφοῦ μάθομε ἔτσι κάποτε πεθαίνοντας ὅτι ἐρωτευτήκαμε τὸ μηδέν, νὰ διδαχθοῦμε νὰ ἐπαναφέρομε πάλι τὴ δύναμη αὐτὴ πρὸς τὸ Ὄν. Προχωρώντας τὸ κάνει αὐτὸ φανερότερο λέγοντας· «Ἀλλὰ ἐγὼ νομίζω ὅτι καὶ γι' αὐτὸ δὲν εἶναι σταθερὸ στοὺς ἀνθρώπους κανένα ἀπὸ τὰ ἐδῶ ἀγαθὰ οὔτε κρατάει πολὺν καιρό, ἀλλὰ μαζὶ μὲ τὰ ἄλλα καὶ αὐτὸ τὸ ἔχει μηχανευτεῖ καλὰ ὁ τεχνίτης λόγος καὶ ἡ σοφία του ποὺ ξεπερνᾶ κάθε νοῦ, νὰ ἐμπαιζόμαστε μὲ τὰ φαινόμενα ποὺ μεταβάλλονται συνέχεια καὶ μεταβάλλουν, ποὺ φέρονται ἄνω καὶ κάτω καὶ περιστρέφονται καὶ πρὶν τὰ πιάσομε φεύγουν καὶ χάνονται, ὥστε, θεωρώντας πόσο ἄστατα καὶ ἄτακτα εἶναι, νὰ ἀγκυροβολήσομε πρὸς τὰ μελλοντικά. Τί θὰ κάναμε ἂν ἡ εὐτυχία ἦταν σ' ἐμᾶς σταθερή, τὴ στιγμὴ πού, ἐνῶ δὲν παραμένει, ἔχομε τόσο πολὺ δεθεῖ μαζί της καὶ τόσο μᾶς ἔχει ὑποδουλώσει ἡ ἡδονὴ καὶ ἡ ἀπάτη της, ὥστε νὰ μὴν μποροῦμε νὰ διανοηθοῦμε τίποτε καλύτερο, τί-

ὅλος ὁ κόσμος μέσω τοῦ ἀνθρώπου καὶ μάλιστα τῆς ψυχῆς. Ὅ,τι εἶναι ὁ Θεὸς γιὰ τὴν ψυχή, γίνεται ἡ ψυχὴ γιὰ τὸν κόσμο.

*διανοεῖσθαι δύνασθαι, καὶ ταῦτα κατ᾽ εἰκόνα Θεοῦ γεγονέναι καὶ ἀκούοντας καὶ πιστεύοντας τὴν ἄνω τε οὖσαν καὶ πρὸς ἑαυτὴν ἕλκουσαν;».*

*Καὶ πάλιν ἐν τῷ πρὸς τοὺς πολιτευομένους λόγῳ φάσκων, «Ἵν᾽ εἰδῶμεν τὸ μηδὲν ὄντες πρὸς τὴν ἀληθινὴν σοφίαν καὶ πρώτην, ἀλλὰ πρὸς αὐτὸν ἀεὶ νεύωμεν μόνον, καὶ ζητῶμεν ταῖς ἐκεῖθεν αὐγαῖς ἐναστράπτεσθαι, εἴτε διὰ τῆς ἀνωμαλίας τῶν ὁρωμένων καὶ περιτρεπομένων, μετάγοντος ἡμᾶς ἐπὶ τὰ ἑστῶτα καὶ μένοντα. Οὐ τοίνυν, ὡς οἶμαι, τῆς κατὰ τὴν γένεσιν τῆς ἀνθρωπότητος αἰτίας ἐν τούτοις, ὡς εἴρηται, ὁ διδάσκαλος ποιεῖται τὴν δήλωσιν, ἀλλὰ τῆς κατὰ τὴν γένεσιν ἐπεισαχθείσης τῇ ἡμετέρᾳ ζωῇ διὰ τὴν παράβασιν ταλαιπωρίας, ὡς τοῖς σπουδαιοτέρως καὶ ἐμμελεστέρως τοῖς θείοις αὐτοῦ γράμμασιν ἐμμελετῶσίν ἐστι καταφανές. Ταύτης μὲν γὰρ τὴν ὅθεν, καὶ δι᾽ ὅ, καὶ ἐφ᾽ ᾧ, καὶ οὗ ἕνεκεν αἰτίαν, διὰ τούτων ἡμῖν παρατίθεται τῶν λόγων, δι᾽ αὐτῆς τὴν οἰκονομουμένην ἡμῶν σοφῶς παρὰ τοῦ Θεοῦ σωτηρίαν δηλῶν· ἐκείνης δὲ τὴν ἐφ᾽ ᾧ γεγένηται μυστηρίῳ ὑπεμφαίνων δύναμιν ἑτέρῳ λόγων κέχρηται τρόπῳ, ὅλον αὐτοῦ περὶ τούτου τὸν εὐσεβῆ σκοπὸν φανερὸν ποιούμενος, ὡς ἐν τῷ Εἰς τὰ γενέθλια λόγῳ δείκνυται λέγων·*

*«Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις οὕτως ἀπ᾽ ἀλλήλων διακριθέντα τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν, καὶ τὸ τοῦ Δημιουργοῦ λόγου μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας καὶ διαπρύσιοι κήρυκες· οὔπω δὲ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας, ουδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. Τοῦτο δὲ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος, καὶ ζῷον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον, καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ᾽ ἑαυτοῦ δὲ ζωὴν ἐνθεὶς (ὃ δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος), οἷόν τινα κόσμον δεύτερον ἐν μικρῷ μέγαν ἐπὶ τῆς*

ποτε ἀνώτερο ἀπὸ τὰ παρόντα, καὶ ὅλα αὐτὰ τὴ στιγμὴ ποὺ ἔχομε γίνει κατ' εἰκόνα τοῦ Θεοῦ καὶ ἀκοῦμε καὶ πιστεύομε ὅτι αὐτὴ εἶναι ἐπάνω καὶ μᾶς ἕλκει πρὸς τὸν ἑαυτό της;».

Καὶ πάλι στὸ λόγο του Πρὸς αὐτοὺς ποὺ ζοῦν στὴν πόλη, λέει τὰ ἑξῆς· «Γιὰ νὰ μάθομε ὅτι εἴμαστε μηδὲν μπροστὰ στὴν ἀληθινὴ καὶ τὴν πρώτη σοφία, καὶ νὰ κατευθυνόμαστε πάντοτε πρὸς αὐτὸν μόνο καὶ νὰ ζητοῦμε νὰ φωτιζόμαστε μὲ τὶς ἀκτινοβόλες λάμψεις ἀπὸ ἐκεῖ, ἢ μὲ τὴν ἀκαταστασία τῶν φαινομένων καὶ μεταβαλλομένων νὰ μᾶς μεταφέρει στὰ σταθερὰ καὶ μόνιμα». Δὲ νομίζω λοιπὸν ὅτι μὲ αὐτὰ ὁ δάσκαλος δηλώνει, ὅπως λέχθηκε, τὴν αἰτία τῆς γένεσης τῆς ἀνθρωπότητας, ἀλλὰ δηλώνει τὴν αἰτία τῆς ταλαιπωρίας ποὺ κατὰ τὴ γένεση εἰσῆλθε στὴ ζωή μας ἐξαιτίας τῆς παράβασης, ὅπως εἶναι ὁλοφάνερο σὲ ὅσους μελετοῦν μὲ ζῆλο καὶ προσοχὴ τὰ θεῖα γραφόμενά του. Τὴν αἰτία δηλαδὴ αὐτῆς, ἀπὸ τὴν ὁποία καὶ μέσω τῆς ὁποίας καὶ πρὸς τὴν ὁποία καὶ ἐξαιτίας τῆς ὁποίας ταλαιπωρούμαστε, τὴν παραθέτει σ' ἐμᾶς μὲ αὐτοὺς τοὺς λόγους, δηλώνοντας μὲ αὐτὴ τὴ σωτηρία ποὺ οἰκονομεῖ γιὰ μᾶς μὲ σοφία ὁ Θεός. Ἐνῶ ὑποδηλώνοντας τὴ δύναμη ἐκείνης μὲ ποιὸ μυστήριο ἔχει γίνει, κάνει χρήση διαφορετικῶν ἐκφράσεων, ὅπως φαίνεται μὲ αὐτὰ ποὺ λέει στὸ λόγο του Στὰ γενέθλια·

«Ὁ νοῦς λοιπὸν ἤδη καὶ ἡ αἴσθηση, ἔχοντας χωριστεῖ τὸ ἕνα ἀπὸ τὸ ἄλλο, εἶχαν σταθεῖ μέσα στὰ δικά τους ὅρια καὶ ἔδειχναν ἐπάνω τους τὸ μεγαλεῖο τοῦ Δημιουργοῦ Λόγου, σιωπηλοὶ ὑμνητὲς τῆς μεγαλουργίας καὶ μεγαλόφωνοι κήρυκες. Δὲν εἶχε γίνει ἀκόμα τὸ κράμα ἀπὸ τὰ δύο, οὔτε κάποια ἀνάμιξη τῶν ἀντίθετων, γνώρισμα μεγαλύτερης σοφίας καὶ τελειότητας γύρω ἀπ' τὶς φύσεις, οὔτε ὅλος ὁ γνώριμος πλοῦτος τῆς ἀγαθότητας. Θέλοντας λοιπὸν νὰ δείξει ὁ τεχνίτης Λόγος αὐτό, μιὰ ὕπαρξη ἀπὸ τὰ δύο, ἐννοῶ τὴν ἀόρατη καὶ τὴν ὁρατὴ φύση, δημιουργεῖ τὸν ἄνθρωπο, λαμβάνοντας ἀπὸ τὴν ὕλη ποὺ προϋπῆρχε ἤδη τὸ σῶμα, καὶ θέτοντας σ' αὐτὸ ζωὴ ὁ ἴδιος ἀπὸ τὸν ἑαυτό του (πράγμα ποὺ ὁ λόγος τὸ γνωρίζει ὡς νοερὴ ψυχὴ καὶ εἰκόνα τοῦ Θεοῦ), σὰν ἕνα δεύτερο κόσμο μέγα μέσα σὲ μικρὸ ποὺ τὸν

*γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητὴν μικτόν», καὶ τὰ ἑξῆς. Ἐν δὲ τῷ Εἰς τὰ Φῶτα λόγῳ· «Ἐπεὶ δὲ οὕτω ταῦτα ἢ τοῦτο· ἔδει δὲ μὴ τοῖς ἄνω μόνον τὴν προσκύνησιν περιγράφεσθαι, ἀλλ' εἶναί τινας καὶ κάτω προσκυνητάς, ἵνα πληρωθῇ τὰ πάντα δόξης Θεοῦ, ἐπεὶ καὶ Θεοῦ· καὶ διὰ τοῦτο κτίζεται ἄνθρωπος χειρὶ Θεοῦ τιμηθεὶς καὶ εἰκόνι». Ἀρκεῖν μὲν καὶ ταῦτα ὑπολαμβάνω, κἂν εἰ μικρὰ τυγχάνοι, τῷ μὴ πάντῃ φιλονείκως διακειμένῳ, καὶ μόνον τὸ μάχεσθαι ἐπίδοξον κρίνοντι, πρὸς τὸ ἐνδείξασθαι τὴν ὅλην τοῦ διδασκάλου περὶ τῶν εἰρημένων διάνοιαν. Εἰ δὲ ἔτι περὶ τοῦ πῶς Θεοῦ μοῖραν ὁ διδάσκαλος ἡμᾶς ἐκάλεσεν ἀπομάχεται, πολλαχῶς μὲν ἤδη ἀνωτέρω ὁ περὶ τούτου ἀποδέδοται λόγος.*

*Ἵνα δὲ πιστότερος γένηται τοῖς τοῦ Πνεύματος ἐρειδόμενος λόγοις, ὁ ἅγιος καὶ μακάριος ἀπόστολος Παῦλος, ὁ τὴν ἀποκεκρυμμένην ἐν τῷ Θεῷ πρὸ τῶν αἰώνων κομισάμενος σοφίαν, καὶ πάντα τὸν ἀφεγγῆ τῶν ἀνθρώπων βίον καταφωτίσας, καὶ τῆς ἀγνοίας τὸν ζόφον τῶν ψυχῶν ἀπελάσας, ἀρκέσει περὶ τούτου Ἐφεσίοις διεξιὼν τάδε· «Ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, δῴη ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν, εἰς τὸ εἰδέναι ὑμᾶς τί ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας, κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ καθίσας αὐτὸν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς οὐρανοῖς, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, καὶ πάντα ἔδωκεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου». Καὶ μεθ' ἕτερα πάλιν· «Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ*

24. Ἐφ. 1,17–25.

στήνει ἐπάνω στὴ γῆ, ἄλλον ἄγγελο, προσκυνητὴ μικτὸ» καὶ τὰ ἑξῆς. Στὸ λόγο του πάλι Στὰ Φῶτα, γράφει· «Κι ἐπειδὴ αὐτὰ ἢ τοῦτο εἶναι ἔτσι, ἔπρεπε ἡ προσκύνηση νὰ μὴν περιοριστεῖ μόνο στὰ ἄνω, ἀλλὰ νὰ ὑπάρχουν καὶ κάτω μερικοὶ προσκυνητές, γιὰ νὰ γεμίσουν τὰ πάντα ἀπὸ τὴ δόξα τοῦ Θεοῦ, ἀφοῦ εἶναι καὶ τοῦ Θεοῦ· καὶ γι' αὐτὸ δημιουργήθηκε ὁ ἄνθρωπος τιμημένος μὲ τὸ χέρι καὶ τὴν εἰκόνα τοῦ Θεοῦ». Νομίζω ὅτι αὐτὰ ἀρκοῦν, κι ἂς εἶναι λίγα, γιὰ ὅποιον δὲν κατέχεται ἀπὸ ἐριστικὴ διάθεση καὶ δὲ θεωρεῖ δόξα μόνο τὸ νὰ μάχεται κανένας, γιὰ νὰ παρουσιάσω ὅλη τὴ σκέψη τοῦ δασκάλου γιὰ ὅσα εἰπώθηκαν. Ἂν πολεμᾶ ὅμως τὸ πῶς ὁ δάσκαλος μᾶς ἀποκάλεσε μοίρα τοῦ Θεοῦ, μὲ πολλοὺς τρόπους πιὸ πάνω ἔχει ἐξηγηθεῖ ἤδη ὁ λόγος γι' αὐτό.

Γιὰ νὰ γίνει ὅμως πιὸ ἀξιόπιστος στηριζόμενος στοὺς λόγους τοῦ Πνεύματος, ὁ ἅγιος καὶ μακάριος ἀπόστολος Παῦλος, αὐτὸς ποὺ συγκέντρωσε τὴν κρυμμένη μέσα στὸ Θεὸ πρὶν ἀπὸ τοὺς αἰῶνες σοφία καὶ ποὺ καταφώτισε ὅλο τὸν ἀφεγγὴ βίο τῶν ἀνθρώπων κι ἔδιωξε ἀπὸ τὶς ψυχὲς τῶν ἀνθρώπων τὸ ζόφο τῆς ἄγνοιας, θὰ ἐπαρκέσουν τὰ ὅσα εἶπε στοὺς Ἐφεσίους ποὺ εἶναι τὰ ἑξῆς· «Γιὰ νὰ δώσει σ' ἐσᾶς ὁ Θεὸς τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁ Πατέρας τῆς δόξας, Πνεῦμα σοφίας κι ἀποκαλύψεως, ὥστε νὰ τὸν γνωρίσετε καλά, ἔχοντας φωτισμένα τὰ μάτια τῆς καρδιᾶς σας, καὶ γιὰ νὰ μάθετε σὲ ποιά ἀγαθὰ ἐλπίζομε ὅτι μᾶς κάλεσε καὶ ποιός εἶναι ὁ πλοῦτος τῆς δόξας ποὺ κληρονόμησε στοὺς ἁγίους καὶ ποιό τὸ ὑπέρμετρο μεγαλεῖο τῆς δύναμής του πρὸς ἐμᾶς ποὺ πιστεύομε, ὅπως ἔκανε νὰ ἐκδηλωθεῖ ἡ δύναμη τῆς ἐξουσίας του ἐνεργώντας την στὸ Χριστό, σηκώνοντάς τον ἀπὸ τοὺς νεκροὺς καὶ καθίζοντάς τον στὰ δεξιά του στὸν οὐρανό, πάνω ἀπὸ κάθε ἀρχὴ καὶ ἐξουσία καὶ δύναμη καὶ κυριότητα καὶ κάθε ὄνομα ποὺ λέμε ὄχι μονάχα στὴ ζωὴ αὐτὴ ἀλλὰ καὶ στὴ μελλοντική, καὶ ὅλα τοῦ τὰ ἔβαλε κάτω ἀπὸ τὰ πόδια του καὶ τὸν ἔδωσε πάνω ἀπὸ ὅλα κεφαλὴ στὴν Ἐκκλησία, ποὺ εἶναι τὸ σῶμα του, τὸ συμπλήρωμα ἐκείνου ποὺ ἀναπληρωνει τὰ πάντα σὲ ὅλες τὶς ἀνάγκες τους»[24]. Καὶ πάλι ὕστερ' ἀπὸ ἄλλα· «Κι ἐκεῖνος ἔδωσε νὰ εἶναι ἄλλοι ἀπόστολοι, ἄλλοι προφῆτες, ἄλλοι

*εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσομεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ, πρὸς τὴν μεθοδείαν τῆς πλάνης, ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλὴ ὁ Χριστός, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ πάσης ἀφῆς τῆς ἐπιχορηγίας κατ' ἐνέργειαν ἑνὸς ἑκάστου μέλους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ».*

*Οὐκ, οἶμαι, λοιπὸν ἄλλης ἐπιδεῖσθαι μαρτυρίας τὸν εὐσεβεῖν ἐγνωκότα πρὸς φανέρωσιν τῆς κατὰ Χριστιανοὺς ἀληθῶς πεπιστευμένης ἀληθείας, σαφῶς μαθόντες δι' αὐτῆς «ὅτι καὶ μέλη καὶ σῶμα καὶ πλήρωμά ἐσμεν τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου Χριστοῦ τοῦ Θεοῦ, κατὰ τὸν πρὸ τῶν αἰώνων ἐν τῷ Θεῷ καὶ Πατρὶ ἀποκεκρυμμένον σκοπὸν ἀνακεφαλαιούμενοι εἰς αὐτὸν διὰ τοῦ Υἱοῦ αὐτοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν». Τὸ γὰρ μυστήριον τὸ ἀποκεκρυμμένον μὲν ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νῦν δὲ φανερωθὲν διὰ τῆς τοῦ Υἱοῦ καὶ Θεοῦ ἀληθινῆς καὶ τελείας ἐνανθρωπήσεως, τοῦ ἑνώσαντος ἑαυτῷ καθ' ὑπόστασιν ἀδιαιρέτως τε καὶ ἀσυγχύτως τὴν ἡμετέραν φύσιν, καὶ ἡμᾶς διὰ τῆς ἐξ ἡμῶν καὶ ἡμετέρας νοερῶς τε καὶ λογικῶς ἐψυχωμένης ἁγίας αὐτοῦ σαρκός, ὥσπερ δι' ἀπαρχῆς ἑαυτῷ συμπηξαμένου, καὶ ἓν καὶ ταὐτὸν ἑαυτῷ εἶναι κατὰ τὴν αὐτοῦ ἀνθρωπότητα καταξιώσαντος, καθὼς προωρίσθημεν πρὸ τῶν αἰώνων ἐν αὐτῷ εἶναι ὡς μέλη τοῦ σώματος αὐτοῦ, ψυχῆς τρόπον πρὸς σῶμα ἐν πνεύματι συναρμολογοῦντος ἑαυτῷ καὶ συμβιβάζοντος, καὶ εἰς μέτρον ἄγοντος ἡλικίας πνευματικῆς τοῦ κατ' αὐτὸν πληρώματος, ἔδει-*

25. Ἐφ. 4,11–16. 26. Ἐφ. 4,23. 27. Ἐφ. 4,9.

εὐαγγελιστές, ἄλλοι ποιμένες καὶ δάσκαλοι, γιὰ νὰ καταρτίζουν τοὺς πιστοὺς στὸ ἔργο τῆς διακονίας, γιὰ νὰ οἰκοδομηθεῖ τὸ σῶμα τοῦ Χριστοῦ, ὥσπου νὰ καταλήξομε ὅλοι στὴν ἑνότητα ποὺ δίνει ἡ πίστη καὶ ἡ ἐπίγνωση τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ νὰ φτάσομε στὴν ἀνδρικὴ τελειότητα ποὺ μέτρο της εἶναι ὁ Χριστός. Ἔτσι δὲ θὰ εἴμαστε καθὼς νήπια ποὺ θαλασσοδερνόμαστε καὶ μᾶς σπρώχνει ἐδῶ κι ἐκεῖ ὁ ἄνεμος κάθε διδασκαλίας στὴν κακία τῶν ἀνθρώπων, στὴν πανουργία τους, στὶς μεθοδεύσεις τῆς πλάνης. Ἀλλὰ παραμένοντας στὴν ἀληθινὴ πίστη μὲ ἀγάπη, ἂς προσπαθήσομε νὰ φτάσομε σὲ ὅλα αὐτὰ τὸ Χριστό, ποὺ εἶναι ἡ κεφαλή μας, ἀπὸ τὸν ὁποῖο συναρμολογημένο ὅλο τὸ σῶμα καὶ συντονισμένο μὲ κάθε ἀπὸ μέρους ἐκείνου χορηγία ἀνάλογα μὲ τὸ μέτρο τῆς ἐνέργειας καθενὸς μέλους πραγματοποιεῖ τὴν αὔξηση τοῦ σώματος γιὰ τὴν οἰκοδομή του μὲ ἀγάπη»[25].

Δὲ νομίζω λοιπὸν ὅτι χρειάζεται ἄλλη μαρτυρία ὅποιος ἔχει ἀποφασίσει νὰ ζεῖ μ' εὐσέβεια, γιὰ νὰ φανερωθεῖ ἡ ἀλήθεια ποὺ πιστεύουν οἱ ἀληθινοὶ Χριστιανοί, ἐπειδὴ ἔχουν μάθει ἀπὸ αὐτὴν μὲ σαφήνεια ὅτι «εἴμαστε καὶ μέλη καὶ σῶμα καὶ πλήρωμα τοῦ Χριστοῦ τοῦ Θεοῦ ποὺ γεμίζει πλήρως τὰ πάντα μὲ τὰ πάντα»[26] «σύμφωνα μὲ τὸ σκοπὸ τὸν κρυμμένο πρὶν ἀπὸ τοὺς αἰῶνες μέσα στὸ Θεὸ καὶ Πατέρα, περιλαμβανόμενοι σ' αὐτὸν μέσω τοῦ Υἱοῦ του καὶ Κυρίου Ἰησοῦ τοῦ Θεοῦ μας»[27]. Γιατὶ τὸ μυστήριο τὸ κρυμμένο ἀπὸ τοὺς αἰῶνες καὶ ἀπὸ τὶς γενεὲς καὶ ποὺ τώρα φανερώθηκε μὲ τὴν ἀληθινὴ καὶ τέλεια ἐνανθρώπηση τοῦ Υἱοῦ καὶ Θεοῦ, ποὺ ἕνωσε μὲ τὸν ἑαυτό του ἀδιαίρετα ἀλλὰ καὶ ἀσύγχυτα τὴ φύση μας κι ἐμὰς μὲ τὴν ἁγία του σάρκα ποὺ πῆρε ἀπὸ ἐμᾶς κι εἶναι δική μας ἐμψυχωμένη μὲ νοῦ καὶ λογική, ποὺ τὴ συνέδεσε μὲ τὸν ἑαυτό του σὰν μιὰ καινούργια ἀρχὴ καὶ τὴν ἀξίωσε νὰ γίνει ἕνα καὶ τὸ αὐτὸ μαζί του κατὰ τὴν ἀνθρωπότητά του, ἔτσι ὅπως εἴχαμε προορισθεῖ πρὶν ἀπὸ τοὺς αἰῶνες νὰ εἴμαστε μέσα σ' αὐτὸν ὡς μέλη τοῦ σώματός του ποὺ μᾶς συναρμολογεῖ μὲ τὸν ἑαυτό του πνευματικά, καὶ μᾶς συναρμονίζει ὅπως ἡ ψυχὴ τὸ σῶμα, καὶ ποὺ μᾶς ὁδηγεῖ στὸ μέτρο τῆς πνευματικῆς ὡριμότητας τοῦ πληρώματός του, καὶ ἔτσι μᾶς ἔδειξε κι ἐμᾶς ὅτι

*ξε καὶ ἡμᾶς ἐπὶ τούτῳ γεγενῆσθαι, καὶ τὸν πρὸ τῶν αἰώνων περὶ ἡμᾶς παντάγαθον τοῦ Θεοῦ σκοπόν, μὴ δεξάμενον καθ' ὁτιοῦν καινισμὸν κατὰ τὸν ἴδιον λόγον, εἰς πληρωσιν δὲ ἐλθόντα, δι' ἄλλου δηλαδὴ ἐπεισαχθέντος καινοτέρου τρόπου.*

*Ἔδει γὰρ τοῦ μὲν Θεοῦ ἑαυτῷ ὁμοίους ἡμᾶς ποιήσαντος (τῷ ἔχειν τῆς αὐτοῦ ἀγαθότητος μεθεκτῶς ἀκριβῆ γνωρίσματα, καὶ ἐν αὐτῷ εἶναι πρὸ τῶν αἰώνων σκοπήσαντος, καὶ τὸν εἰς τοῦτο τὸ παμμακάριστον ἄγοντα τέλος, δόντος ἡμῖν τρόπον διὰ τῆς τῶν φυσικῶν δυνάμεων εὐχρηστίας, τοῦ δὲ ἀνθρώπου ἑκουσίως τοῦτον παρωσαμένου τὸν τρόπον τῇ παραχρήσει τῶν φυσικῶν δυνάμεων), ἵνα μὴ πόρρω τοῦ Θεοῦ γένηται ξενωθεὶς ὁ ἄνθρωπος, ἄλλον ἀντεισαχθῆναι τοῦ προτέρου παραδοξότερόν τε καὶ θεοπρεπέστερον, ὅσον τοῦ κατὰ φύσιν ἐστὶ τὸ ὑπὲρ φύσιν ἀνώτερον. Καὶ τοῦτό ἐστι τῆς πρὸς ἀνθρώπους τοῦ Θεοῦ μυστικωτάτης ἐπιδημίας, ὡς πάντες πιστεύομεν, τὸ μυστήριον. «Εἰ γάρ», φησὶν ὁ θεῖος Ἀπόστολος, «ἡ πρώτη διαθήκη ἔμεινεν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος». Καὶ γὰρ πᾶσι κατάδηλόν ἐστιν, ὡς τὸ ἐν Χριστῷ γενόμενον ἐπὶ τέλει τοῦ αἰῶνος μυστήριον ἀναμφιβόλως τοῦ ἐν ἀρχῇ τοῦ αἰῶνος ἐν τῷ προπάτορι παρεθέντος ἀπόδειξις καὶ ἀποπλήρωσίς ἐστιν.*

*Ἆρ' οὖν χρησίμως εἴρηται τῷ διδασκάλῳ ἡ τῆς μοίρας φωνή, κατὰ τοὺς ἀποδοθέντας τρόπους, καὶ πᾶς εὐγενὴς καὶ ψυχὴν καὶ τρόπον δέξαιτο ἂν οὕτω λεγομένην τὴν φωνήν, μηδεμίαν ἑαυτῷ κυβείαν λογισμῶν παραγεννῶν, εἰδὼς ταὐτὸν εἶναι τῷ μέλει τὴν μοῖραν ἐν τοῖς τοιούτοις. Εἰ γὰρ μέρος τοῦ σώματος ὑπάρχει τὸ μέλος, τὸ δὲ μέλος ταὐτόν ἐστι τῇ μοίρᾳ, ταὐτὸν ἄρα τὸ μέλος τῇ μοίρᾳ ἔσται. Εἰ δὲ ταὐτὸν τῷ μέλει ἐστὶν ἡ μοῖρα, μελῶν δὲ ἀθροισμὸς καὶ σύνθεσις σῶμα ποιεῖ ὀργανικόν, σῶμα δὲ ὀργανικὸν ψυχῇ ἑνωθὲν νοερᾷ ἄνθρωπον τέλειον δείκνυσιν, ἄρα μέρος ἀνθρώπου ὁ λέγων εἶναι τὴν ψυχὴν ἢ τὸ σῶμα ἢ μέλος αὐτοῦ τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. Εἰ δὲ τῆς νοερᾶς ψυχῆς ὡς ἀνθρώπου ὑπάρχει τὸ σῶμα ὀργα-*

28. Ἑβρ. 3,7.

γι' αὐτὸ εἴχαμε γεννηθεῖ, καθὼς καὶ τὸν πρὶν ἀπὸ τοὺς αἰῶνες πανάγαθο γιὰ μᾶς σκοπὸ τοῦ Θεοῦ, ποὺ δὲν δέχθηκε τὴν παραμικρὴ ἀνακαίνιση τῆς οὐσίας του, ἀλλὰ πραγματοποιήθηκε ὁλοφάνερα μὲ τὴ χρησιμοποίηση ἑνὸς ἄλλου καινότερου τρόπου.

Γιατὶ ἔπρεπε, ἀφοῦ ὁ Θεὸς μᾶς ἔκανε ὅμοιους μὲ τὸν ἑαυτό του (μὲ τὸ νὰ ἔχομε κατὰ μετοχὴ ἀκριβὴ γνωρίσματα τῆς ἀγαθότητάς του καὶ μὲ τὸ ν' ἔχει προσβλέψει πρὶν ἀπὸ τοὺς αἰῶνες νὰ εἴμαστε μέσα σ' αὐτὸν καὶ μὲ τὸ νὰ μᾶς δώσει τὸν τρόπο ποὺ ὁδηγεῖ σ' αὐτὸ τὸ παμμακάριστο τέλος μὲ τὴν καλὴ χρήση τῶν φυσικῶν δυνάμεων), γιὰ νὰ μὴν ἀπομακρυνθεῖ ὁ ἄνθρωπος κι ἀποξενωθεῖ ἀπὸ τὸ Θεὸ ἔπρεπε νὰ εἰσαχθεῖ στὴ θέση τοῦ προηγούμενου ἕνας τρόπος πιὸ παράδοξος καὶ θεοπρεπέστερος καὶ τόσο, ὅσο τὸ ὑπερφυσικὸ εἶναι ἀνώτερο ἀπὸ τὸ φυσικό. Καὶ αὐτὸ εἶναι τὸ μυστήριο τῆς ὁλόκρυφης ἐπιδημίας τοῦ Θεοῦ στοὺς ἀνθρώπους, ὅπως πιστεύομε ὅλοι. Γιατὶ λέει ὁ θεῖος Ἀπόστολος· «ἂν ἔμενε ἡ πρώτη Διαθήκη ἄμεμπτη, δὲ θὰ χρειαζόταν ν' ἀντικατασταθεῖ μὲ τὴ δεύτερη»[28]. Γιατὶ εἶναι ὁλοφάνερο σ' ὅλους, ὅτι τὸ μυστήριο ποὺ τελέστηκε στὸ Χριστὸ στὸ τέλος τοῦ αἰώνα ἀποτελεῖ ἀναμφίβολη ἀπόδειξη καὶ ἐκπλήρωση τοῦ μυστηρίου ποὺ παραλείφθηκε στὸν προπάτορα στὴν ἀρχὴ τοῦ αἰώνα.

Ἄρα λοιπόν, σύμφωνα μὲ τὴν ἐξήγηση ποὺ δώσαμε, ὀρθὰ χρησιμοποίησε ὁ δάσκαλος τὴ λέξη 'μοίρα', καὶ κάθε ἄνθρωπος μ' εὐγενὴ ψυχὴ καὶ τρόπο θὰ δεχόταν νὰ πεῖ μ' αὐτὸ τὸ νόημα τὴ λέξη, χωρὶς νὰ προκαλεῖ στὸν ἑαυτό του καμμιὰ συλλογιστικὴ ἀπάτη, γνωρίζοντας ὅτι σ' αὐτὴν τὴν περίπτωση ἡ μοίρα εἶναι ταυτόσημη μὲ τὸ μέλος. Γιατί, ἂν τὸ μέλος εἶναι ἕνα μέρος τοῦ σώματος καὶ τὸ μέρος εἶναι ἴδιο μὲ τὴ μοίρα, ἄρα τὸ μέλος εἶναι ἴδιο μὲ τὴ μοίρα. Κι ἂν ἡ μοίρα εἶναι ἴδια μὲ τὸ μέλος καὶ τὸ ἄρθοισμα καὶ ἡ σύνθεση τῶν μελῶν ἀποτελεῖ τὸ ὀργανικὸ σῶμα, καὶ τὸ ὀργανικὸ σῶμα ἂν ἑνωθεῖ μὲ νοερὴ ψυχὴ ἀποτελεῖ τὸν τέλειο ἄνθρωπο, ἄρα ὁποιος λέει ὅτι ἡ ψυχὴ ἢ τὸ σῶμα εἶναι μέρος ἢ μέλος τοῦ ἀνθρώπου δὲ θὰ κάνει λάθος. Κι ἂν τὸ σῶμα εἶναι ὄργανο τῆς νοερῆς ψυχῆς τοῦ ἀνθρώπου καὶ ἡ ψυχὴ εἰσχωρώ-

*νον, δι' ὅλου δὲ τοῦ σώματος ὅλη χωροῦσα ἡ ψυχὴ τὸ ζῆν αὐτῷ καὶ κινεῖσθαι δίδωσιν, ὡς ἁπλῆ τὴν φύσιν καὶ ἀσώματος, μὴ συνδιατεμνομένη ἢ συναποκλειομένη αὐτῷ, ἀλλ' ὅλῳ καὶ ἑκάστῳ τῶν αὐτοῦ μελῶν, ὡς πέφυκεν αὐτὴν ὑποδέχεσθαι κατὰ τὴν φυσικῶς ὑποκειμένην αὐτῷ δεκτικὴν τῆς ἐνεργείας αὐτῆς δύναμιν, ὅλη παροῦσα τὰ διαφόρως αὐτῆς δεκτικὰ μέλη ἀναλόγως πρὸς τὴν τοῦ ἓν εἶναι σῶμα συντήρησιν ἐπισφίγγει, ὁδηγείσθω ἐπὶ τὸ μέγα καὶ ἄρρητον τῆς τῶν Χριστιανῶν μακαρίας ἐλπίδος μυστήριον, ἐκ τῶν μικρῶν καὶ καθ' ἡμᾶς τῶν μεγάλων καὶ ὑπὲρ ἡμᾶς οὐκ ἀγεννῆ λαβὼν τὰ εἰκάσματα, ὅστις ἀπαγῆ καὶ εὐκράδαντον περὶ τούτων ἔτι τὴν διάνοιαν κέκτηται. Καὶ τὴν περὶ τοῦ προϋπάρχειν τῶν σωμάτων τὰς ψυχὰς οὐκ εὔλογον δόξαν ἀφείς, μεθ' ἡμῶν πιστεύσει τῷ Κυρίῳ λέγοντι περὶ τῶν εἰς τὴν ἀνάστασιν ἐγειρομένων μὴ δύνασθαι ἀποθνῄσκειν, διὰ τὴν αὐτοῦ δηλαδὴ καθαρωτέραν ἐσχάτου ὀρεκτοῦ φανέρωσίν τε καὶ μετουσίαν. Καὶ πάλιν, «πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα». Ὅπερ εἰ προεγεγόνει ποτέ, ἀδύνατον ἦν, ὡς προαποδέδεικται, τὸν κατὰ τροπήν τινα οἷον δήποτε δέξασθαι θάνατον.*

*λοις ἀνθρώποις, ὥσπερ θεοειδοῦς τύπου τύπον ἑαυτὸν γενόμενον ἀφθόνως διδοὺς καὶ προτιθέμενος, καὶ δηλοῖ τοῦτο ποιῶν περὶ ὧν εἶδέ τε καὶ ἤκουσε τῷ λαῷ ἐξηγούμενος, καὶ γραφῇ τοῖς μετ' αὐτὸν οἷόν τινα κλῆρον θεόσδοτον παραδιδοὺς τοῦ Θεοῦ τὰ μυστήρια.*

## *ΙΑ'*

***Θεωρία τῆς Ἰησοῦ ἡγεμονίας, καὶ τῆς διαβάσεως τοῦ Ἰορδάνου, καὶ τῆς δευτέρας δι' αὐτοῦ περιτομῆς τοῖς ἐκ πέτρας ξίφεσιν.***

*Οὕτως Ἰησοῦς ὁ Μωσέως διάδοχος, ἵνα τὰ πολλὰ τῶν περὶ αὐτοῦ ἱστορουμένων παραδράμω διὰ τὸ πλῆθος, παραλαβὼν τὸν λαὸν πολλοῖς πρότερον πρὸς εὐσέβειαν παιδευθέντα κατὰ τὴν ἔρημον τρόποις, μετὰ τὴν ἐν τῷ ὄρει· Μωϋσέως τελευτήν, καὶ ξένῳ περιτομῆς εἴδει καθαγνίσας αὐτὸν ταῖς ἐκ πέτρας μαχαίραις, καὶ τὸν Ἰορδάνην ξηρανθέντα τῇ προπομπῇ τῆς θείας κιβωτοῦ τοὺς τοῦ λαοῦ πάντας ἀτεγγεῖς διαβιβάσας, τὸν δι' αὐτοῦ τυπικῶς μηνυόμενον Σωτῆρα Λόγον παρεδήλου, μετὰ τὴν τελευτὴν τοῦ γράμματος τῶν νομικῶν διατάξεων τὴν ἐν τῷ ὕψει τῶν νοημάτων γινομένην τοῦ ἀληθινοῦ Ἰσραὴλ καὶ ὁρῶντος Θεὸν ἡγεμονίαν παραλαβόντα, καὶ παντὸς μὲν ψυχῆς καὶ σώματος μολυσμοῦ τῷ τομωτάτῳ λόγῳ τῆς εἰς αὐτὸν πίστεως περιτέμνοντα, παντὸς δὲ ὀνειδισμοῦ τῶν πρὸς ἁμαρτίαν ἐρεθιζόντων ἐλευθεροῦντα, καὶ τὴν ῥέουσαν τοῦ χρόνου φύσιν καὶ τῶν κινουμένων διαβιβάζοντα πρὸς τὴν τῶν ἀσωμάτων κατάστασιν, τοῖς ὤμοις ἀρετῶν ἐπαιωρουμένην ἔχοντα τὴν δεκτικὴν τῶν θείων μυστηρίων γνῶσιν.*

## *ΙΒ'*

***Θεωρία τῆς Ἰεριχοῦς καὶ τῶν ἑπτὰ περιόδων, καὶ τῆς κιβωτοῦ καὶ τῶν σαλπίγγων καὶ τοῦ ἀναθέματος.***

---

42. Δευτ. 32,49. Ἰησ. Ναυῆ 3,14–17 καὶ 5,2–8. 43. Ἰησ. Ναυῆ 5,1.

εἶχε δεχθεῖ, δίνοντας καὶ προβάλλοντας μὲ ἀφθονία τὸν ἑαυτό του ποὺ ἔγινε τύπος τοῦ θείου τύπου. Καὶ αὐτὸ τὸ δηλώνει, ἐξηγώντας στὸ λαὸ ὅσα εἶδε κι ἄκουσε καὶ παραδίδοντας στοὺς ἔπειτ' ἀπ' αὐτὸν μὲ τὴ συγγραφή του τὰ μυστήρια τοῦ Θεοῦ σὰν μιὰ θεοδώρητη κληρονομία.

## 11

### Ἑρμηνεία τῆς ἡγεμονίας τοῦ Ἰησοῦ καὶ τοῦ περάσματος τοῦ Ἰορδάνη καὶ τῆς δεύτερης περιτομῆς ποὺ ὅρισε μὲ τὰ πέτρινα ξίφη[42].

Ἔτσι ὁ Ἰησοῦς, ὁ διάδοχος τοῦ Μωυσῆ, γιὰ ν' ἀφήσω ἐξαιτίας τοῦ πλήθους τους τὰ πολλὰ ἀπὸ ὅσα ἱστοροῦνται γι' αὐτόν, ἀναλαμβάνοντας τὸ λαό του ποὺ εἶχε στὴν ἔρημο παιδευθεῖ μὲ πολλοὺς τρόπους στὴν εὐσέβεια, μετὰ τὸ τέλος τοῦ Μωυσῆ στὸ ὄρος, κι ἀφοῦ τὸν ἐξάγνισε μὲ παράδοξο τρόπο περιτομῆς μὲ τὰ πέτρινα μαχαίρια, μετέφερε ὅλο τὸ λαό του χωρὶς νὰ βρέξουν τὰ πόδια τους, ἀφοῦ ἀποξήρανε πρῶτα τὸν Ἰορδάνη μὲ τὴν προπομπὴ τῆς θείας κιβωτοῦ, ὑποδηλώνοντας μὲ τὸ παράδειγμά του τὸ Σωτήριο Λόγο ποὺ προμήνυε, ποὺ μετὰ τὴν ἐκπνοὴ τοῦ γράμματος τῶν νομικῶν διατάξεων παρέλαβε τὴν στὸ ὕψος τῶν νοημάτων ἐκδηλούμενη ἡγεμονία τοῦ ἀληθινοῦ Ἰσραὴλ καὶ ποὺ ἔβλεπε τὸ Θεό, κι ἔκανε περιτομὴ μὲ τὸν πολὺ κοφτερὸ λόγο τῆς πίστης του σ' αὐτὸν σὲ κάθε μολυσμὸ τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ ἐλευθερώνοντας ἀπὸ κάθε ὀνειδισμὸ ἐκείνων ποὺ τὸν ἐξωθοῦσαν στὴν ἁμαρτία, μετέφερε τὴ ρέουσα φύση τοῦ χρόνου καὶ ὅσων κινοῦνται στὴν κατάσταση τῶν ἀσωμάτων, ἔχοντας στοὺς ὤμους τῶν ἀρετῶν νὰ αἰωρεῖται τὴ γνώση ποὺ εἶναι δεκτικὴ τῶν θείων μυστηρίων.

## 12

### **Ἑρμηνεία τῆς Ἰεριχοῦς καὶ τῶν ἑπτὰ περιόδων, τῆς κιβωτοῦ, τῶν σαλπίγγων καὶ τοῦ ἀναθέματος[43].**

*Οὕτω πάλιν περιόδοις ἑπτὰ καὶ σάλπιγξι τοσαύταις σὺν ἀλαλαγμῷ μυστικῷ τὴν δυσάλωτον ἢ καὶ ἀνάλωτον εἶναι δόξασαν πόλιν Ἱεριχὼ κατασείσας τὸν αὐτὸν τοῦ Θεοῦ Λόγον μυστικῶς ἐνέφαινεν ὡς νικητὴν τοῦ κόσμου καὶ συντελεστὴν τοῦ αἰῶνος, νῷ καὶ λόγῳ, ἤτοι γνώσει καὶ ἀρετῇ. Ὧν ἡ κιβωτὸς καὶ αἱ σάλπιγγες τύπος ὑπῆρχον τοῖς ἑπομένοις αὐτῷ τὸν αἰσθητὸν αἰῶνα εὐάλωτον δεικνύοντα καὶ εὐκαθαίρετον καὶ μηδὲν τῶν ἐν αὐτῷ πρὸς ἀπόλαυσιν ἐπιτήδειον τοῖς τῶν θείων ἐρασταῖς ἀγαθῶν, ὡς θανάτῳ καὶ φθορᾷ συνημμένον καὶ θείας ἀγανακτήσεως αἴτιον. Καὶ δηλοῖ Ἄχαρ ὁ τοῦ Χαρμί, ὅπερ ἐστὶν ὁ ταραχώδης καὶ φιλόϋλος λογισμὸς ὑπὲρ τοῦ εἰσοικίσασθαί τι τῶν αἰσθητῶν, τὸν οἴκτιστον ἐκεῖνον κατὰ θείαν ψῆφον ἀπενεγκάμενος θάνατον, ὃν ἐργάζεται λόγος τῷ βάθει τῆς πονηρᾶς συνειδήσεως ἐναποπνίγων τὸν οὕτω τιμωρηθῆναι ἄξιον.*

## *ΙΓ'*

### *Θεωρία Τύρου καὶ τοῦ αὐτῆς βασιλέως, καὶ τῆς ἁλώσεως αὐτῆς.*

*Οὕτω πάλιν, καθὼς γέγραπται, «ἐν τῷ καιρῷ ἐκείνῳ καταλαβόμενος τὴν Ἀσσώρ, καὶ τὸν βασιλέα αὐτῆς ἀποκτείνας ἐν ρομφαίᾳ, καὶ πᾶν ἐμπνέον ἐξολοθρεύσας ἐν αὐτῇ, ἥτις ἦν πρότερον ἄρχουσα πασῶν τῶν χωρῶν», ἐδιδάσκετο, ὧν μυστηρίων τύπος προβέβλητο τοὺς λόγους, ὅτι ὁ ἀληθινὸς Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ τῶν πονηρῶν καθαιρέτης δυνάμεων, καὶ κληροδότης τῶν ἀξίων τῆς χάριτος, κατὰ τὸν καιρὸν τῆς αὐτοῦ ἐνανθρωπήσεως διὰ σταυροῦ καταλαβόμενος τὴν ἁμαρτίαν καὶ τὸν βασιλέα αὐτῆς τὸν διάβολον (ἦρχε γὰρ πάντων ποτὲ βασιλεύουσα ἡ ἁμαρτία) ἀπέκτεινε τῷ ρήματι τῆς δυνάμεως αὐτοῦ, καὶ ἐξωλόθρευσεν αὐτῆς πᾶν ἐμ-*

44. Ἡ Ἰεριχὼ ταυτίζεται μὲ τὸν κόσμο.
45. Ἰησ. Ναυῆ 7,18.

Ἔτσι πάλι σὲ ἑπτὰ περιόδους καὶ μὲ τόσες σάλπιγγες καὶ μὲ ἀλαλαγμὸ μυστικό, ἀφοῦ συγκλόνισε τὴν πόλη Ἱεριχὼ ποὺ πίστεψαν ὅτι ἦταν δύσκολο ἢ καὶ ἀδύνατο νὰ κυριευθεῖ, φανέρωνε μὲ τρόπο μυστικὸ τὸν ἴδιο τὸ Λόγο τοῦ Θεοῦ ὡς νικητὴ τοῦ κόσμου[44], ποὺ ἔφερε τὴ συντέλεια τοῦ αἰώνα μὲ νοῦ καὶ λόγο, δηλαδὴ μὲ γνώση καὶ ἀρετή. Αὐτῶν τύπος ἦταν ἡ κιβωτὸς καὶ οἱ σάλπιγγες κι ἔδειχναν σ' ὅσους τὸν ἀκολουθοῦσαν ὅτι ἡ αἰσθητὴ ζωὴ ἦταν εὐάλωτη καὶ μποροῦσε εὔκολα νὰ καθαιρεθεῖ καὶ δὲν ἦταν κανένα ἀπὸ τὰ ἀγαθά της ἐπιτήδειο γιὰ τὴν ἀπόλαυση τῶν ἐραστῶν τῶν θείων ἀγαθῶν, ἐπειδὴ ἦταν δεμένο μὲ τὸ θάνατο καὶ τὴ φθορὰ καὶ ἦταν αἰτία τῆς θείας ἀγανάκτησης. Καὶ τὸ φανερώνει ὁ Ἄχαρ, ὁ γιὸς τοῦ Χαρμί[45], ποὺ εἶναι ὁ ταραγμένος καὶ φιλόυλος λογισμὸς νὰ οἰκειωθοῦμε κάτι ἀπὸ τὰ αἰσθητά, ποὺ ἔλαβε μὲ τὴ θεία ἀπόφαση τὸν θλιβερότατο ἐκεῖνο θάνατο, ποὺ τὸν προκαλεῖ ἕνας λόγος στὸ βάθος τῆς πονηρῆς συνείδησης, ἀποπνίγοντας αὐτὸν ποὺ τοῦ ἀξίζει τόσο νὰ τιμωρηθεῖ.

## 13

Ἑρμηνεία τῆς Τύρου, τοῦ βασιλιᾶ της καὶ τῆς ἅλωσής της.

Ἔτσι πάλι διδασκόταν ἀπὸ αὐτὸ ποὺ ἔχει γραφεῖ, «τὴν ἐποχὴ ἐκείνη, ἀφοῦ κυρίεψε τὴν Ἀσσώρ, θανάτωσε μὲ τὸ ξίφος τὸ βασιλιά της καὶ ἐξολόθρευσε κάθε ζωντανὸ μέσα σ' αὐτήν, ποὺ προηγουμένως κυριαρχοῦσε σ' ὅλες τὶς χῶρες»[46], ποιῶν μυστηρίων σύμβολα εἶχε προβάλει καὶ λόγους, ὅτι δηλαδὴ ὁ ἀληθινὸς Σωτήρας μας Ἰησοῦς Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ καθαιρέτης τῶν πονηρῶν δυνάμεων καὶ κληροδότης τῶν ἄξιων τῆς χάριτος, κατὰ τὸν καιρὸ τῆς ἐνανθρώπησής του, ἀφοῦ κυρίεψε μέσω τοῦ σταυροῦ τὴν ἁμαρτία καὶ τὸν βασιλιά της τὸ διάβολο (γιατὶ ἡ ἁμαρτία βασίλευε κάποτε καὶ ἐξουσίαζε τοὺς πάντες), τὸν θανάτωσε μὲ τὸ λόγο τῆς δύναμής του καὶ ἐξολόθρεψε κάθε ζωντανὸ ποὺ εἶχε, δηλαδὴ τὰ μέσα μας πάθη καὶ τὶς αἰσχρὲς καὶ πονηρὲς

46. Ἰησ. Ναυῆ 11,10.

*πνέον, τουτέστι τὰ πάθη τὰ ἐν ἡμῖν, καὶ τὰ ἐπ' αὐτοῖς αἰσχρὰ καὶ πονηρὰ ἐνθυμήματα, ἵνα μηδὲ τὸ ὁπωσοῦν ἐν τοῖς τοῦ Χριστοῦ καὶ κατὰ Χριστὸν ζῶσιν ἐμπνέοντος δίκην καθ' ὁτιοῦν ἔχῃ λοιπὸν τὸ κινεῖσθαι καὶ ζῆν ἡ ἁμαρτία.*

### *ΙΔ'*

### *Θεωρία εἰς τό,*
### *«Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ».*

*Οὕτω Δαβὶδ ὁ μετ' ἐκείνους μὲν τῷ χρόνῳ, κατ' ἐκείνους δὲ τῷ πνεύματι, ἵνα τοὺς Κριτὰς παραδράμω πολλὰ ἔχοντας ἐν τῷ βίῳ μυστήρια, τὴν δόξαν τοῦ Θεοῦ διηγουμένων τῶν οὐρανῶν ἀκούων καὶ τὴν ποίησιν τῶν χειρῶν αὐτοῦ ἀναγγέλλοντος τοῦ στερεώματος (τὸ θαυμάσιον, οἷς ψυχὴν ὁ Δημιουργὸς οὐκ ἐνέθηκε), τοὺς περὶ θεολογίας νοὸς ἀκοαῖς παρὰ τῶν ἀψύχων ὑπεδέχετο λόγους καὶ τοὺς τῆς προνοίας καὶ κρίσεως ἐξ ἀποτελέσματος, κατὰ τὸ ἀνθρώποις ἐφικτόν, ἐδιδάσκετο τρόπους, τῶν, οἷς δηλονότι κατὰ μέρος ποικίλλεται ἡ τοῦ παντὸς διεξαγωγή, οὐκ ἐφικνούμενος λόγων.*

### *ΙΕ'*

### *Θεωρία εἰς τό·*
### *«Ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με».*

*Οὕτω πάλιν·«ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπον με, ὁ δὲ Κύριος προσελάβετό με», φάσκων τὴν τοῦ κατὰ φύσιν τῆς σαρκὸς περὶ γένεσιν καὶ φθορὰν νόμου, καθ' ὃν πάντες διὰ τὴν παράβασιν καὶ γεννώμεθα καὶ συνιστάμεθα, καὶ τῆς τιθηνούσης ἡμᾶς μητρὸς δίκην αἰσθήσεως ἀπόλειψίν τε καὶ ἀποφυ-*

---

47. Ψαλμ. 18,1. 48. Ψαλμ. 26,10.
49. Ψαλμ. 26,10.

σκέψεις ποὺ προκαλοῦν, ὥστε στὸ ἑξῆς ἡ ἁμαρτία νὰ μὴ ἔχει οὔτε τὸ παραμικρὸ μέσα σὲ ὅσους ὁμολογοῦν τὸ Χριστὸ καὶ ζοῦνε σύμφωνα μὲ τὸ Χριστό, ποὺ νὰ μπορεῖ, σὰ νὰ εἶναι ζωντανό, νὰ κινηθεῖ καὶ νὰ ζήσει.

## 14

### Ἑρμηνεία τοῦ χωρίου «οἱ οὐρανοὶ διηγοῦνται τὴ δόξα τοῦ Θεοῦ»[47].

Ἔτσι ὁ Δαβὶδ ὁ ἔπειτ' ἀπὸ ἐκείνους χρονικά, ἀλλὰ συμπορευόμενος μ' ἐκείνους πνευματικά, γιὰ νὰ προσπεράσω τοὺς Κριτὲς ποὺ ἡ ζωή τους ἔχει πολλὰ μυστήρια, ἀκούοντας τοὺς οὐρανοὺς νὰ διηγοῦνται τὴ δόξα τοῦ Θεοῦ καὶ τὸ στερέωμα ν' ἀναγγέλλει τὸ ἔργο τῶν χεριῶν του (ἀκρόαμα θαυμαστό, ἀφοῦ ὁ Δημιουργὸς δὲν ἔθεσε μέσα τους ψυχή), δεχόταν ἀπὸ τὰ ἄψυχα μὲ τὰ αὐτιὰ τοῦ νοῦ του τοὺς λόγους γιὰ τὴ θεολογία καὶ διδασκαλία ἀπὸ τὸ ἀποτέλεσμα, ὅσο εἶναι δυνατὸ στοὺς ἀνθρώπους, καὶ τοὺς τρόπους τῆς πρόνοιας καὶ τῆς κρίσης, ἂν καὶ δὲν κατανοοῦσε τοὺς λόγους ποὺ συντελοῦσαν στὴν ἐπιμέρους διαφοροποίηση τοῦ σύμπαντος.

## 15

### Ἑρμηνεία τοῦ χωρίου «ὁ πατέρας καὶ ἡ μητέρα μου μ' ἐγκατέλειψαν»[48].

Ἔτσι πάλι λέγοντας, «ὁ πατέρας κι ἡ μητέρα μου μ' ἐγκατέλειψαν καὶ μὲ πῆρε κοντά του ὁ Κύριος»[49], μᾶς μίλησε, νομίζω, μυστικὰ γιὰ τὴν ἐγκατάλειψη καὶ τὴν ἀποφυγὴ τοῦ φυσικοῦ νόμου τῆς σάρκας σχετικὰ μὲ τὴ γένεση καὶ τὴ φθορά[50], σύμφωνα μὲ τὸν ὁποῖο ἐξαιτίας τῆς παράβασης γεννιόμαστε καὶ ζοῦμε,

50. Πατέρα καὶ μητέρα θεωρεῖ εἴτε τὸ φυσικὸ νόμο καὶ τὴ φύση, εἴτε τὸ γραπτὸ νόμο καὶ τὴ σωματικὴ λατρεία. Μὲ τὴν ἀποχώρησή τους γίνεται αὐτὸ ποὺ λέει στὸ τέλος τοῦ κεφαλαίου.

*γὴν ἀναγκαίαν εἶναι τοῖς τῶν ἀφθάρτων ἐπιθυμηταῖς ἐπικεκρυμμένως, οἶμαι, διηγόρευε· δι' ὧν ὁ μὲν ὁρώμενος κόσμος ἀφίεται καὶ ἀφίησιν, ὁ δὲ Κύριος προσλαμβάνεται, καὶ τῷ πνευματικῷ υἱοθετῶν νόμῳ τοὺς ἀξίους, καὶ τοῖς ἀξίοις πατροθετούμενος, δι' ἀρετῆς καὶ γνώσεως, ὅλον ἑαυτὸν ὅλοις αὐτοῖς καθ' ὁμοίωσιν, ὡς ἀγαθός, ἐνδίδωσιν. Ἢ τάχα διὰ τοῦ πατρὸς καὶ τῆς μητρὸς τὸν γραπτὸν νόμον καὶ τὴν κατ' αὐτὸν σωματικὴν λατρείαν αἰνίττεται, ὧν τῇ ὑποχωρήσει τὸ φῶς τοῦ πνευματικοῦ νόμου ταῖς καρδίαις τῶν ἀξίων ἀνατέλλειν πέφυκε, καὶ τῆς κατὰ σάρκα δουλείας ἐλευθερίαν χαρίζεσθαι.*

## *ΙΣ'*

### *Θεωρία εἰς τὴν ὀπτασίαν Ἠλίου τὴν ἐν τῷ σπηλαίῳ Χωρήβ.*

*Οὕτως Ἠλίας ὁ περινόητος μετὰ τὸ πῦρ ἐκεῖνο, μετὰ τὸν συσσεισμόν, μετὰ τὸ μέγα καὶ κραταιὸν πνεῦμα τὸ διαλῦον ὄρη, ἃ δὴ ζῆλον καὶ διάκρισιν εἶναι καὶ τὴν ἐν πληροφορίᾳ πρόθυμον πίστιν ὑπολαμβάνω (ἡ μὲν γὰρ διάκρισις, ὥσπερ σεισμὸς τὰ συνεχῆ, τὴν μοχθηρίᾳ πυκνωθεῖσαν ἕξιν διὰ τῆς ἀρετῆς ἐπισείουσα τῆς κακίας ἐξίστησιν, ὁ δὲ ζῆλος πυρὸς δίκην ἀνάπτων τοὺς ἔχοντας τῇ ζέσει τοῦ Πνεύματος παιδεύειν πείθει τοὺς ἀσεβεῖς, ἡ δὲ πίστις, πνεύματος βιαίου τρόπον, δόξης ἕνεκεν Θεοῦ πρὸς καθαίρεσιν ὀχυρωμάτων δι' ἐπιδείξεως θαυμάτων ὠθοῦσα χορηγὸν τὸν ὄντως πιστὸν ἄνθρωπον καθίστησι, καὶ τῷ μὲν τὸν δι' ἀγνοίας λιμὸν θεραπεύουσα, τῷ δὲ τοῖς θύουσι δι' οἰκειότητος τὸν Θεὸν εὐμενίζουσα, καὶ τοὺς τῆς κακίας διδασκάλους λογισμούς τε καὶ δαίμονας λογοσοφίας κτιννῦσα τῆς τῶν παθῶν δουλείας τοὺς κεκρατημένους ἐλευθεροῖ) μετὰ ταῦτα πάντα φωνῆς τῆς ἐν ᾗ ὁ Θεὸς ὑπῆρχε λεπτῆς αὔρας αἰσθό-*

---

51. Γ' Βασ. 19,9.
52. Γ' Βασ. 18,38.

ὅπως καὶ τὴν ἐγκατάλειψη τῆς αἴσθησης ποὺ μᾶς ἀνατρέφει σὰ νὰ εἶναι μητέρα μας, ποὺ εἶναι ἀναγκαία γι' αὐτοὺς ποὺ ἐπιθυμοῦν τὰ ἄφθαρτα. Μὲ αὐτὰ ἀφήνομε τὸ κόσμο τῶν φαινομένων καὶ μᾶς ἀφήνει, καὶ μᾶς παίρνει κοντά του ὁ Κύριος, καὶ υἱοθετώντας τοὺς ἄξιους μὲ τὸν πνευματικὸ νόμο καὶ γινόμενος θετὸς πιὰ πατέρας τῶν ἄξιων μὲ ἀρετὴ καὶ γνώση, παραχωρεῖ μέσα στὴν ἀγαθότητά του ὅλο τὸν ἑαυτό του σὲ ὅλους αὐτοὺς σύμφωνα μὲ τὸ «καθ' ὁμοίωσιν». Ἢ ἴσως μὲ τὸν πατέρα καὶ τὴ μητέρα κάνει ὑπαινιγμὸ γιὰ τὸ γραπτὸ νόμο καὶ τὴ σωματικὴ λατρεία ποὺ προβάλλει, μὲ τὴν ὑποχώρηση τῶν ὁποίων μπορεῖ ν' ἀνατέλλει στὶς καρδιὲς τῶν ἄξιων τὸ φῶς τοῦ πνευματικοῦ νόμου καὶ νὰ χαρίζει ἐλευθερία ἀπὸ τὴ δουλεία στὴ σάρκα.

## 16

### Ἐξήγηση τῆς ὀπτασίας τοῦ Ἠλία στὸ σπήλαιο Χωρήβ[51].

Ἔτσι ὁ Ἠλίας ὁ βαθυστόχαστος ἔπειτα ἀπὸ ἐκείνη τὴ φωτιά, ἔπειτα ἀπὸ τὸ συγκλονισμὸ τῆς γῆς, ἔπειτα ἀπὸ τὸ μεγάλο καὶ δυνατὸ ἄνεμο ποὺ διασκόρπιζε τὰ βουνά[52], ποὺ τὰ θεωρῶ πὼς εἶναι ζῆλος καὶ διάκριση καὶ ἡ ὁλοπρόθυμη πλήρης πίστη (γιατὶ ἡ διάκριση, ὅπως ὁ σεισμὸς τὰ συμπαγή, ἔτσι αὐτή, τὴν ἕξη ποὺ συμπύκνωσε ἡ μοχθηρία κλονίζοντάς την μὲ τὴν ἀρετὴ τὴν ξεθεμελιώνει ἀπὸ τὴν κακία· ὁ ζῆλος πάλι, σὰν φωτιά, ἀνάβοντας ὅποιους τὸν ἔχουν μὲ τὴ θέρμη τοῦ πνεύματος πείθει νὰ παιδαγωγοῦμε τοὺς ἀσεβεῖς· καὶ ἡ πίστη, σὰν βίαιος ἄνεμος, ὠθώντας γιὰ χάρη τῆς δόξας τοῦ Θεοῦ τοὺς ἀπαθεῖς μὲ τὴν ἐπίδειξη θαυμάτων, καθιστὰ τὸν ἀληθινὸ πιστὸ ἄνθρωπο χορηγὸ ὕδατος γνωστικοῦ καὶ φωτιᾶς θεοποιητικῆς· μὲ τὸ ἕνα θεραπεύει τὸ λιμὸ ποὺ προκαλεῖ ἡ ἄγνοια, μὲ τὸ ἄλλο ἐξευμενίζει τὸ Θεὸ σὲ ὅσους προσφέρουν θυσίες καὶ γίνονται οἰκεῖοι του, καὶ νεκρώνοντας τοὺς δασκάλους τῆς κακίας λογισμοὺς καὶ τοὺς δαίμονες τοὺς σοφοὺς στὰ λόγια ἐλευθερώνει τοὺς ὑποχείριούς τους ἀπὸ τὴ δουλεία τῶν παθῶν). Ἔπειτα λοιπὸν ἀπὸ ὅλα αὐτὰ ἀκούοντας τὴ φωνὴ ἀπὸ τὴ λεπτὴ αὔρα ὅπου ἦταν ὁ Θεός, διδα-

*μενος τὴν προφορᾷ λόγου καὶ τρόποις βίου καὶ ἤθεσι θείαν καὶ ἀτάραχον καὶ εἰρηνικὴν καὶ παντελῶς ἄϋλον καὶ ἁπλῆν καὶ παντὸς εἴδους ἐλευθέραν καὶ σχήματος κατάστασιν, λεχθῆναι ἢ δειχθῆναι μὴ δυναμένην, μυστικῶς ἐδιδάσκετο.*

*Ἧς καταπλαγείς τε τὴν δόξαν καὶ τῷ κάλλει τρωθείς, τοῦ ζηλωτὴς εἶναι τὸ πρὸς αὐτὴν εἶναι μᾶλλον ποθήσας, τουτέστι τοῦ ὑπὲρ ἀληθείας μάχεσθαι τὸ μετὰ τῆς ἀληθείας δι' ὅλου γενέσθαι, καὶ μηδὲν ἀντικείμενον ὁρᾶν ἢ γινώσκειν τῷ μόνον τὸν Θεὸν ὅλον δι' ὅλου ἐν πᾶσιν ὄντα ἐπίστασθαι πολλῷ τιμιώτερον κρίνας, ἔτι ὢν ἐν σαρκὶ πρὸς αὐτὴν ὑπάρχων φυλάττεται, θείῳ ἀρετῶν ἅρματι τὴν ὕλην διαπεράσας, ὡς προκάλυμμα τῆς καθαρᾶς τοῦ νοῦ πρὸς τὰ νοητὰ διαβάσεως, καὶ τῆς σαρκὸς τὸ νέφος τὸ ἐπισκοτοῦν τῷ ἡγεμονικῷ τῆς ψυχῆς διὰ τῶν αὐτῆς παθημάτων, ἵνα καὶ αὐτὸς ὧν ἐπόθησεν ἀρρήτων ἀγαθῶν μέτοχος γένηται, ὡς ἐφικτὸν τῷ ἔτι μετὰ σαρκὸς τῆς ὑπὸ φθοράν, καὶ ἡμῖν τάχα τῶν ἐπηγγελμένων βεβαία γένηται πίστωσις. Τοῦτο γὰρ αὐτῷ καὶ ὁ Θεὸς ὑπετίθετο διὰ τῶν οὕτω μυστικῶς δεδραματουργημένων ἀλαλήτως βοῶν, ὅτι παντὸς ἄλλου ἀγαθοῦ τὸ μετὰ Θεοῦ μόνου διὰ τῆς εἰρήνης εἶναι λυσιτελέστερον.*

## *ΙΖ'*

### *Θεωρία εἰς τὸν Ἐλισσαῖον, τὸν αὐτοῦ μαθητήν.*

*Οὕτως ὁ τούτου μαθητὴς καὶ κληρονόμος τοῦ Πνεύματος Ἐλισσαῖος μηκέτι ταῖς ὑλικαῖς φαντασίαις ἐχομένην ἔχων δι' ἐνεργείας τὴν αἴσθησιν, ἅτε διαβαθεῖσαν ἤδη ταῖς κατὰ νοῦν τοῦ Πνεύματος χάρισι, τὰς ταῖς πονηραῖς ἀντιθέτους θείας δυνάμεις περὶ αὐτὸν οὔσας δι' ἄλλης ὀμμάτων ἐνεργείας αὐτός τε ὁρῶν καὶ τῷ φοιτητῇ τὸ ὁρᾶν χαριζόμενος ἰσχυροτέραν τῆς ἀσθενείας τὴν δύναμιν, λέγω δὴ τῆς σαρκός, περὶ ἣν τῆς πονηρίας τὰ πνεύματα τὸν διορατικὸν νοῦν ἐνεδρεύουσι, πλέον ἔχειν τὴν ψυχήν, περὶ ἣν τῶν ἀγγέλων αἱ φάλαγγες παρεμβάλλουσιν,*

---

**53. Δ' Βασ. 2,1.**

σκόταν μὲ τρόπο μυστικὸ τὴν κατάσταση ποὺ στὴν ὁμιλία καὶ στοὺς τρόπους τῆς ζωῆς καὶ στὰ ἤθη εἶναι θεία καὶ ἀτάραχη καὶ εἰρηνικὴ κι τελείως ἄυλη καὶ ἁπλὴ κι ἐλεύθερη ἀπὸ κάθε μορφὴ καὶ σχῆμα, ποὺ δὲν μπορεῖ οὔτε νὰ εἰπωθεῖ οὔτε νὰ δειχθεῖ.

Μένοντας κατάπληκτος ἀπό τὴ δόξα της καὶ πληγωμένος ἀπὸ τὴν ὀμορφιά της, πόθησε νὰ εἶναι μαζί της, παρὰ νά εἶναι ἁπλὸς ζηλωτής της, δηλαδὴ νά εἶναι ἐξ ὁλοκλήρου μαζὶ μὲ τὴν ἀλήθεια, παρὰ νὰ μάχεται ὑπὲρ τῆς ἀλήθειας, κρίνοντας πολὺ πιὸ πολύτιμο ἀπὸ τὸ νὰ μὴ βλέπει καὶ νά μὴ γνωρίζει τίποτε ἀντίθετο, τὸ νὰ γνωρίζει ὅτι ὁ Θεὸς μόνο εἶναι ὅλος ὁλότελα μέσα στὰ πάντα. Γι' αὐτὸ διαφυλάγεται κοντά σ' αὐτὴν ἐνῶ ἦταν ἀκόμα μέσα στὴ σάρκα, διασχίζοντας τὴν ὕλη μὲ τὸ θεῖο ἅρμα τῶν ἀρετῶν, ὡς προκάλυμμα τῆς καθαρῆς διάβασης τοῦ νοῦ πρὸς τὰ νοητά, καὶ τὸ νέφος τῆς σάρκας ποὺ μὲ τὰ πάθη της σκοτεινιάζει τὸ ἡγεμονικό τῆς ψυχῆς, γιὰ νά γίνεται κι αὐτὸς μέτοχος τῶν ἀπερίγραπτων ἀγαθῶν ποὺ εἶχε ποθήσει, ὅσο αὐτὸ εἶναι δυνατὸ σ' ἐκεῖνον ποὺ βρίσκεται ἀκόμα μέσα στὴ φθειρόμενη σάρκα, καὶ νά λάβομε κι ἐμεῖς ἴσως μιὰ βεβαίωση γιὰ τὰ ὑποσχημένα. Γιατὶ αὐτὸ καὶ ὁ Θεὸς τοῦ ὑπέβαλλε φωνάζοντας ἀλάλητα μὲ ὅσα διαδραματίζονταν μυστικά, ὅτι τὸ ὠφελιμότερο ἀπὸ κάθε ἄλλο ἀγαθὸ εἶναι νά εἰρηνεύει κανεὶς μὲ τὸ Θεό.

## 17

Ἑρμηνεία γιὰ τὸν Ἐλισσαῖο, μαθητὴ τοῦ Ἠλία[53].

Ἔτσι ὁ μαθητής του καὶ πνευματικὸς κληρονόμος του Ἐλισσαῖος, ποὺ δὲν κινοῦσαν τὴν αἴσθησή του οἱ ὑλικὲς φαντασίες, ἐπειδὴ τὴν εἶχαν ἤδη πλημμυρίσει οἱ νοερὲς χάρες τοῦ Πνεύματος, τὶς γύρω ἀπὸ αὐτὸν θεῖες δυνάμεις τὶς ἀντίθετες στὶς πονηρὲς βλέποντάς τις μὲ ἄλλη ὀπτικὴ ἐνέργεια καὶ αὐτὸς καὶ στὸ μαθητή του χειρίζοντας τὴν ἱκανότητα νὰ βλέπει δύναμη μεγαλύτερη ἀπὸ τὴν ἀσθένεια, ἐννοῶ ἀπὸ τὴ σάρκα ποὺ σχετικὰ μ' αὐτὴν στήνουν τὶς ἐνέδρες τους στὸ διορατικὸ νοῦ τὰ πνεύματα τῆς πονηρίας, διδασκόταν καὶ δίδασκε ὅτι ἡ ψυχὴ πλεονεκτεῖ,

*οἷον βασιλικὴν εἰκόνα περιϊστάμενοι, καὶ ἐδιδάσκετο καὶ ἐδίδασκεν.*

## *ΙΗ'*

### *Θεωρία εἰς τὴν Ἄνναν καὶ τὸν Σαμουήλ.*

*Οὕτω καὶ ἡ μακαρία Ἄννα, ἡ τοῦ μεγάλου μήτηρ Σαμουήλ, στεῖρα οὖσα καὶ ἄτεκνος, παρὰ τοῦ Θεοῦ καρπὸν αἰτησαμένη κοιλίας, καὶ ἀντιδώσειν καὶ ἀντιχαρίζεσθαι τὸ δοθησόμενον τῷ διδόντι καὶ χαριζομένῳ Θεῷ διὰ τῆς ἐν τῷ ναῷ προσεδρείας θερμῶς ὑποσχομένη, ἐδίδασκε μυστικῶς τὸ δεῖν πᾶσαν ψυχὴν ἡδονῶν σαρκικῶν στειρεύουσαν, διὰ τῆς τοῦ Θεοῦ, τῶν ἀρετῶν τὰ σπέρματα, ἵνα τὸν βλέπειν τὰ ἔμπροσθεν γνωστικῶς δυνάμενον κατὰ διάνοιαν συλλαβοῦσα ὑπήκοον τοῦ Θεοῦ Λόγον καὶ τεκοῦσα προσενέγκαι δυνηθῇ, διὰ τῆς κατὰ τὴν θεωρίαν εὐσεβοῦς προσεδρείας, ὡς μέγα χρέος καὶ τίμιον, μηδὲν ἴδιον ἔχειν κρίνουσα, ὥστε δεῖξαι τὸν Θεὸν μόνον διδόντα τε καὶ δεχόμενον, καθὰ πού φησιν ὁ νόμος, «τὰ δῶρά μου, δόματά μου, καρπώματά μου, διατηρήσετε προσφέρειν μοι», ὡς ἐξ αὐτοῦ τε καὶ εἰς αὐτὸν παντὸς ἀγαθοῦ καὶ ἀρχομένου καὶ λήγοντος. Πέφυκε γὰρ ὁ τοῦ Θεοῦ λόγος οἷς ἂν ἐγγένηται τῆς τε σαρκὸς ἀθετεῖν τὰ κινήματα καὶ τῆς πρὸς αὐτὰ τὴν ψυχὴν ἀναστέλλειν ῥοπῆς, καὶ πάσης πληροῦν ἀληθοῦς διαγνώσεως.*

## *ΙΘ'*

### *Θεωρία εἰς τὸν ἀφορίζοντα τὴν ἀκάθαρτον οἰκίαν.*

*Καὶ γὰρ τὸν ἱερέα κατὰ τὴν νομικὴν διαταγὴν εἰσιόντα εἰς τὴν καθ' ὀντιναοῦν τρόπον ἀκάθαρτον οἰκίαν, καὶ ἀφορίζοντα αὐτήν, καὶ τὰ πρὸς κάθαρσιν διαστέλλοντα τοῖς κεκτημένοις ἀκούων τὸν ἀρχιερέα λόγον δι' αὐτοῦ παραδηλοῦσθαι νοῶ,*

---

**54. Α' Βασ. 1,20. 55. Δευτ. 28,2. 56. Λευιτ. 14,38.**

γύρω ἀπὸ τὴν ὁποία στρατοπεδεύουν οἱ φάλαγγες τῶν ἀγγέλων, φρουρώντας την ὁλόγυρα σὰν εἰκόνα βασιλική.

18

Ἑρμηνεία γιὰ τὴν Ἄννα καὶ τὸ Σαμουήλ[54].

Ἔτσι καὶ ἡ μακάρια Ἄννα, ἡ μητέρα τοῦ μεγάλου Σαμουήλ, ἐνῶ ἦταν στείρα καὶ ἄτεκνη, ζητώντας ἀπὸ τὸ Θεὸ νὰ τῆς δώσει τέκνο καὶ ἀντιδωρίζοντας καὶ ἀντιχαρίζοντας στὸ Θεὸ τὸ δῶρο ποὺ θὰ τῆς ἔδινε καὶ θὰ τῆς χάριζε, κάνοντας τάξιμο θερμὸ μὲ τὴν ἐπίμονη προσευχή της στὸ ναό, δίδασκε μὲ τρόπο μυστικὸ ὅτι κάθε ψυχή, στειρεύοντας ἀπὸ σαρκικὲς ἡδονές, ἔχει ἀνάγκη γιὰ χάρη τῆς ἡδονῆς τοῦ Θεοῦ ἀπὸ τὰ σπέρματα τῶν ἀρετῶν, γιὰ νὰ μπορέσει συλλαμβάνοντας μὲ τὴ διάνοιά του καὶ γεννώντας τὸν ὑπήκοο Λόγο τοῦ Θεοῦ, ποὺ ἔχει τὴ δύναμη νὰ βλέπει γνωστικὰ τὰ μελλοντικά, νὰ τὸν προσφέρει, μὲ τὴν εὐσεβὴ ἐπιμονὴ στὴ θεωρία, κρίνοντας ὡς μεγάλο χρέος καὶ σημαντικὸ νὰ μὴν ἔχει τίποτε δικό της, ὥστε νὰ δείξει ὅτι ὁ Θεὸς μόνο δίνει καὶ δέχεται, ὅπως ἀκριβῶς λέει κάπου ὁ νόμος· «τὰ δῶρα μου καὶ τὰ χαρίσματά μου, κρατῆστε τα νὰ μοῦ τὰ προσφέρετε θυσία ὁλοκάρπωσης»[55], γιατὶ ἀπὸ αὐτὸν ξεκινᾶ κάθε ἀγαθὸ καὶ σ' αὐτὸν καταλήγει. Γιατὶ ἀπὸ τὴ φύση του ὁ Λόγος τοῦ Θεοῦ σὲ ὁποιους μέσα γεννηθεῖ ἀθετεῖ τὶς ἀπαιτήσεις τῆς σάρκας καὶ ἀναχαιτίζει τὴν ψυχὴ ἀπὸ τὴν κλίση πρὸς αὐτὰ καὶ τὴ γεμίζει μὲ ὅλη τὴν ἀληθινὴ γνώση.

19

Ἐξήγηση γιὰ ἐκεῖνον ποὺ ἀφορίζει τὸ ἀκάθαρτο σπίτι[56].

Πράγματι, ἀκούοντας καὶ γιὰ τὸν ἱερέα ποὺ σύμφωνα μὲ τὴ διάταξη τοῦ νόμου μπαίνει στὸ σπίτι τὸ ἀκάθαρτο κατὰ ὁποιοδήποτε τρόπο καὶ τὸ ἀποκλείει καὶ ξεχωρίζει γιὰ τοὺς ἰδιοκτῆτες ὅσα θέλουν κάθαρση, σκέπτομαι ὅτι μ' αὐτὸν ὑποδηλώνεται ὁ

*φωτὸς δίκην καθαρωτάτου εἰσιόντα εἰς τὴν ψυχήν, καὶ τὰ εναγῆ βουλεύματα καὶ διανοήματα μετὰ τῶν ὑπαιτίων πράξεων ἐκκαλύπτοντα, καὶ τοὺς τῆς ἐπιστροφῆς καὶ καθάρσεως τρόπους σοφῶς ὑποτιθέμενον. Ὅπερ, οἶμαι, σαφέστερον ἡ τὸν μέγαν προφήτην Ἠλίαν ὑποδεξαμένη παραδηλοῦσα ἔλεγεν· «ἄνθρωπε τοῦ Θεοῦ, εἰσῆλθες πρὸς ἐμὲ τοῦ ἀναμνῆσαί με τὰς ἀδικίας μου».*

## *Κ'*

### *Θεωρία εἰς τὸν ἅγιον Ἠλίαν καὶ εἰς τὴν Σαραφθίαν χήραν.*

*Πᾶσα γὰρ ψυχὴ χηρεύουσά τε καλῶν καὶ ἀρετῆς ἔρημος καὶ γνώσεως Θεοῦ ἐπειδὰν τὸν θεῖον καὶ διαγνωστικὸν ὑποδέξηται λόγον, εἰς μνήμην ἐρχομένη τῶν αὐτῆς ἁμαρτημάτων διδάσκεταί πως ἀρετῶν ἄρτοις τὸν διατρέφοντα τρέφειν Λόγον, καὶ ποτίζειν ἀληθείας δόγμασι τὴν πηγὴν τῆς ζωῆς, καὶ αὐτῆς τῆς φύσεως τὴν εἰς αὐτὴν προκρίνειν θεραπείαν, δι' ἧς ἥ τε ὑδρία σὰρξ τὴν ἐπὶ ταῖς ἀρεταῖς πρακτικὴν συντομίαν χορηγήσει, καὶ ὁ καμψάκης νοῦς τὴν τὸ φῶς συντηροῦσαν τῆς γνώσεως θεωρίαν διηνεκῶς πηγάσεις, καὶ ὁ ἔμφυτος λογισμός, ὥσπερ ἐκεῖ τῆς χήρας ὁ υἱός, τὴν ἐμπαθῆ προτέραν ἀποθέμενος ζωήν, τῆς παρὰ τοῦ λόγου διδομένης θείας καὶ ἀληθοῦς γενέσθαι μέτοχος ἀξιωθήσεται ζωῆς.*

## *ΚΑ'*

### *Θεωρία εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου.*

*Οὕτω καὶ τῶν Χριστοῦ μαθητῶν πρὸς τοῖς εἰρημένοις τινές, οἷς συναναβῆναί τε καὶ συνεπαρθῆναι αὐτῷ πρὸς τὸ ὄρος τῆς αὐτοῦ φανερώσεως δι' ἀρετῆς ἐπιμέλειαν ἐξεγένετο μετα-*

57. Δ' Βασ. 1,11. 58. Γ' Βασ. 17,9.

59. Μὲ τὴν εἴσοδο τοῦ διακριτικοῦ λόγου μέσα στὴν ψυχὴ καὶ τὴ θύμηση τῶν ἁμαρτημάτων ἐπέρχεται αὐτομάτως ἡ παύση τῆς χηρείας.

ἀρχιερέας Λόγος, ποὺ μπαίνει στὴν ψυχὴ σὰν ὁλοκάθαρο φῶς καὶ ξεσκεπάζει τὰ ἀκάθαρτα θελήματα καὶ τὶς σκέψεις μαζὶ μὲ τὶς ἔνοχες πράξεις καὶ προτείνει μὲ σοφία τοὺς τρόπους τῆς ἐπιστροφῆς καὶ τῆς κάθαρσης. Αὐτὸ νομίζω ὑποδηλώνοντας σαφέστερα ἐκείνη ποὺ ὑποδέχθηκε τὸ μεγάλο προφήτη Ἠλία, ἔλεγε· «ἄνθρωπε τοῦ Θεοῦ, ἦρθες στὸ σπίτι μου γιὰ νὰ μοῦ θυμίσεις τὶς ἀδικίες μου»[57].

## 20

### Ἑρμηνεία γιὰ τὸν ἅγιο Ἠλία καὶ τὴ Σαραφθία χήρα[58].

Σὲ κάθε ψυχὴ ποὺ χηρεύει ἀπὸ τὰ καλὰ καὶ εἶναι ἔρημη ἀπὸ ἀρετὴ καὶ γνώση τοῦ Θεοῦ, ἂν ὑποδεχθεῖ τὸ θεῖο καὶ διακριτικὸ Λόγο[59], τῆς ἔρχεται ἡ θύμηση τῶν ἁμαρτημάτων της καὶ διδάσκεται νὰ τρέφει κατὰ κάποιο τρόπο μὲ τοὺς ἄρτους τῶν ἀρετῶν τὸ Λόγο ποὺ μᾶς διατρέφει, καὶ νὰ ποτίζει μὲ τὰ δόγματα τῆς ἀλήθειας τὴν πηγὴ τῆς ζωῆς, κι ἀπὸ τὴν ἴδια της τὴ φύση νὰ προτιμᾶ τὴ θεραπεία της, μὲ τὴν ὁποία καὶ ἡ ὑδρία–σάρκα θὰ χορηγήσει τὴ σύντομη πράξη πρὸς τὶς ἀρετές, καὶ τὸ ἐλαιοδοχεῖο–νοῦς θὰ ἀναβλύζει ἀτελείωτα τὴ θεωρία ποὺ συντηρεῖ τὸ φῶς τῆς γνώσης, καὶ ὁ ἔμφυτος λογισμός, ὅπως ἐκεῖ ὁ γιὸς τῆς χήρας, ἀφήνοντας τὴν προηγούμενη ἐμπαθὴ ζωή, θ' ἀξιωθεῖ νὰ γίνει μέτοχος τῆς θείας κι ἀληθινῆς ζωῆς ποὺ χορηγεῖ ὁ Λόγος.

## 21

### Ἐξήγηση τῆς μεταμόρφωσης τοῦ Κυρίου[60].

Ἐκτὸς ἀπὸ αὐτὰ ποὺ λέχθηκαν, ἔτσι καὶ κάποιοι ἀπὸ τοὺς μαθητὲς τοῦ Χριστοῦ ποὺ πέτυχαν χάρη στὴν ἐπιμέλεια ἀπὸ μέρους τους τῆς ἀρετῆς[61] νὰ ἀνεβοῦν καὶ νὰ ὑψωθοῦν μαζί του πρὸς

60. Ματθ. 17,2.
61. Ἡ ἐπιμέλεια τῆς ἀρετῆς εἶναι τὸ πρῶτο βῆμα νὰ πλησιάσει κανεὶς τὸ Θεό.

*μορφωθέντα θεασάμενοι, τῷ τε φωτὶ τοῦ προσώπου ἀπρόσιτον, καὶ τῇ τῶν ἐσθημάτων λαμπρότητι κατάπληκτοι, καὶ τῇ τῶν ἑκατέρωθεν συνόντων τιμῇ Μωσέως καὶ Ἠλίου γεγενημένου αἰδεσιμώτερον ἐπεγνωκότες, ἀπὸ τῆς σαρκὸς εἰς τὸ πνεῦμα μετέβησαν, πρὶν τὴν διὰ σαρκὸς ἀποθέσθαι ζωήν, τῇ ἐναλλαγῇ τῶν κατ' αἴσθησιν ἐνεργειῶν ἣν αὐτοὺς τὸ Πνεῦμα ἐνήργησε, περιελὸν τῆς ἐν αὐτοῖς νοερᾶς δυνάμεως τῶν παθῶν τὰ καλύμματα, δι' οὗ καθαρθέντες τὰ τῆς ψυχῆς καὶ σώματος αἰσθητήρια τῶν παραδειχθέντων αὐτοῖς μυστηρίων τοὺς πνευματικοὺς ἐκπαιδεύονται λόγους. Τὴν μὲν ἀκτινοφανῶς ἐκλάμπουσαν τοῦ προσώπου πανόλβιον αἴγλην, ὡς πᾶσαν ὀφθαλμῶν νικῶσαν ἐνέργειαν, τῆς ὑπὲρ νοῦν καὶ αἴσθησιν καὶ οὐσίαν καὶ γνῶσιν θεότητος αὐτοῦ σύμβολον εἶναι μυστικῶς ἐδιδάσκοντο, ἀπὸ τοῦ μὴ ἔχειν αὐτοῦ εἶδος μήτε κάλλος καὶ τοῦ σάρκα τὸν Λόγον γεγενημένον γινώσκειν ἐπὶ τὸν ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ τὴν ἐν ἀρχῇ αὐτὸν εἶναι καὶ πρὸς τὸν Θεὸν εἶναι καὶ Θεὸν εἶναι, ἔννοιαν χειραγωγούμενοι, καὶ πρὸς τὴν ὡς Μονογενοῦς παρὰ Πατρὸς πλήρη χάριτος καὶ ἀληθείας δόξαν διὰ τῆς παντελῶς πᾶσιν ἀχώρητον αὐτὸν ἀνυμνούσης θεολογικῆς ἀποφάσεως· γνωστικῶς ἀναγόμενοι· τὰ δὲ λευκανθέντα ἱμάτια τῶν ρημάτων τῆς ἁγίας Γραφῆς φέρειν σύμβολον, ὡς τηνικαῦτα λαμπρῶν καὶ τρανῶν καὶ σαφῶν αὐτοῖς γενομένων, καὶ παντὸς γριφώδους αἰνίγματος καὶ συμβολικοῦ σκιάσματος χωρὶς νοουμένων, καὶ τὸν ἐν αὐτοῖς ὄντα τε καὶ καλυπτόμενον παραδηλούντων λόγον, ὁπηνίκα τήν τε λείαν καὶ ὀρθὴν περὶ Θεοῦ γνῶσιν ἔλαυνον, καὶ τῆς πρὸς τὸν κόσμον καὶ τὴν σάρκα προσπαθείας ἠλευθερώθησαν.*

*Ἡ τῆς κτίσεως αὐτῆς κατὰ περιαίρεσιν τῆς δοκούσης τέως ἐμφαίνεσθαι αὐτῇ τῶν ἠπατημένων καὶ μόνῃ αἰσθήσει προσδεδεμένων ρυπαρᾶς ὑπολήψεως, διὰ τῆς τῶν αὐτὴν συμπληρούντων διαφόρων εἰδῶν σοφῆς ποικιλίας, ἀναλόγως ἱματίου τρόπον τὴν ἀξίαν τοῦ φοροῦντος τὴν τοῦ γενεσιουργοῦ Λό-*

62. Ψαλμ. 44,3. 63. Ἰω. 1,1.
64. Ἰω. 1,14.

τὸ ὅρος τῆς φανέρωσής του καὶ νὰ τὸν δοῦν νὰ μεταμορφώνεται, μὴ μπορώντας ν' ἀντικρύσουν τὸ φῶς τοῦ προσώπου του, καὶ μένοντας κατάπληκτοι ἀπὸ τὴ λάμψη τῶν ρούχων του, καὶ συνειδητοποιώντας πόσο περισσότερο εἶχε κερδίσει σὲ σεβασμὸ μὲ τὴν τιμητικὴ παρουσία δεξιὰ κι ἀριστερὰ τοῦ Μωυσῆ καὶ τοῦ Ἠλία, μεταφέρθηκαν ἀπὸ τὴ σάρκα στὸ πνεῦμα, προτοῦ ἐγκαταλείψουν τὴ ζωὴ τῆς σάρκας, μὲ τὴν ἀντικατάσταση τῶν ἐνεργειῶν τῆς αἴσθησης ποὺ προκάλεσε σ' αὐτοὺς τὸ πνεῦμα, ἀφαιρώντας τὰ καλύμματα τῶν παθῶν ἀπὸ τὴ νοερὴ δύναμη μέσα τους, καὶ καθαρίζοντας μ' αὐτὸ τὰ αἰσθητήρια τῆς ψυχῆς καὶ τοῦ σώματος, διδάσκονταν τοὺς πνευματικοὺς λόγους τῶν μυστηρίων ποὺ τοὺς εἶχαν ἀποκαλυφθεῖ. Διδάσκονταν μὲ τρόπο μυστικὸ ὅτι ἡ πανόλβια αἴγλη τοῦ προσωπου του, ποὺ ἀχρήστευε κάθε ὀπτικὴ δύναμη τῶν ματιῶν, ποὺ ἔλαμπε κι ἀκτινοβολοῦσε, εἶναι τὸ σύμβολο τῆς θεοτητάς του τῆς πάνω ἀπὸ νοῦ καὶ αἴσθηση καὶ οὐσία καὶ γνώση. Ἀπὸ τὸ ὅτι δὲν εἶχε μορφὴ οὔτε κάλλος καὶ ἀπὸ τὴ γνώση ὅτι ὁ Λόγος εἶχε γίνει σάρκα χειραγωγοῦνταν σ' αὐτὸν ποὺ ἡ ὀμορφιά του ξεπερνοῦσε τὴν ὀμορφιὰ τῶν υἱῶν τῶν ἀνθρώπων[62] καὶ στὴν ἔννοια τοῦ ὅτι αὐτὸς ὑπῆρχε ἀπὸ τὴν ἀρχὴ καὶ ὅτι ἦταν κοντὰ στὸ Θεὸ καὶ ὅτι ἦταν Θεός[63], καὶ ἀνυψώνονταν στὴ δόξα ποὺ εἶχε σὰν Μονογενὴς ἀπὸ τὸν Πατέρα γεμάτη χάρη καὶ ἀλήθεια[64] μὲ τὴν ἀποφατικὴ θεολογικὴ γνώση. Τὰ φορέματά του πάλι ποὺ ἔγιναν λευκὰ ἀποτελοῦν σύμβολο τῶν λόγων τῆς ἁγίας Γραφῆς, ἐπειδὴ τότε ἔλαμψε καὶ διευκρινίστηκαν καὶ διασαφηνίστηκαν καὶ κατανοήθηκαν χωρὶς κανένα αἰνιγματικὸ γρίφο καὶ συμβολικὴ σκιά, καὶ ὑποδήλωναν τὸ λόγο ποὺ καλυπτόταν μέσα σ' αὐτά, ὅταν ἀκολουθοῦσαν τὴν ὁμαλὴ κι ὀρθὴ γνώση περὶ τοῦ Θεοῦ κι ἐλευθερώθηκαν ἀπὸ τὴν προσκόλληση στὸν κόσμο καὶ τὴ σάρκα.

Ἢ εἶναι σύμβολο τῆς ἴδιας τῆς κτίσης μὲ ἀπόρριψη τῆς βρομερῆς γνώμης τῶν πλανημένων καὶ δεμένων ἀποκλειστικὰ στὴν αἴσθηση ποὺ πίστευαν ὡς τότε ὅτι ἐμφανίζοταν σ' αὐτόν, μὲ τὴ σοφὴ ποικιλία τῶν διαφόρων εἰδῶν ποὺ τὴν ἀποτελοῦν, ποὺ διαμήνυε τὴ δύναμη τοῦ γενεσιουργοῦ Λόγου κατ' ἀναλογία

*γου δύναμιν μηνυούσης. Ἄμφω γὰρ ἐπὶ τοῦ λόγου ἁρμόσει τὰ λεγόμενα, ἐπεὶ καὶ ἀμφοῖν δι' ἀσαφείας κεκάλυπται δι' ἡμᾶς εἰκότως, πρὸς τὸ μὴ τολμᾶν τοῖς ἀχωρήτοις ἀναξίως προσβάλλειν, τῷ μὲν ῥητῷ τῆς ἁγίας Γραφῆς, ὡς Λόγος, τῇ δὲ κτίσει, ὡς κτίστης καὶ ποιητὴς καὶ τεχνίτης. Ὅθεν ἀναγκαίως ἀμφοτέρων ἐπιδεῖσθαί φημι τὸν πρὸς Θεὸν ἀμέμπτως εὐθυπορεῖν βουλόμενον, τῆς τε γραφικῆς ἐν Πνεύματι γνώσεως, καὶ τῆς τῶν ὄντων κατὰ πνεῦμα φυσικῆς θεωρίας, ὥστε ἰσοτίμους καὶ τὰ αὐτὰ ἀλλήλοις παιδεύοντας τοὺς δύο νόμους, τόν τε φυσικὸν καὶ τὸν γραπτόν, καὶ μηδέτερον θατέρου ἔχοντα πλέον ἢ ἔλαττον, δύνασθαι δεῖξαι, ὡς εἰκός, τὸν τελείας ἐραστὴν γενέσθαι τῆς σοφίας τέλειον ἐπιθυμοῦντα.*

## *Β'*

### *Θεωρία τοῦ τε φυσικοῦ καὶ τοῦ γραπτοῦ νόμου, καὶ τῆς αὐτῶν κατ' ἐπαλλαγὴν εἰς ἀλλήλους συνδρομῆς.*

*Νοῶ τὸν μὲν ὁμαλῶς ὅτι μάλιστα κατὰ λόγον διευθυνόμενον διὰ τῶν ἐν αὐτῷ συμφυῶν θεαμάτων βίβλου τρόπον τὸ ἐναρμόνιον τοῦ παντὸς ὕφασμα ἔχοντα, γράμματα μὲν καὶ συλλαβὰς ἐχούσης, τὰ πρὸς ἡμᾶς πρῶτα, προσεχῆ τε καὶ μερικά, καὶ πολλαῖς παχυνόμενα κατὰ σύνοδον ποιότητι σώματα, ῥήματα δέ, τὰ τούτων καθολικώτερα, πόρρω τε ὄντα καὶ λεπτότερα, ἐξ ὧν σοφῶς ὁ διαχαράξας καὶ ἀρρήτως αὐτοῖς ἐγκεχαραγμένος λόγος ἀναγινωσκόμενος ἀπαρτίζεται, τὴν ὅτι μόνον ἐστίν, οὐχ ὅτι ποτὲ δέ ἐστιν οἱανοῦν παρεχόμενος ἔννοιαν, καὶ διὰ τῆς εὐσεβοῦς τῶν διαφόρων φαντασιῶν συλλογῆς εἰς μίαν τοῦ ἀληθοῦς εἰκασίαν ἐνάγων, ἀναλόγως ἑαυτὸν διὰ τῶν ὁρατῶν ὡς γενεσιουργὸς ἐνορᾶσθαι διδούς· τὸν δὲ μαθήσει κατορθούμενον, διὰ τῶν αὐτῷ σοφῶς ὑπηγορευμένων ὥσπερ κόσμον ἄλλον ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ, τῆς ἠθικῆς φημι καὶ φυσικῆς καὶ θεολογικῆς φιλοσοφίας συνιστάμενον,*

πρὸς τὸ φόρεμα ποὺ δηλώνει τὸ ἀξίωμα ἐκείνου ποὺ τὸ φορεῖ. Καὶ οἱ δύο αὐτὲς ἐξηγήσεις θὰ συμφωνήσουν μὲ τὸ λόγο, ἐπειδὴ καὶ τὰ δύο ἔχουν καλυφθεῖ εὔλογα γιὰ μᾶς μὲ ἀσάφεια, γιὰ νὰ μὴν τολμοῦμε νὰ προσεγγίζομε χωρὶς ν' ἀξίζομε στὰ ἀκατανόητα· μὲ τὸ ρητὸ τῆς ἁγίας Γραφῆς ἐπειδὴ εἶναι Λόγος, καὶ στὴν κτίση, ἐπειδὴ εἶναι κτίστης καὶ ποιητὴς καὶ τεχνίτης. Γι' αὐτὸ νομίζω ὅτι ὑποχρεωτικὰ ἔχει ἀνάγκη κι ἀπὸ τὰ δύο ὅποιος θέλει νὰ βαδίσει ἄμεμπτα κατ' εὐθείαν στὸ Θεό, τόσο τὴν πνευματικὴ γνώση τῆς Γραφῆς, ὅσο καὶ τὴν πνευματικὴ φυσικὴ θεωρία τῶν ὄντων, ὥστε νὰ μπορεῖ νὰ δείξει ὅτι οἱ δύο νόμοι εἶναι ἰσότιμοι καὶ παιδαγωγοῦν τὰ ἴδια ὁ ἕνας καὶ ὁ ἄλλος καὶ κανένας δὲν εἶναι ἀνώτερος ἢ κατώτερος ἀπὸ τὸν ἄλλο, ὅπως εἶναι φυσικό, ὅποιος ἐπιθυμεῖ νὰ γίνει τέλειος ἐραστὴς τῆς σοφίας.

## 22

Ἑρμηνεία τόσο τοῦ φυσικοῦ ὅσο καὶ τοῦ γραπτοῦ νόμου καὶ τῆς ἀμοιβαίας βοήθειας τοῦ ἑνὸς πρὸς τὸν ἄλλο.

Νομίζω ὅτι ὁ ἕνας νόμος ποὺ διευθύνεται ὅσο γίνεται ὁμαλὰ μὲ τὸ λόγο μὲ τὰ σύμφυτα θεάματα ποὺ περιέχει ἔχοντας τὸ ἁρμονικὸ ὕφασμα τοῦ παντὸς σὰν βιβλίο ποὺ ἔχει γράμματα καὶ συλλαβές, ὅσα προσπίπτουν πρῶτα σ' ἐμᾶς, σώματα τὰ κοντινά μας καὶ μερικὰ καὶ ποὺ αὐξάνονται μὲ πολλὲς μαζὶ ποιότητες, καὶ ρήματα, τὰ πιὸ καθολικὰ ἀπὸ τὰ προηγούμενα καὶ ποὺ εἶναι μακρινότερα καὶ πιὸ λεπτά, ἀπὸ τὰ ὁποῖα ἀπαρτίζεται ὁ λόγος ποὺ τὰ χάραξε μὲ σοφία καὶ ποὺ εἶναι χαραγμένος μὲ τρόπο ἄρρητο σ' αὐτά, ὅταν τὸν διαβάζομε, καὶ ποὺ μᾶς δίνει τὴν ἔννοια μόνο ὅτι ὑπάρχει, ὄχι ὅμως καὶ τὴν ἔννοια τοῦ τί εἶναι, καὶ μᾶς ὁδηγεῖ μὲ τὴν εὐσεβὴ συγκέντρωση τῶν διαφόρων φαντασιῶν σὲ μία εἰκόνα τοῦ ἀληθινοῦ, δίνοντάς μας τὴν ἄδεια νὰ τὸν βλέπομε κατ' ἀναλογία μέσω τῶν ὁρατῶν ὡς γενεσιουργό τους. Ὁ ἄλλος ποὺ κατορθώνεται μὲ τὴ μάθηση μὲ ὅσα αὐτὸς μὲ σοφία μᾶς ὑπαγορεύει, σὰν ἕνα ἄλλο κόσμο ἀπὸ οὐρανὸ καὶ γῆ καὶ τὰ ἐνδιάμεσά τους, ἐννοῶ συνιστάμενος ἀπὸ τὴν ἠθική, τὴ φυσικὴ καὶ τὴ θεο-

*τὴν ἄφατον καταμηνύειν τοῦ ὑπαγορεύσαντος δύναμιν, καὶ ταὐτὸν ἀλλήλοις κατ' ἐπαλλαγὴν ὄντας δεικνύοντα τὸν μὲν γραπτὸν τῷ φυσικῷ κατὰ τὴν δύναμιν, τὸν δὲ φυσικὸν ἔμπαλιν τῷ γραπτῷ κατὰ τὴν ἕξιν, καὶ τὸν αὐτὸν μηνύοντας καὶ καλύπτοντας λόγον, τὸν μὲν τῇ λέξει καὶ τῷ φαινομένῳ, τὸ δὲ τῇ νοήσει καὶ τῷ κρυπτομένῳ. Ὡς γὰρ τῆς ἁγίας Γραφῆς τὰ μὲν ῥήματα ἱμάτια λέγοντες, τὰ δὲ νοήματα σάρκας τοῦ Λόγου νοοῦντες, τοῖς μὲν καλύπτομεν, τοῖς δὲ ἀποκαλύπτομεν, οὕτω καὶ τῶν γεγονότων τὰ πρὸς τὸ ὁρᾶσθαι προβεβλημένα εἴδη τε καὶ σχήματα ἱμάτια λέγοντες, τοὺς δὲ καθ' οὓς ἔκτισται ταῦτα λόγους σάρκας νοοῦντας, ὡσαύτως τοῖς μὲν καλύπτομεν, τοῖς δὲ ἀποκαλύπτομεν. Κρύπτεται γὰρ φαινόμενος ὁ τοῦ παντὸς δημιουργὸς καὶ νομοθέτης Λόγος, κατὰ φύσιν ὑπάρχων ἀόρατος, καὶ ἐκφαίνεται κρυπτόμενος, μὴ λεπτὸς εἶναι φύσει τοῖς σοφοῖς πιστευόμενος.*

*Εἴη δὲ ἡμῖν τοῦτο δι' ἀποφάσεως ἐκφαίνειν κρυπτόμενον, καὶ πᾶσαν σχημάτων τε καὶ αἰνιγμάτων τὸ ἀληθὲς εἰκονίζουσαν δύναμιν παρελθεῖν μᾶλλον καὶ πρὸς αὐτὸν τὸν Λόγον ἀπὸ τοῦ γράμματος καὶ τῶν φαινομένων κατὰ τὴν τοῦ Πνεύματος δύναμιν ἀρρήτως ἀναβιβάζεσθαι, ἢ τοῦτο φαινόμενον κρύπτειν διὰ τῆς θέσεως γίνεσθαι, ἵνα μὴ καὶ ἡμεῖς, φονευταὶ τοῦ λόγου γενόμενοι, ἑλληνικῶς τῇ κτίσει λατρεύσωμεν, παρὰ τὸν κτίσαντα, μηδὲν ἀνώτερον τῶν ὁρωμένων εἶναι πιστεύοντες καὶ τῶν αἰσθητῶν μεγαλοπρεπέστερον, ἢ μέχρι μόνου τοῦ γράμματος διαβλέποντες τὸ σῶμα μόνον ἰουδαϊκῶς περὶ πολλοῦ ποιησώμεθα, τὴν κοιλίαν θεοποιήσαντες καὶ τὴν αἰσχύνην ἡγησάμενοι δόξαν, τὸν αὐτὸν τοῖς θεοκτόνοις κλῆρον ἀπενεγκώμεθα, ὡς τὸν καθ' ἡμᾶς δι' ἡμᾶς πρὸς ἡμᾶς γενόμενον διὰ σώματος καὶ συλλαβαῖς καὶ γράμμασι παχυθέντα διὰ τὴν αἴσθησιν, ὅλην τοῦ ἐν ἡμῖν νοεροῦ τὴν δύναμιν πρὸς ἑαυτὴν ἐπικλίνασαν, οὐ διαγι-*

---

65. Ὁ φυσικὸς καὶ γραπτὸς νόμος μὲ τὸν τρόπο του ὁ καθένας εἶναι ἴδιοι καὶ ἐπιτελοῦν τὸ ἴδιο ἔργο· φανερώνουν καὶ καλύπτουν τὸν ἴδιο τὸ Λόγο.

λογικὴ φιλοσοφία, νομίζω πὼς καταδηλώνει τὴν ἄφατη δύναμη ἐκείνου ποὺ τὸν ὑπαγόρευσε καὶ δείχνει ὅτι εἶναι ἴδιος ὁ ἕνας μὲ τὸν ἄλλο, ὁ γραπτὸς ἴδιος μὲ τὸ φυσικὸ κατὰ τὴ δύναμη, κι ὁ φυσικὸς πάλι ἴδιος μὲ τὸ γραπτὸ κατὰ τὴν ἕξη καὶ ὅτι φανερώνουν καὶ καλύπτουν τὸν ἴδιο λόγο[65], τὸν ἕνα μὲ τὴ λέξη καὶ τὸ φαινόμενο, καὶ τὸν ἄλλο μὲ τὴ νόηση καὶ τὸ κρυμμένο νόημα. Ὅπως δηλαδὴ λέμε ἱμάτια τὰ ρήματα τῆς Γραφῆς, ἐνῶ τὰ νοήματα τὰ ἐννοοῦμε ὡς σάρκες τοῦ λόγου, καὶ μὲ τοῦτα σκεπάζομε ἐνῶ μὲ τ' ἄλλα ἀποκαλύπτομε, ἔτσι καὶ ἀπὸ τὰ δημιουργήματα λέγοντας ἱμάτια τὶς μορφὲς καὶ τὰ σχήματα ποὺ προβάλλουν γιὰ νὰ βλέπομε, καὶ ἐννοώντας ὡς σάρκες τοὺς λόγους σύμφωνα μὲ τοὺς ὁποίους δημιουργήθηκαν, τὸ ἴδιο μὲ τοῦτα καλύπτομε καὶ μ' ἐκεῖνα ἀποκαλύπτομε. Γιατὶ κρύβεται φαινόμενος ὁ δημιουργὸς καὶ νομοθέτης λόγος τοῦ παντός, ἐπειδὴ κατὰ τὴ φύση του εἶναι ἀόρατος, καὶ φανερώνεται κρυπτόμενος, ἐπειδὴ οἱ σοφοὶ πιστεύουν πὼς δὲν ἔχει φύση λεπτή.

Ἂς μοῦ ἐπιτραπεῖ ὅμως νὰ φανερώσω ἀποφατικὰ αὐτὸ ποὺ κρύβεται καὶ νὰ παραλείψω μᾶλλον κάθε δύναμη ποὺ εἰκονίζει τὴν ἀλήθεια τῶν σχημάτων καὶ τῶν αἰνιγμάτων καὶ νὰ ὑψωθῶ μὲ τρόπο ἄρρητο ἀπὸ τὸ γράμμα καὶ τὰ φαινόμενα μὲ τὴν πνευματικὴ δύναμη πρὸς τὸν ἴδιο τὸ Λόγο, ἢ αὐτὸ ποὺ φαίνεται νὰ τὸ κάνομε καταφατικὰ νὰ κρύβεται, γιὰ νὰ μὴ γίνομε κι ἐμεῖς κατὰ τὸν ἑλληνικὸ τρόπο φονευτὲς τοῦ Λόγου καὶ λατρεύσομε τὴν κτίση στὴ θέση τοῦ κτίστη, πιστεύοντας δηλαδὴ ὅτι δὲν ὑπάρχει τίποτε ἀνώτερο ἀπὸ τὰ φαινόμενα καὶ μεγαλοπρεπέστερο ἀπὸ τὰ αἰσθητά, ἢ νὰ φτάνει ἡ ὅρασή μας ὡς τὸ γράμμα μονάχα καὶ νὰ φροντίσομε, σύμφωνα μὲ τοὺς Ἰουδαίους, πάρα πολὺ τὸ σῶμα μόνο, κάνοντας Θεὸ τὴν κοιλιὰ[66] καὶ θεωρώντας τὴ ντροπὴ δόξα, γιὰ νὰ ἔχομε τὸν ἴδιο κλῆρο μὲ τοὺς θεοκτόνους, ἐπειδὴ αὐτὸν ποὺ ἔγινε μὲ τὸ σῶμα του σύμφωνα μ' ἐμᾶς, γιὰ χάρη μας καὶ κοντὰ σ' ἐμᾶς καὶ αὐξήθηκε ἐξαιτίας τῆς αἴσθησης μὲ γράμματα καὶ συλλαβές, ποὺ ἔκλινε μέσα στὸν ἑαυτό της ὅλη τὴ μέσα

66. Φιλ. 3,19.

*νώσκοντες Λόγον. Φησὶ γὰρ ὁ θεῖος ἀπόστολος, «τὸ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ». Καὶ γὰρ καθ' αὐτὸ μόνον τὸ γράμμα στεργόμενον τὸν ἐν αὐτῷ ἀποκτείνειν Λόγον τοῖς στέργουσιν εἴωθεν, ὥσπερ καὶ τὸ κάλλος τῶν κτισμάτων μὴ πρὸς δόξαν τοῦ πεποιηκότος ὁρώμενον τῆς κατὰ λόγον εὐσεβείας ἀποστερεῖν τοὺς θεωμένους πέφυκε.*

*Καὶ πάλιν τὸ Εὐαγγέλιον, «εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι», δηλαδὴ τῆς κακίας, «οὐκ ἂν ἐσώθη πᾶσα σάρξ», τουτέστι πᾶσα περὶ Θεοῦ εὐσεβὴς ἔννοια. Κολοβοῦνται γὰρ κακίας ἡμέραι, τῆς κατ' αἴσθησιν δημιουργούσης αὐτὰς ἐσφαλμένης κρίσεως τῷ λόγῳ περιγραφείσης, καὶ τοῦ κατ' αὐτὸν εὐσεβοῦς δικαιώματος κατόπιν γεγενημένης. Ἀντιχρίστου γὰρ οὐδὲν διενήνοχεν ὁ τῆς σαρκὸς νόμος, ἀεὶ παλαίων τῷ Πνεύματι καὶ τῷ αὐτοῦ θείῳ νόμῳ ἀντιτασσόμενος, ἕως ἡ παροῦσα ζωὴ τοῖς ἡττημένοις αὐτῇ προσφιλής ἐστι καὶ ἐράσμιος, καὶ οὔπω φανεὶς ὁ λόγος τῷ ῥήματι τῆς δυνάμεως ἀνεῖλε, διακρίνας τοῦ ἀθανάτου τὸ θνητόν, καὶ τῆς ἐλευθερίας τὴν διοχλοῦσαν ἔξω ποιησάμενος δουλείαν, καὶ τὴν ἀλήθειαν αὐτὴν καθ' ἑαυτὴν ψεύδους καθαρὰν ἀποδείξας, καὶ τῶν θείων καὶ αἰωνίων τὰ ὑλικὰ καὶ πρόσκαιρα ἀποδιορίσας, πρὸς ἃ πέφυκεν ὁ νοῦς διὰ τῆς κατ' αἴσθησιν πρὸς αὐτὰ οἰκειότητος πλανώμενος ἐπικλίνεσθαι καὶ τῇ ἀλόγῳ θανατοῦσθαι στοργῇ· πρὸς ὃν μάλιστα προηγουμένως ἡ θεοπρεπὴς τοῦ Λόγου κατάβασις γίνεται, τοῦ θανάτου τῆς ἀγνοίας αὐτὸν ἀνεγείρουσα, καὶ τῆς πρὸς τὰ ὑλικὰ ἐμπαθοῦς διαθέσεως ἀναστέλλουσα καὶ πρὸς τὸ κατὰ φύσιν ἐραστὸν τὴν ἔφεσιν αὐτοῦ ἐπανάγουσα. Διὸ ἀναγκαίως οἶμαι δεῖν τοῦ ὑπὲρ τὰ ἐνδύματα μακρῷ κρείσσονος σώματος, τουτέστι τῶν θείων καὶ ὑψηλῶν νοημάτων, τῆς τε ἁγίας Γραφῆς καὶ τῶν κατὰ τὴν κτίσιν θεαμάτων, φροντίζειν λογικοὺς ὄντας, καὶ διὰ λόγου πρὸς Λόγον σπεύδοντας (καθὼς φησιν ὁ Λόγος αὐτός, «οὐχὶ πλέον ἐστὶν ἡ ψυχὴ τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύμα-*

---

67. Β' Κορ. 3,6. 68. Ματθ. 24,22.

μας δύναμη τοῦ νοεροῦ, μὴ διακρίνοντας τὸ λόγο. Γιατὶ λέει ὁ θεῖος ἀπόστολος· «τὸ γράμμα θανατώνει, ἐνῶ τὸ πνεῦμα ζωοποιεῖ»[67]. Τὸ γράμμα δηλαδὴ ὅταν γίνεται ἀποδεκτὸ καθαυτὸ μόνο, συνήθως σκοτώνει γιὰ ὅσους ἀποδέχονται τὸ λόγο ποὺ περιέχει. Ὅπως καὶ τὸ κάλλος τῶν δημιουργημάτων, ἂν δὲν τὸ βλέπομε σχετικὰ μὲ τὴ δόξα τοῦ δημιουργοῦ του, ἔχει στὴ φύση του ν' ἀποστερεῖ αὐτοὺς ποὺ τὸ βλέπουν ἀπὸ τὴ λογικὴ εὐσέβεια.

Καὶ πάλι λέει τὸ Εὐαγγέλιο· «ἂν δὲν εἶχαν συντομευθεῖ ἐκεῖνες οἱ μέρες, δηλαδὴ οἱ μέρες τῆς κακίας, δὲ θὰ εἶχε σωθεῖ ὁποιαδήποτε σάρκα»[68], δηλαδὴ κάθε εὐσεβὴς ἔννοια περὶ Θεοῦ. Συντομεύονται δηλαδὴ οἱ μέρες τῆς κακίας, ἂν περιοριστεῖ μὲ τὸ λόγο ἡ λανθασμένη σύμφωνα μὲ τὶς αἰσθήσεις κρίση ποὺ τὴ δημιουργεῖ καὶ ποὺ ἔγινε μετὰ τὴν εὐσεβὴ δικαίωση τοῦ λόγου. Γιατὶ ὁ νόμος τῆς σάρκας δὲν διαφέρει καθόλου ἀπὸ τὸν ἀντίχριστο ἀντιπαλεύοντας πάντοτε τὸ πνεῦμα κι ἀντιτασσόμενος στὸ θεῖο νόμο του, ἕως ὅτου ἡ παροῦσα ζωὴ εἶναι γιὰ τοὺς αἰχμαλώτους της ἀγαπητὴ καὶ ποθητὴ καὶ δὲν ἐμφανίστηκε ἀκόμα ὁ Λόγος γιὰ νὰ τὴ σκοτώσει μὲ τὴ δύναμή του, ξεχωρίζοντας ἀπὸ τὸ ἀθάνατο τὸ θνητό, καὶ διώχνοντας ἔξω ἀπὸ τὴν ἐλευθερία τὴν ἐνοχλητικὴ δουλεία, καὶ ἀποδεικνύοντας καθαρὴ ἀπὸ ψεῦδος τὴν ἀλήθεια αὐτὴ καθεαυτή, κι ἀπομακρύνοντας ἀπὸ τὰ θεῖα κι αἰώνια τὰ ὑλικὰ καὶ πρόσκαιρα, πρὸς τὰ ὁποῖα κλίνει ἀπὸ τὴ φύση του ὁ νοῦς, γελασμένος ἀπὸ τὴν κατ' αἴσθηση οἰκειότητα μὲ αὐτά, καὶ θανατώνεται μὲ τὴν παράλογη στοργή, στὸν ὁποῖο μὲ ἀπόλυτη προτεραιότητα γίνεται ἡ θεοπρεπὴς κατάβαση τοῦ Λόγου, ἀνασταίνοντάς τον ἀπὸ τὸ θάνατο τῆς ἄγνοιας, καὶ συγκρατώντας τον ἀπὸ τὴν ἐμπαθὴ διάθεσή του πρὸς τὰ ὑλικά, κι ἐπαναφέροντας τὸν πόθο του πρὸς τὸ σύμφωνο μὲ τὴ φύση του ἐραστό. Γι' αὐτὸ νομίζω πρέπει ἀναγκαστικά, ἀφοῦ εἴμαστε λογικοί, νὰ φροντίζομε γιὰ τὸ πολὺ ἀνώτερο ἀπὸ τὰ φορέματα σῶμα, δηλαδὴ γιὰ τὰ θεῖα καὶ ὑψηλὰ νοήματα, τὴν ἁγία Γραφὴ καὶ τὰ θεάματα τῆς δημιουργίας, καὶ μέσω τοῦ λόγου νὰ σπεύδομε πρὸς τὸ Λόγο (ὅπως ὁ ἴδιος ὁ Λόγος λέει· «δὲν εἶναι ἡ ψυχὴ

*τός;»), μήπως ἐν καιρῷ διελεχθῶμεν μηδὲν ἔχοντες τούτων ἐπειλημμένοι, τοῦ ὑφεστῶτος καὶ ὑφιστῶντος τὰ πάντα Λόγου οὐ περιδραξάμενοι, κατὰ τὴν Αἰγυπτίαν ἐκείνην, ἥτις μόνων τῶν ἱματίων τοῦ Ἰωσὴφ ἐπιλαβομένη τῆς τοῦ ἐραστοῦ παντελῶς διήμαρτεν ὁμιλίας.*

*Οὕτω γὰρ ἂν τά τε ἐνδύματα τοῦ Λόγου, φημὶ δὴ τὰ ρήματα τῆς Γραφῆς, καὶ τὰ φαινόμενα κτίσματα, λαμπρά τε καὶ ἐπίδοξα τῇ ἐναλλαγῇ τῶν περὶ αὐτὸν δογμάτων, καὶ τῷ θείῳ Λόγῳ ἐμπρέποντα διὰ τῆς ὑψηλῆς θεωρίας, καὶ ἡμεῖς ἐπὶ τὸ ὄρος ἀναβάντες τῆς θείας μεταμορφώσεως θεασόμεθα, οὐδαμῶς πληκτικῶς εἰργόμενοι τῆς μακαρίας τοῦ Λόγου ἀφῆς κατὰ τὴν Μαγδαληνὴν Μαρίαν, κηπουρὸν εἶναι δόξασαν τὸν Κύριον Ἰησοῦν, καὶ μόνων τῶν ὑπὸ γένεσιν καὶ φθορὰν δημιουργὸν οὔπω μηδὲν ὑπὲρ τὴν αἴσθησιν εἶναι νομίζουσαν, ἀλλὰ καὶ ὀψόμεθα καὶ προσκυνήσομεν ζῶντα ἐκ νεκρῶν πρὸς ἡμᾶς τῶν θυρῶν κεκλεισμένων, γενόμενον, τῆς κατ' αἴσθησιν παντελῶς ἐν ἡμῖν ἐνεργείας ἀποσβεσθείσης, τόν τε Λόγον αὐτὸν καὶ Θεὸν πάντα ἐν πᾶσιν ὄντα, καὶ πάντα ἑαυτοῦ δι' ἀγαθότητα τὰ μὲν νοητὰ σῶμα, τὰ δὲ αἰσθητὰ ἱμάτιον πεποιηκότα γνωσόμεθα. Περι ὧν ἴσως εἰρῆσθαι δοκεῖν οὐκ ἀπεικὸς τό, «πάντες ὡς ἱμάτιον παλαιωθήσονται», διὰ τὴν ἐπικρατοῦσαν νοῦ τῶν ὁρωμένων φθοράν, καὶ «ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται», διὰ τὴν προσδοκωμένην τῆς ἀφθαρσίας χάριν.*

### *ΚΓ'*

### *Περὶ τῶν πέντε τρόπων τῆς φυσικῆς θεωρίας σύντομος ἐξήγησις.*

*Πρὸς τούτοις δὲ καὶ τοὺς λόγους εἰσόμεθα, τοὺς τελευταίους δηλαδὴ καὶ ἡμῖν ἐφικτούς, ὧν προβέβληται ἡ κτίσις διδάσκαλος, καὶ τοὺς αὐτοῖς συνημμένους πέντε τῆς θεωρίας*

69. Ματθ. 6,25. 70. Γεν. 39,12. 71. Ἰω. 20,15.
72. Ἰω. 20,26. 73. Ἑβρ. 1,11. 74. Ἑβρ. 1,12.

ἀνώτερη ἀπὸ τὴν τροφὴ καὶ τὸ σῶμα ἀπὸ τὸ φόρεμα;»[69]), μήπως κάποιο καιρὸ ἐλεγχθοῦμε καὶ συλληφθοῦμε νὰ μὴν ἔχομε τίποτε ἀπὸ αὐτά, ἀφοῦ δὲ θὰ ἔχομε συλλάβει τὸ λόγο ποὺ ὑπάρχει καὶ δίνει ὕπαρξη στὰ πάντα, ὅπως ἔκανε ἐκείνη ἡ Αἰγύπτια, πού, κρατώντας τὰ φορέματα μόνο τοῦ Ἰωσήφ, ἀπέτυχε τελείως ἀπὸ τὴ συνεύρεση μὲ τὸν ἐραστή της[70].

Ἔτσι κι ἐμεῖς θὰ μπορέσομε νὰ δοῦμε τὰ ἐνδύματα τοῦ Λόγου, ἐννοῶ τοὺς λόγους τῆς Γραφῆς, καὶ τὰ φαινόμενα δημιουργήματα, λαμπρὰ κι ἔνδοξα μὲ τὴν ἐναλλαγὴ τῶν δογμάτων του, καὶ ποὺ μέσω τῆς ὑψηλῆς θεωρίας ἁρμόζουν στὸ θεῖο Λόγο, ἀφοῦ ἀνεβοῦμε στὸ ὄρος τῆς θείας μεταμόρφωσης, χωρὶς νὰ ἐμποδιζόμαστε καθόλου μ᾽ ἐπίπληξη γιὰ τὸ μακάριο ἄγγιγμα τοῦ Λόγου, ὅπως ἡ Μαγδαληνὴ Μαρία, ποὺ νόμισε ὅτι ὁ Κύριος Ἰησοῦς ἦταν ὁ κηπουρός[71], καὶ δημιουργὸς μόνο ἐκείνων ποὺ ἔχουν στὴν ἐξουσία τους ἡ γένεση καὶ ἡ φθορὰ καὶ δὲν ὑποψιαζόταν ἀκόμα τίποτε πὼς εἶναι πάνω ἀπὸ τὴν αἴσθηση, ἀλλὰ καὶ θὰ τὸν δοῦμε καὶ θὰ τὸν προσκυνήσομε ζωντανὸ ἀπὸ τοὺς νεκροὺς καὶ ἐρχόμενο σ᾽ ἐμᾶς ἐνῶ οἱ πόρτες θὰ εἶναι κλειστὲς[72], καὶ θὰ ἔχει νεκρωθεῖ τελείως κάθε ἐνέργεια μέσα μας τῆς αἴσθησης, καὶ θὰ γνωρίσομε αὐτόν, ποὺ εἶναι Λόγος καὶ Θεός, ὅτι εἶναι τὰ πάντα μέσα στὰ πάντα, κι ὅτι ἔχει κάνει ἀπὸ ἀγαθότητα ὅλα δικά του, τὰ νοητὰ σῶμα καὶ τὰ αἰσθητὰ ἔνδυμα, γι᾽ τὰ ὁποῖα ἴσως δὲν φαίνεται ἀταίριαστο νὰ ποῦμε· «ὅλοι θὰ παλιώσουν ὅπως τὸ ἔνδυμα»[73], ἐξαιτίας τῆς φθορᾶς τῶν φαινομένων ποὺ ξεπερνᾶ τὸ νοῦ, «καὶ σὰν ἔνδυμα θὰ τοὺς τυλίξεις, καὶ θὰ ἀλλάξουν»[74], ἐξαιτίας τῆς χάριτος τῆς ἀφθαρσίας ποὺ προσδοκοῦμε.

## 23

### Σύντομη ἐξήγηση γιὰ τοὺς πέντε τρόπους τῆς φυσικῆς θεωρίας.

Ἐκτὸς ἀπὸ αὐτὰ θὰ μάθουμε καὶ τοὺς λόγους, τοὺς τελευταίους καὶ προσιτοὺς στὴν νόησή μας, ποὺ ὁ δάσκαλός τους ἡ κτίση προβάλλει, καὶ τοὺς πέντε τρόπους τῆς θεωρίας ποὺ συν-

*ους, οἷς διαιροῦντες τὴν κτίσιν οἱ ἅγιοι τοὺς ἐπ' αὐτῇ μυστικοὺς μετ' εὐσεβείας συνελέξαντο λόγους, εἰς οὐσίαν καὶ κίνησιν καὶ διαφοράν, κρᾶσιν τε καὶ θέσιν αὐτὴν ἐπιμερίσαντες. Ὧν τρεῖς μὲν ἔφασαν εἶναί τε πρὸς ἐπίγνωσιν τοῦ Θεοῦ προηγουμένως καὶ προβεβλῆσθαι χειραγωγικούς, τὸν κατ' οὐσίαν, τὸν κατὰ κίνησιν, τὸν κατὰ διαφοράν, δι' ὧν ὁ Θεὸς γνωστὸς τοῖς ἀνθρώποις γίνεται ἐκ τῶν ὄντων τὰς περὶ αὐτοῦ ἐμφάσεις συλλεγομένοις ὡς δημιουργοῦ καὶ προνοητοῦ καὶ κριτοῦ· δύο δὲ παιδαγωγικοὺς πρὸς ἀρετὴν καὶ τὴν πρὸς Θεὸν οἰκείωσιν, τὸν κατὰ κρᾶσιν καὶ τὸν κατὰ θέσιν, δι' ὧν τυπούμενος ὁ ἄνθρωπος θεὸς γίνηται, τὸ Θεὸς εἶναι παθὼν ἐκ τῶν ὄντων, ὅλην τοῦ Θεοῦ τὴν κατ' ἀγαθότητα ἔμφασιν κατὰ νοῦν ὥσπερ ὁρῶν, καὶ ἑαυτῷ κατὰ λόγον ταύτην εἰλικρινεστάτην μορφούμενος. Ὁ γὰρ δι' εὐσεβοῦς γνώσεως, φασίν, ὁ καθαρὸς ὁρᾶν πέφυκε νοῦς, τοῦτο καὶ παθεῖν δύναται, αὐτὸ ἐκεῖνο κατὰ τὴν ἕξιν δι' ἀρετῆς γινόμενος.*

*Οἷον, τὴν μὲν οὐσίαν θεολογίας εἶναι διδάσκαλον, δι' ἧς τῶν ὄντων τὸ αἴτιον ἐπιζητοῦντες δι' αὐτῶν ὅτι ἔστι διδασκόμεθα, τὸ τίποτε εἶναι τοῦτο κατ' οὐσίαν γνῶναι μὴ ἐπιχειροῦντες, ὅτι μηδὲ ἔστιν ἐμφάσεως ἐν τοῖς οὖσι τούτου προβολή, δι' ἧς κἂν ποσῶς ὡς δι' αἰτιατοῦ πρὸς τὸ αἴτιον ἀνανεύσωμεν· τὴν δὲ κίνησιν τῆς τῶν ὄντων προνοίας εἶναι ἐμφαντικήν, δι' ἧς τῶν γεγονότων τὴν κατ' οὐσίαν ἑκάστου κατ' εἶδος ἀπαράλλακτον ταυτότητα καὶ ὡσαύτως ἀπαρεγχείρητον διεξαγωγὴν θεωροῦντες, τὸν συνέχοντα καὶ φυλάττοντα καθ' ἕνωσιν ἄρρητον ἀλλήλων εὐκρινῶς ἀφωρισμένα τὰ πάντα καθ' οὓς ὑπέστησαν ἕκαστα λόγους ἐννοοῦμεν· τὴν διαφορὰν δὲ τῆς κρίσεως εἶναι μηνυτικήν, καθ' ἣν διανομέα σοφὸν ἐκ τῆς ἐν ἑκάστῳ τῶν ὄντων συμμέτρου τῷ ὑποκειμένῳ τῆς οὐσίας φυσικῆς δυνάμεως τῶν καθ' ἕκαστα λόγων εἶναι τὸν Θεὸν παιδευόμεθα· πρόνοιαν δέ φημι νοῦ, οὐ τὴν ἐπιστρεπτικήν, καὶ οἷον οἰκονομικὴν τῆς*

δέονται μ' αὐτούς, μὲ τοὺς ὁποίους οἱ ἅγιοι, διαιρώντας τὴν κτίση, μάζεψαν μ' εὐλάβεια τοὺς μυστικοὺς λόγους, ἐπιμερίζοντας τὴν κτίση σὲ οὐσία, κίνηση, διαφορά, κράση καὶ θέση. Ἀπὸ αὐτοὺς δίδαξαν ὅτι οἱ τρεῖς εἶναι κατὰ προτεραιότητα πρὸς ἐπίγνωση τοῦ Θεοῦ καὶ ὅτι ἔχουν προβληθεῖ ὡς χειραγωγικοί, καὶ εἶναι ὁ τρόπος τῆς οὐσίας, τῆς κίνησης καὶ τῆς διαφορᾶς, μὲ τοὺς ὁποίους ὁ Θεὸς γίνεται γνωστὸς ἀπὸ τὰ δημιουργήματα στοὺς ἀνθρώπους, ποὺ συγκεντρώνουν ἀπὸ τὰ ὄντα τὶς ἔννοιες γι' αὐτὸν ὡς δημιουργὸ καὶ προνοητὴ καὶ κριτή. Καὶ τοὺς δύο ἀπὸ αὐτοὺς τοὺς ὀνόμασαν παιδαγωγικοὺς πρὸς τὴν ἀρετὴ καὶ τὴν οἰκείωση μὲ τὸ Θεό, τὸν τρόπο τῆς κράσης καὶ τῆς θέσης, μὲ τοὺς ὁποίους μορφοποιεῖται ὁ ἄνθρωπος καὶ γίνεται θεός, τὸ ὅτι εἶναι Θεὸς τὸ παθαίνει ἀπὸ τὰ ὄντα, ποὺ εἶναι σὰ νὰ βλέπει μὲ τὸ νοῦ του ὅλη τὴν ἔννοια τῆς ἀγαθότητας τοῦ Θεοῦ, καὶ τὴν ὁποία ἀποτυπώνει μέσα του μὲ τὸ λόγο καθαρότατη. Γιατὶ λένε, ἐκεῖνο ποὺ ὁ καθαρὸς νοῦς τὸ βλέπει ἀπὸ τὴ φύση του μὲ εὐσεβὴ γνώση, αὐτὸ μπορεῖ καὶ νὰ τὸ πάθει, γινόμενος μὲ τὴν ἀπόκτηση τῆς ἀρετῆς ἐκεῖνο τὸ ἴδιο.

Γιὰ παράδειγμα, ἡ οὐσία εἶναι δάσκαλος τῆς θεολογίας, μὲ τὴν ὁποία ἀναζητοῦμε τὸν αἴτιο τῶν ὄντων κι ἀπὸ αὐτὰ διδασκόμαστε ὅτι ὑπάρχει, χωρὶς ὅμως νὰ ἐπιχειροῦμε νὰ γνωρίσομε τί εἶναι αὐτὸ στὴν οὐσία του, ἐπειδὴ οὔτε κἂν ὑπάρχει ἡ προβολὴ τῆς ἔννοιας αὐτῆς στὰ ὄντα, μέσω τῆς ὁποίας νὰ ὑψωθοῦμε κατὰ κάποιο τρόπο σὰν ἀπὸ τὸ ἀποτέλεσμα στὴν αἰτία. Ἡ κίνηση πάλι εἶναι αὐτὴ ποὺ φανερώνει τὴν πρόνοια τῶν ὄντων, μὲ τὴν ὁποία θεωροῦμε τὴν κατ' οὐσία ἀμετάβλητη ταυτότητα τῶν δημιουργημάτων κατὰ εἶδος, καθὼς ἐπίσης καὶ μὲ τὴν ἀπαρεμπόδιστη ἐξέλιξη ἐννοοῦμε αὐτὸν ποὺ συγκρατεῖ καὶ διαφυλάττει σὲ ἀνέκφραστη ἕνωση, χωρισμένα ὡστόσο μὲ σαφήνεια, τὰ ὄντα τὸ ἕνα ἀπὸ τὰ ἄλλα σύμφωνα μὲ τὸ λόγο ὕπαρξης τοῦ καθενός. Ἡ διαφορὰ πάλι εἶπαν ὅτι εἶναι αὐτὴ ποὺ ἐξαγγέλλει τὴν κρίση· αὐτὴ μᾶς διδάσκει ἀπὸ τὴ σύμμετρη φυσικὴ δύναμὴ στὸ ὑποκείμενο τῆς οὐσίας καθενὸς ὄντος ὅτι ὁ σοφὸς διανομέας εἶναι ὁ Θεός. Πρόνοια τοῦ νοῦ λέγω ὄχι αὐτὴν ποὺ στρέφει καὶ

*τῶν προνοουμένων ἀφ᾽ ὧν οὐ δεῖ ἐφ᾽ ἃ δεῖ ἐπαναγωγῆς, ἀλλὰ τὴν συνεκτικὴν τοῦ παντός, καὶ καθ᾽ οὓς τὸ πᾶν προηγουμένως ὑπέστη λόγους συντηρητικήν· καὶ κρίσιν, οὐ τὴν παιδευτικὴν καὶ οἷον κολαστικὴν τῶν ἁμαρτανόντων, ἀλλὰ τὴν σωστικὴν καὶ ἀφοριστικὴν τῶν ὄντων διανομήν, καθ᾽ ἣν τῶν γεγονότων ἕκαστα τοῖς καθ᾽ οὓς γεγένηται συνημμένα λόγοις ἀπαράβατον ἔχει τὴν ἐν τῇ φυσικῇ ταυτότητι ἀναλλοίωτον νομιμότητα, καθὼς ἐξ ἀρχῆς ὁ δημιουργὸς περὶ τοῦ εἶναι καὶ τί εἶναι καὶ πῶς καὶ ὁποῖον ἕκαστον ἔκρινέ τε καὶ ὑπεστήσατο· ἐπεί τοί γε ἡ ἄλλως λεγομένη πρόνοια καὶ κρίσις ταῖς ἡμῶν προαιρετικαῖς ὁρμαῖς παραπεπήγασι, τῶν μὲν φαύλων πολυτρόπως ἀπείργουσαι, πρὸς δὲ τὰ καλὰ σοφῶς ἐπιστρέφουσαι, καὶ τῷ διευθύνειν τὰ οὐκ ἐφ᾽ ἡμῖν ἐναντίως τοῖς ἐφ᾽ ἡμῖν καὶ παροῦσαν καὶ μέλλουσαν καὶ παρελθοῦσαν κακίαν ἐκτέμνουσαι.*

*Οὐκ ἄλλην δὲ καὶ ἄλλην πρόνοιαν διὰ τούτων εἶναι λέγω καὶ κρίσιν. Μίαν γὰρ καὶ τὴν αὐτὴν οἶδα κατὰ τὴν δύναμιν, διάφορον δὲ ὡς πρὸς ἡμᾶς καὶ πολύτροπον τὴν ἐνέργειαν ἔχουσαν. Τὴν δὲ κρᾶσιν τῶν ὄντων, ἤτοι σύνθεσιν, τῆς ἡμετέρας γνώμης εἶναι σύμβολον. Κραθεῖσα γὰρ αὕτη ταῖς ἀρεταῖς καὶ ἑαυτῇ ταύτας κεράσασα, τὸν κατὰ διάνοιαν θεοπρεπέστατον καὶ αὐτὴ συνίστησι κόσμον. Τὴν δὲ θέσιν τοῦ κατὰ γνώμην ἤθους εἶναι διδάσκαλον, ὡς παγίως ἔχειν περὶ τὸ εὖ δόξαν τῷ ῥυθμίζειν ἀντιλόγῳ ὀφείλοντος, ἥκιστα τοῖς συμπίπτουσιν ἐκ τῆς κατὰ λόγον βάσεως ἀλλοίωσιν τὴν οἱανοῦν δεχομένου. Συνάψαντες δὲ πάλιν τῇ κινήσει τὴν θέσιν, καὶ τὴν κρᾶσιν τῇ διαφορᾷ, εἰς οὐσίαν καὶ διαφορὰν καὶ κίνησιν τὴν τοῦ παντὸς ἀδιαιρέτως διέκριναν ὑπόστασιν, καὶ τῷ κατ᾽ ἐπίνοιαν λόγῳ τεχνικῶς ἐνθεωρεῖσθαι τοῖς αἰτιατοῖς διαφόρως τὸ αἴτιον κατανοήσαντες*

κατὰ κάποιο τρόπο οἰκονομεῖ τὴν ἐπαναφορὰ τῶν προνοουμένων ἀπὸ αὐτὰ ποὺ δὲν πρέπει σ' αὐτὰ ποὺ πρέπει, ἀλλὰ τὴν πρόνοια ποὺ συνέχει τὸ πᾶν καὶ ποὺ τὸ συντηρεῖ σύμφωνα μὲ τοὺς λόγους κατὰ τοὺς ὁποίους εἶχε λάβει προηγουμένως ὕπαρξη. Καὶ κρίση, ὄχι τὴν παιδαγωγικὴ καὶ ποὺ μὲ κάποιο τρόπο τιμωρεῖ ἐκείνους ποὺ κάνουν σφάλματα, ἀλλὰ τὴ διανομὴ ποὺ σώζει καὶ χωρίζει τὰ ὄντα, σύμφωνα μὲ τὴν ὁποία κάθε κατηγορία τῶν ὄντων συνδεμένα μὲ τοὺς λόγους μὲ τοὺς ὁποίους δημιουργήθηκαν ἔχουν ἀπαράβατη τὴν ἀναλλοίωτη μέσα στὴ φυσικὴ ταυτότητά τους νομιμότητα, ὅπως ξεχώρισε καὶ ἔδωσε ὕπαρξη ὁ δημιουργὸς στὸ καθένα ἀπὸ τὴν ἀρχὴ σχετικὰ μὲ τὸ εἶναι (οὐσία) καὶ τί εἶναι (ὑπόσταση) καὶ πῶς εἶναι (τὸν τρόπο) καὶ τί λογῆς εἶναι (τὴν ποιότητα). Ἐπειδὴ αὐτή, ποὺ ἀλλιῶς λέγεται πρόνοια καὶ κρίση, συνοδεύουν σταθερὰ τὶς προαιρετικὲς ὁρμές μας, καὶ ἀπὸ τὸ ἕνα μέρος μᾶς ἐμποδίζουν μὲ πολλοὺς τρόπους ἀπὸ τὰ φαῦλα, καὶ ἀπὸ τὸ ἄλλο μᾶς στρέφουν μὲ σοφία πρὸς τὰ καλά, καὶ μὲ τὸ νὰ κατευθύνουν ὅσα δὲν ἐξουσιάζομε ἀντίθετα μ' αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς κόβουν ἀπὸ τὴ ρίζα τὴν παρούσα καὶ τὴ μελλοντικὴ καὶ τὴν περασμένη κακία.

Μὲ αὐτὰ δὲ θέλω νὰ πῶ πὼς ὑπάρχουν δύο εἴδη πρόνοιας καὶ κρίσης. Τὴν ξέρω μιὰ καὶ τὴν αὐτὴ κατὰ τὴ δύναμη, ἔχει ὅμως ἀναφορικὰ μ' ἐμᾶς ἐνέργεια διαφορετικὴ καὶ ποὺ ἐκδηλώνεται μὲ πολλοὺς τρόπους. Ἡ κράση πάλι τῶν ὄντων, δηλαδὴ ἡ σύνθεσή τους, εἶναι σύμβολο τῆς γνώμης μας. Ἀφοῦ δηλαδὴ ἀνακραθεῖ αὐτὴ μὲ τὶς ἀρετὲς κι ἀναμείξει κι αὐτὲς μὲ τὸν ἑαυτό της συνιστᾶ κι αὐτὴ τὸν θεοπρεπέστατο διανοητικὸ κόσμο. Ἡ θέση τέλος εἶναι δάσκαλος τοῦ σύμφωνου μὲ τὴν ἐλεύθερη γνώμη μας ἤθους, ἐπειδὴ ὀφείλει νὰ μένει σταθερὸς στὴν ἀπόφασή του ποὺ πῆρε μὲ ἀντίλογο καὶ ποὺ ἐλάχιστα δέχεται τὴν ὁποια ἀλλοίωση ἀπὸ τὴ σύμφωνη μὲ τὸ λόγο βάση μὲ τὰ συμπτωματικὰ περιστατικά. Κι ἀφοῦ ἕνωσαν πάλι τὴ θέση μὲ τὴν κίνηση καὶ τὴν κράση μὲ τὴ διαφορά, διέκριναν ἀδιαίρετα τὴν ὑπόσταση τοῦ παντὸς σὲ οὐσία, διαφορὰ καὶ κίνηση, καὶ ἀφοῦ κατενόησαν μὲ τὸν ἐπινοητικὸ λόγο μὲ τέχνη ὅτι τὸ αἴτιο ἐνθεω-

*καὶ εἶναι καὶ σοφὸν εἶναι καὶ ζῶν εἶναι εὐσεβῶς τοῦτο κατέλαβον. Καὶ τὸν περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος θεοτελῆ καὶ σωτήριον ἐντεῦθεν ἐδιδάχθησαν λόγον, καθ' ὃν οὐ τὸν τοῦ εἶναι μόνον ἁπλῶς τοῦ αἰτίου λόγον μυστικῶς ἐφωτίσθησαν, ἀλλὰ καὶ τὸν τῆς ὑπάρξεως τρόπον εὐσεβῶς ἐμυήθησαν. Καὶ πάλιν κατὰ μόνην τὴν θέσιν πᾶσαν τὴν κτίσιν περιαθρήσαντες τοὺς εἰρημένους πέντε εἰς τρεῖς συνέστειλαν θεωρίας τρόπους, ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ ἠθικῆς καὶ φυσικῆς καὶ θεολογικῆς φιλοσοφίας διδάσκαλον τὴν κτίσιν εἶναι τῷ καθ' ἑαυτὴν λόγῳ ἐπεγνωκότες.*

*Πάλιν δὲ ἐκ μόνης τῆς διαφορᾶς τὴν κτίσιν θεωρήσαντες, τουτέστιν ἐκ τῶν περιεχόντων καὶ περιεχομένων, λέγω δὲ τοῦ οὐρανοῦ καὶ τῶν ἐντός, εἰς δύο τοὺς τρεῖς συνήγαγον τρόπους, σοφίαν φημὶ καὶ φιλοσοφίαν, τὴν μὲν ὡς περιεκτικὴν καὶ πάντας θεοπρεπῶς τοὺς εὐσεβεῖς ἐπ' αὐτῆς λεγομένους ἐπιδεχομένην τρόπους, καὶ τοὺς περὶ τῶν ἄλλων ἐντὸς ἑαυτῆς μυστικούς τε καὶ φυσικοὺς περικλείουσαν λόγους, τὴν δὲ ὡς ἤθους καὶ γνώμης, πράξεώς τε καὶ θεωρίας, καὶ ἀρετῆς καὶ γνώσεως συνεκτικήν, καὶ οἰκειότητι σχετικῇ πρὸς τὴν σοφίαν ὡς αἰτίαν ἀναφερομένην. Καὶ πάλιν κατὰ μόνην τὴν κράσιν, ἤτοι τὴν ἐναρμόνιον τοῦ παντὸς σύνθεσιν, τὴν κτίσιν κατανοήσαντες, καὶ διὰ πάντων τῶν ἀλλήλοις ἀρρήτως εἰς ἑνὸς συμπλήρωσιν κόσμου συνδεδεμένων μόνον τὸν συνδέοντα καὶ ἐπισφίγγοντα τῷ ὅλῳ τὰ μέρη καὶ ἀλλήλοις δημιουργὸν ἐννοήσαντες Λόγον τοὺς δύο εἰς ἕνα θεωρίας συνέκλεισαν τρόπον, καθ' ὃν ἁπλῇ προσβολῇ διὰ τῶν ἐν τοῖς οὖσι λόγων πρὸς τὸ αἴτιον νοῦν διαπορθμεύσαντες, καὶ μόνῳ αὐτῷ ὡς συναγωγῷ τῶν ἐξ αὐτοῦ πάντων καὶ ἑλκτικῷ προσδήσαντες, τοῖς καθ' ἕκαστα τῶν ὅλων τῷ ὑπερβαθῆναι οὐκέτι διαχεόμενοι λόγοις, διὰ τοῦ πεπεῖσθαι σαφῶς μόνον τὸν Θεὸν κυρίως εἶναι λοιπὸν ἐκ τῆς πρὸς τὰ ὄντα ἀκριβοῦς ἐνατενίσεως, καὶ οὐσίαν τῶν ὄντων καὶ κίνησιν καὶ τῶν διαφερόντων εὐκρίνειαν, καὶ συνοχὴν ἀδιάλυτον τῶν*

ρεῖται μὲ διάφορο τρόπο στὰ αἰτιατά, τὸ κατάλαβαν μ' εὐσέβεια καὶ ὡς εἶναι καὶ σοφὸ εἶναι καὶ ζωντανὸ εἶναι. Κι ἀπὸ ἐδῶ βέβαια διδάχθηκαν τὸν θεοποιὸ καὶ σωτήριο λόγο γιὰ τὸν Πατέρα καὶ τὸν Υἱὸ καὶ τὸ ἅγιο Πνεῦμα, σύμφωνα μὲ τὸν ὁποῖο φωτίστηκαν μυστικὰ ὄχι ἁπλῶς μόνο τὸ λόγο τοῦ αἰτίου, ἀλλὰ μυήθηκαν μ' εὐσέβεια καὶ στὸν τρόπο τῆς ὕπαρξης. Καὶ πάλι σύμφωνα μὲ τὴ θέση μόνο, ἀφοῦ κοίταξαν ὁλόγυρα σ' ὅλη τὴ φύση, συνάθροισαν σὲ τρεῖς τοὺς πέντε τρόπους τῆς θεωρίας ποὺ ἀναφέραμε, ἀναγνωρίζοντας ἀπὸ τὸν οὐρανό, τὴ γῆ καὶ τὰ ἐνδιάμεσα ὡς δάσκαλο τῆς φυσικῆς, τῆς ἠθικῆς καὶ θεολογικῆς φιλοσοφίας τὴν κτίση σύμφωνα μὲ τὸ λόγο της.

Καὶ πάλι θεωρώντας τὴν κτίση ἀπὸ τὴ διαφορὰ μόνο, δηλαδὴ ἀπὸ ὅσα περιέχουν καὶ ὅσα περιέχονται, ἐννοῶ τὸν οὐρανὸ καὶ ὅσα ἔχει μέσα του, περιόρισαν σὲ δύο τοὺς τρεῖς τρόπους, στὴ σοφία καὶ τὴ φιλοσοφία, τὴ μία γιατὶ εἶναι περιεκτικὴ κι ἐπιδέχεται ὅπως πρέπει στὸ Θεὸ ὅλους τοὺς εὐσεβεῖς λόγους ποὺ ἀναφέρονται σ' αὐτὴν καὶ περικλείει μέσα της τοὺς μυστικοὺς καὶ φυσικοὺς λόγους γιὰ τὰ ἄλλα· καὶ τὴν ἄλλη, ἐπειδὴ εἶναι ὁ συνεκτικὸς δεσμὸς τοῦ ἤθους καὶ τῆς γνώμης, τῆς πράξης καὶ τῆς θεωρίας, καὶ τῆς ἀρετῆς καὶ τῆς γνώσης, καὶ ἀναφερόμενη ὡς αἰτία στὴ σχέση της μὲ τὴ σοφία. Καὶ πάλι κατανοώντας τὴν κτίση ὡς πρὸς τὴν κράση μόνο, δηλαδὴ τὴν ἁρμονικὴ σύνθεση τοῦ παντός, καὶ διαμέσου ὅσων εἶναι ἄρρητα συνδεδεμένα μεταξύ τους γιὰ νὰ συμπληρωθεῖ ἕνας κόσμος καὶ ποὺ δένουν στενὰ τὰ μέρη μὲ τὸ ὅλο καὶ μεταξύ τους, ἐννοώντας τὸ δημιουργὸ Λόγο, ἔκλεισαν τοὺς δύο τρόπους τῆς θεωρίας σὲ ἕνα, κατὰ τὸν ὁποῖο μὲ ἁπλὴ προσέγγιση διαμέσου τῶν λόγων ποὺ εἶναι μέσα στὰ ὄντα, ἀφοῦ διαπόρθμευσαν τὸ νοῦ πρὸς τὸ αἴτιο καὶ ἀφοῦ τὸν προσέδεσαν σ' αὐτὸ μονάχα, ἐπειδὴ αὐτὸ συνάγει καὶ ἕλκει ὅσα ξεκινοῦν ἀπὸ αὐτό, ἀφοῦ δὲν διασκορπίζονται πιὰ στοὺς ἐπιμέρους λόγους τῶν ὅλων ποὺ τὶς εἶχαν ὑπερβεῖ, χάρη στὴν ξεκάθαρη πίστη ποὺ εἶχαν ἀπὸ τὴ λεπτομερὴ ἐνατένιση τῶν ὄντων, ὅτι μόνο ὁ Θεὸς εἶναι αὐθεντικὰ καὶ οὐσία τῶν ὄντων, καὶ κίνηση, καὶ σαφὴς χωρισμὸς ὅσων διαφέρουν, καὶ

*κεκραμμένων, καὶ ἵδρυσιν ἀμετάθετον τῶν τεθειμένων, καὶ πάσης ἁπλῶς τῆς ὁπωσοῦν νοουμένης οὐσίας καὶ κινήσεως καὶ διαφορᾶς, κράσεώς τε καὶ θέσεως αἴτιον, σοφῶς δι' ἐμφεροῦς ὁμοιότητος τὴν κατὰ τὸν αἰσθητὸν αἰῶνα μυστικὴν θεωρίαν ἐπὶ τὸν κατὰ διάνοιαν ἐν Πνεύματι διὰ τῶν ἀρετῶν συμπληρούμενον κόσμον μετήνεγκαν.*

*Καθ' ἣν τοὺς εἰρημένους τρόπους εἰς ἕνα συναγαγόντες τὸν διαφόροις ἀρετῶν εἴδεσι τὴν τοῦ κατὰ διάνοιαν γνωμικοῦ κόσμου οὐσίαν ἐκπληροῦντα δι' ὅλου λόγον μονιότατον ἑαυτοῖς, ὡς ἐφικτόν, ἐναπωμόρξαντο, πάντας δηλαδὴ περάσαντες τοὺς τῶν ὄντων καὶ αὐτοὺς τοὺς τῶν ἀρετῶν λόγους, μᾶλλον δὲ μετὰ τούτων πρὸς τὸν ὑπὲρ τούτους, καὶ εἰς ὃν οὗτοι καὶ ἐξ οὗ τὸ εἶναι τούτοις ἐστὶν ὑπερούσιον καὶ ὑπεράγαθον Λόγον ἀγνώστως ἀναδραμόντες· καὶ ὅλοι ὅλῳ κατὰ τὸ ἐφικτὸν τῆς ἐνούσης αὐτοῖς φυσικῆς δυνάμεως ἑνωθέντες τοσοῦτον ἐνδεχομένως ὑπ' αὐτοῦ ἐποιώθησαν, ὥστε καὶ ἀπὸ μόνου γνωρίζεσθαι, οἷον ἔσοπτρα διειδέστατα, ὅλου τοῦ ἐνορῶντος Θεοῦ Λόγου τὸ εἶδος ἀπαραλείπτως διὰ τῶν θείων αὐτοῦ γνωρισμάτων φαινόμενον ἔχοντες, τῷ ἐλλειφθῆναι μηδένα τῶν παλαιῶν χαρακτήρων, οἷς μηνύεσθαι πέφυκε τὸ ἀνθρώπινον, πάντων εἰξάντων τοῖς ἀμείνοσιν, οἷον ἀὴρ ἀφεγγὴς φωτὶ δι' ὅλου μετεγκραθείς.*

## *ΚΔ'*

### *Θεωρία εἰς τὸν Μελχισεδέκ.*

*Ὅπερ, οἶμαι, γνοὺς καὶ παθὼν ὁ θαυμαστὸς ἐκεῖνος καὶ μέγας Μελχισεδέκ, περὶ ὃν τὰ μεγάλα καὶ θαυμαστὰ παρὰ τῇ Γραφῇ ὁ θεῖος διεξέρχεται λόγος, χρόνου καὶ φύσεως ὑπεράνω γενέσθαι καὶ ὁμοιωθῆναι τῷ Υἱῷ τοῦ Θεοῦ κατηξιώθη, τοιοῦτος ἔξει δηλαδὴ κατὰ τὴν χάριν ὡς ἐφικτὸν γενόμενος, οἷος αὐτὸς ὁ δοτὴρ τῆς χάριτος κατὰ τὴν οὐσίαν ὑπάρχων πιστεύεται.*

ἀδιάλυτη συνοχὴ τῶν ἀναμιγμένων, καὶ ἀμετάθετη θεμελίωση ὅσων ἔχουν τεθεῖ, καὶ αἴτιο γενικὰ κάθε οὐσίας ποὺ νοεῖται μ' ὁποιοδήποτε τρόπο, καὶ εἶναι καὶ κίνησης καὶ διαφορᾶς καὶ κράσης καὶ θέσης, μετέφεραν μὲ σοφία καὶ μὲ στενὴ ὁμοιότητα τὴ μυστικὴ θεωρία τοῦ αἰσθητοῦ αἰώνα στὸν πνευματικὸ κόσμο τῆς διάνοιας ποὺ συμπληρώνουν οἱ ἀρετές.

Κατὰ τὴ θεωρία αὐτή, ἀφοῦ συγκέντρωσαν τοὺς τρόπους ποὺ ἔχομε πεῖ σὲ ἕναν, ἀποτύπωσαν μέσα τους, ὅσο γίνεται, τὸν μονότατο Λόγο, ποὺ γεμίζει ἐξολοκλήρου μὲ τὰ διάφορα εἴδη τῶν ἀρετῶν τὴν οὐσία τοῦ κόσμου τῆς διάνοιας καὶ τῆς θέλησης, ἀφοῦ ξεπέρασαν δηλαδὴ ὅλους τοὺς λόγους τῶν ὄντων καὶ τοὺς λόγους ἀκόμα τῶν ἀρετῶν, ἢ καλύτερα μαζὶ μ' αὐτοὺς στὸν πάνω ἀπὸ αὐτούς, ἀνέτρεξαν μὲ τρόπο ἄγνωστο στὸν ὑπερούσιο καὶ ὑπεράγαθο Λόγο ὅπου κατευθύνονται καὶ ἀπὸ τὸν ὁποῖο ἔλαβαν τὸ εἶναι. Ἔτσι ἑνωμένοι ὅλοι μὲ ὅλον, ὅσο ἦταν τὸ ὅριο τῆς φυσικῆς δύναμης μέσα τους, ἔλαβαν σὲ τόσο βαθμὸ τὴν ποιότητά του, ὥστε νὰ γνωρίζεται, σὰν ἀπὸ κάτοπτρα ὁλοκάθαρα, χωρὶς ἔλλειψη ἡ μορφὴ ὅλου τοῦ Θεοῦ Λόγου ποὺ βλέπει μέσα τους καὶ φαίνεται μέσα τους μὲ τὰ θεῖα γνωρίσματά του, ἐπειδὴ δὲν ἔχει παραλειφθεῖ κανένα ἀπὸ τὰ παλιὰ χαρακτηριστικὰ μὲ τὰ ὁποῖα ἀπὸ τὴ φύση του φανερώνεται ὁ ἄνθρωπος, ἀφοῦ ὑποχώρησαν ὅλα στὰ καλύτερα, ἔτσι ὅπως ἀέρας ἄφωτος ποὺ ἔχει ἀνακατευθεῖ μὲ ἄπλετο φῶς.

## 24

### Ἑρμηνεία γιὰ τὸ Μελχισεδέκ.

Αὐτό, νομίζω, μαθαίνοντας καὶ παθαίνοντας ἐκεῖνος ὁ θαυμαστὸς καὶ μέγας Μελχισεδέκ, γιὰ τὸν ὁποῖο ὁ θεῖος λόγος ἀφηγεῖται στὴ Γραφὴ τὰ θαυμαστὰ καὶ μεγάλα, ἀξιώθηκε νὰ γίνει ἀνώτερος ἀπὸ τό χρόνο καὶ τὴ φύση καὶ νὰ γίνει ὅμοιος μὲ τὸν Υἱὸ τοῦ Θεοῦ, ἀφοῦ δηλαδὴ ἀπέκτησε, ὅσο εἶναι δυνατό, τὴν ὁμοιότητα κατὰ χάρη κι ἔγινε τέτοιος ποὺ πιστεύομε πὼς εἶναι κατὰ τὴν οὐσία ὁ χορηγὸς τῆς χάριτος. Γιατὶ τὰ ἐπίθετα «ἀπά-

*Τὸ γὰρ «ἀπάτωρ καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος» περὶ αὐτοῦ λεγόμενον, οὐκ ἄλλο μηνύειν ὑπονοῶ, ἢ τὴν ἐγγενομένην αὐτῷ ἐκ τῆς κατ' ἀρετὴν ἀκροτάτης χάριτος τελείαν τῶν φυσικῶν γνωρισμάτων ἀπόθεσιν· τὸ δὲ «μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχειν», τὴν χρόνου παντὸς καὶ αἰῶνος ἰδιότητα περιγράφουσα γνῶσιν, καὶ πάσης ὑλικῆς καὶ ἀΰλου οὐσίας τὴν ὕπαρξιν ὑπερβαίνουσαν θεωρίαν μαρτυρεῖ· τὸ δὲ «ἀφωμοιωμένος τῷ Υἱῷ τοῦ Θεοῦ μένει εἰς τὸ διηνεκὲς ἱερεύς», τάχα μέχρι τέλους καθ' ἕξιν ἄτρεπτον τῆς θεοειδεστάτης ἀρετῆς καὶ τῆς θείας καὶ πρὸς τὸν Θεον ἐνατενίσεως τὸ νοερὸν ὄμμα ἀνεπίμυστον δυνηθῆναι φυλάξαι παραδηλοῖ. Τῇ φύσει γὰρ ἡ ἀρετὴ μάχεσθαι πέφυκε, καὶ χρόνῳ καὶ αἰῶνι ἡ ἀληθὴς θεωρία, ἵνα ἡ μὲν ἀδούλωτος μένοι τοῖς ἄλλοις ὅσα μετὰ Θεὸν εἶναι πιστεύεται καὶ ἀκράτητος, ὡς Θεὸν μόνον εἰδυῖα γεννήτορα, ἡ δὲ ἀπερίγραφος, οὐδενὶ τῶν ἀρχὴν ἢ τέλος ἐχόντων ἐναπομένουσα, ὡς Θεὸν δι' ἑαυτῆς εἰκονίζουσα, τὸν πάσης ἀρχῆς καὶ τέλους ὁριστικόν, καὶ πᾶσαν νόησιν τῶν νοούντων κατ' ἔκστασιν ἄρρητον πρὸς ἑαυτὸν ἕλκοντα.*

*Ἐξ ὧν ἡ θεία ὁμοίωσις δείκνυται, γνώσεώς τέ φημι καὶ ἀρετῆς, καὶ δι' ὧν ἡ εἰς μόνον τὸν Θεὸν ἀκλόνητος ἀγάπη τοῖς ἀξίοις φυλάττεται, καθ' ἣν τὸ τῆς υἱοθεσίας ἀξίωμα θεοπρεπῶς διδόμενον διηνεκῶς ἐντυγχάνειν Θεῷ καὶ παρεστάναι χαρίζεται, πρὸς δυσώπησιν αὐτὴν τοῦ ἐντυγχάνοντος τὴν θείαν ὁμοίωσιν παρεχόμενον. Ὅθεν εἰκότως ὑπολαμβάνω μὴ διὰ χρόνου καὶ φύσεως, ὑφ' ἃ φυσικῶς ἐτέλει ὁ μέγας Μελχισεδέκ, βίῳ καὶ λόγῳ ὑπερβαθέντων ἤδη καὶ παντελῶς καταλελειμμένων προσαγορευθῆναι δεῖν, «ὁ θεῖος αὐτὸν ἐδικαίωσε λόγος», ἀλλ' ἐξ ὧν καὶ δι' ὧν ἑαυτὸν μετεποίησε γνωμικῶς, ἀρετῆς λέγω καὶ γνώσεως, ὀνομασθῆναι. Ἐφ' ὧν γὰρ ἡ γνώμη γεν-*

---

75. Ἑβρ. 8,3.

τωρ καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος», λεγόμενα γι' αὐτόν, δὲ δηλώνουν τίποτε ἄλλο, νομίζω, παρὰ τὴν τέλεια ἀπόθεση τῶν φυσικῶν γνωρισμάτων, ποὺ πραγματοποιήθηκε μέσα του ἀπὸ τὴν ἀκρότατη χάρη λόγω τῆς ἀρετῆς του. Καὶ τὸ «ὅτι δὲν εἶχε οὔτε ἀρχὴ ἡμερῶν, οὔτε τέλος ζωῆς», μαρτυρεῖ τὴ γνώση ποὺ περικλείει τὴν ἔννοια κάθε χρόνου καὶ αἰώνα καὶ τὴ θεωρία ποὺ ὑπερβαίνει τὴν ὕπαρξη κάθε ὑλικῆς καὶ ἄυλης οὐσίας. Ἐπίσης τό, «ἔχοντας γίνει ἱερέας ὅμοιος μὲ τὸν Υἱὸ τοῦ Θεοῦ παραμένει στὸν αἰώνα»[75], ὑποδηλώνει ἴσως τὸ ὅτι μπόρεσε νὰ φυλάξει μέχρι τὸ τέλος σύμφωνα μὲ τὴν ἀμετάτρεπτη ἕξη τῆς θεόμορφης ἀρετῆς καὶ τῆς θείας ἐνατένισης πρὸς τὸ Θεὸ ἀκοίμητη τὴ νοερὴ ὅραση. Ἀπὸ τὴ φύση της ἡ ἀρετὴ μάχεται τὴ φύση, καὶ τὸν χρόνο καὶ τὸν αἰώνα ἡ ἀληθινὴ θεωρία, γιὰ νὰ μένει ἡ μία ἀδούλωτη στὰ ἄλλα ὅσα θεωροῦμε πὼς εἶναι μετὰ τὸ Θεό, καὶ ἀνυπότακτη σ' αὐτά, ἐπειδὴ ἀναγνωρίζει ὡς γεννήτορά της τὸ Θεὸ μόνο, καὶ ἡ ἄλλη νὰ εἶναι ἀπερίγραφη, ἀφοῦ δὲν παραμένει σὲ κανένα ἀπὸ ὅσα ἔχουν ἀρχὴ ἢ τέλος, ἐπειδὴ ἀπεικονίζει τὸ Θεό, ποὺ ὁρίζει κάθε ἀρχὴ καὶ κάθε τέλος καὶ ἕλκει πρὸς τὸν ἑαυτό του κάθε ἔκσταση ἐκείνων ποὺ νοοῦν κατὰ μιὰ ἄρρητη ἔκσταση.

Ἀπὸ αὐτὰ φαίνεται ἡ θεία ὁμοίωση, ἀπὸ τὴ γνώση δηλαδὴ καὶ τὴν ἀρετή, καὶ μέσω αὐτῶν φυλάγουν οἱ ἄξιοι τὴν ἀκλόνητη ἀγάπη τους στὸ Θεὸ μόνο[76], γιὰ τὴν ὁποία ἀγάπη παραχωρεῖται, κατὰ τρόπο θεοπρεπή, τὸ ἀξίωμα τῆς υἱοθεσίας, ποὺ χαρίζει στὸν υἱοθετούμενο τὸ νὰ εἶναι κοντὰ καὶ νὰ παραστέκεται ἀδιάκοπα στὸ Θεό, παρέχοντας τὴ θεία ὁμοίωση, γιὰ νὰ καμφθεῖ ὁ ἴδιος ὁ παρακαλούμενος. Γι' αὐτὸ νομίζω δικαιολογημένα ὅτι δὲν πρέπει ἀπὸ τὸ χρόνο καὶ τὴ φύση, ποὺ ἦταν φυσικὰ στὴν ἐξουσία τους ὁ Μελχισεδὲκ καὶ ποὺ μὲ τὸ βίο καὶ τὸ λόγο του τὰ εἶχε ἤδη ξεπεράσει καὶ τὰ εἶχε ἐγκαταλείψει τελείως, νὰ τοῦ ἀποδίδομε τὰ λεγόμενα, «τὸν δικαίωσε ὁ θεῖος λόγος», ἀλλὰ νὰ ὀνομαστεῖ ἀπὸ αὐτὰ καὶ μέσω αὐτῶν ποὺ ἄλλαξαν τὴ θέλησή του, ἐννοῶ τὴν ἀρετὴ καὶ τὴ γνώση. Γιατὶ σὲ ὁποιους ἡ θέληση

76. Βασικὸ σημεῖο τοῦ κεφ. ἡ περίοδος αὐτὴ λέει μὲ ἄλλη διατύπωση τὸ λόγο τοῦ Κυρίου «ὃ δ' ἂν ποιήσῃ καὶ διδάξῃ ...».

*ναίως διὰ τῶν ἀρετῶν τὸν δυσμαχώτατον τῆς φύσεως κατηγωνίσατο νόμον, καὶ τὴν χρόνου καὶ αἰῶνος ἰδιότητα διὰ γνώσεως ἀχράντως ἡ τοῦ νοῦ ὑπερίπταται κίνησις, τούτοις οὐκ ἔστιν ἐπιφημίσαι δίκαιον τῶν ἀπολειφθέντων ὡς γνώρισμα τὴν ἰδιότητα, ἀλλὰ μᾶλλον τὴν τῶν προσληφθέντων μεγαλοπρέπειαν, ἐξ ὧν καὶ ἐν οἷς μόνον εἰσὶ λοιπὸν καὶ ἐπιγινώσκονται. Ἐπεὶ καὶ ἡμεῖς φυσικῶς τοῖς ὁρατοῖς ἐπιβάλλοντες ἐκ τῶν χρωμάτων τὰ σώματα καὶ γνωρίζομεν καὶ ὀνομάζομεν, οἷον ὡς φῶς τὸν πεφωτισμένον ἀέρα, καὶ πῦρ τὴν οἱανοῦν πυρὸς ἐξημμένην ὕλην, καὶ λευκὸν τὸ λελευκασμένον σῶμα, καὶ ὅσα ἄλλα τοιουτότροπα.*

*Εἰ τοίνυν γνωμικῶς τὴν ἀρετὴν τῆς φύσεως καὶ τῶν κατ' αὐτὴν ἁπάντων προετίμησε, διὰ τὴν καλὴν τοῦ ἐφ' ἡμῖν ἀξιώματος αἵρεσιν, καὶ πάντα χρόνον καὶ αἰῶνα κατὰ τὴν γνῶσιν ὑπερηκόντισε, πάντα ὅσα μετὰ Θεὸν κατόπιν ἑαυτοῦ γνωστικῶς κατὰ τὴν θεωρίαν ποιησάμενος, οὐδενὶ τῶν ὄντων ἐμμείνας ᾧ ἐπιθεωρεῖται τὸ οἱονοῦν πέρας, ὁ θεῖος Μελχισεδέκ, πρὸς δὲ τὰς θείας καὶ ἀνάρχους καὶ ἀθανάτους οὐσίας τοῦ Θεοῦ διὰ τοῦ λόγου κατὰ χάριν ἐν Πνεύματι γεγένηται, καὶ σῶαν καὶ ἀληθῆ ἐν ἑαυτῷ φέρει τοῦ γεννήσαντος Θεοῦ τὴν ὁμοίωσιν (ἐπεὶ καὶ πᾶσα γέννησις ταὐτὸν τῷ γεννῶντι πέφυκεν ἀποτελεῖν τὸ γεννώμενον· «τὸ γὰρ γεγεννημένον», φησίν, «ἐκ τῆς σαρκός, σάρξ ἐστι, τὸ δὲ γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμά ἐστιν»), εἰκότως οὐκ ἐκ τῶν φυσικῶν καὶ χρονικῶν ἰδιωμάτων, οἷς πατήρ τε καὶ μήτηρ καὶ γενεαλογία, ἀρχή τε καὶ τέλος ἡμερῶν περιέχεται, ἅπερ φθάσας ἑαυτοῦ παντελῶς ἐπελύσατο, ἀλλ' ἐκ τῶν θείων καὶ μακαρίων γνωρισμάτων, οἷς τὸ εἶδος ἑαυτῷ μετεποίησεν, ὠνομάσθη, ὧν οὐκ ἐφικνεῖται οὐ χρόνος, οὐ φύσις, οὐ λόγος, οὐ νοῦς, οὐδ' ἄλλο τι κατὰ περιγραφὴν φάναι τῶν ὄντων οὐδέν. «Ἀπάτωρ οὖν καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν μήτε τέλος ζωῆς ἔχων», ἀναγέγραπται ὁ μέγας Μελχισεδέκ, ὡς ὁ ἀληθὴς τῶν θεοφόρων ἀνδρῶν*

---

77. Ἰω. 3,6.

κατανίκησε γενναῖα μὲ τὶς ἀρετὲς τὸν ἄκρως δυσπολέμητο νόμο τῆς φύσης καὶ ἡ κίνηση τοῦ νοῦ φτερουγίζει ἄυλα κάτω ἀπὸ τὸ χρόνο καὶ τὸν αἰώνα, δὲν εἶναι δίκαιο ν' ἀποδώσομε σ' αὐτοὺς ὡς γνώρισμα τὸ χαρακτηριστικὸ ἐκείνων ποὺ ἔχουν ἐγκαταλείψει, ἀλλὰ μάλλον τὴ μεγαλοπρέπεια ἐκείνων ποὺ ἔχουν προσλάβει, ἀπὸ τὰ ὁποῖα καὶ στὰ ὁποῖα ὑπάρχουν μόνο καὶ ἀναγνωρίζονται. Γιατὶ κι ἐμεῖς προσεγγίζοντας φυσικὰ τὰ φαινόμενα, γνωρίζομε καὶ ὀνομάζομε τὰ σώματα ἀπὸ τὰ χρώματα, ὅπως ὀνομάζομε φῶς τὸν φωτισμένο ἀέρα, καὶ φωτιὰ ὁποιοδήποτε καύσιμο ὑλικὸ εἶναι ἀναμμένο, καὶ ἄσπρο τὸ σῶμα ποὺ ἔχει ἄσπρο χρῶμα, καὶ ὅσα ἄλλα παρόμοια.

Ἂν λοιπὸν ὁ θεῖος Μελχισεδὲκ μὲ τὴ γνώμη του προτίμησε τὴν ἀρετὴ ἀπὸ τή φύση καὶ ὅλα τὰ φυσικά, ἐξαιτίας τῆς καλῆς ἐκλογῆς τοῦ ἀξιώματός μας, καὶ ὑπερακόντισε κάθε χρόνο καὶ κάθε αἰώνα κατὰ τὴ γνώση, ἀφήνοντας πίσω του κατὰ τὴ θεωρία ὅλα ὅσα εἶναι μετὰ τὸ Θεό, χωρὶς νὰ ἐπιμείνει σὲ κανένα ὂν στὸ ὁποῖο παρατηρεῖται τὸ ὁποιοδήποτε πέρας, ἀλλὰ εἶχε περάσει πνευματικὰ πρὸς τὶς θεῖες καὶ ἄναρχες καὶ ἀθάνατες οὐσίες τοῦ Θεοῦ μέσω τοῦ λόγου κατὰ χάρη, καὶ εἶχε μέσα του ἀπείραχτη καὶ ἀληθινὴ τὴν ὁμοίωση τοῦ Θεοῦ ποὺ τὸν γέννησε (ἐπειδὴ καὶ κάθε γέννηση μᾶς δίνει τὸ γεννώμενο ὅμοιο μ' αὐτὸν ποὺ τὸ γεννᾶ, γιατὶ λέει, «ὅ,τι γεννιέται ἀπὸ τὴ σάρκα εἶναι σάρκα, κι ὅ,τι γεννιέται ἀπὸ τὸ πνεῦμα εἶναι πνεῦμα»[77]), δικαιολογημένα ὀνομάστηκε ὄχι ἀπὸ τὶς φυσικὲς καὶ χρονικὲς ἰδιότητες, ὅπου περιέχονται οἱ ἔννοιες πατέρας, μητέρα καὶ γενεαλογία, ἀρχὴ καὶ τέλος τῶν ἡμερῶν, ἀπὸ τὰ ὁποῖα ἐκεῖνος πρόφτασε καὶ ἀπαλλάχτηκε, ἀλλὰ ἀπὸ τὰ θεῖα καὶ μακάρια γνωρίσματα, μὲ τὰ ὁποῖα ἄλλαξε τὴ μορφή του. Αὐτὰ δὲν τὰ ἀγγίζει ὁ χρόνος, ἡ φύση, ὁ λόγος, ὁ νοῦς, οὔτε κανένα ἄλλο ἀπὸ τὰ ὄντα, γιὰ νὰ μιλήσω συνοπτικά. «Χωρὶς πατέρα λοιπὸν καὶ χωρὶς μητέρα καὶ χωρὶς γενιά, ποὺ δὲν ἔχει οὔτε ἀρχὴ στὶς ἡμέρες του οὔτε τέλος στὴ ζωή του». Ἔτσι ἀναφέρεται στὴ Γραφὴ ὁ μέγας Μελχισεδέκ, ὅπως ἐξήγησε τὰ σχετικὰ μ' αὐτὸν ὁ ἀληθινὸς λόγος τῶν θεοφόρων ἀνδρῶν· ὄχι ἀπὸ τὴν κτιστὴ φύση του καὶ τὴν προέλευσή του

*τὰ περὶ αὐτοῦ διεσάφησε λόγος, οὐ διὰ τὴν φύσιν τὴν κτιστὴν καὶ ἐξ οὐκ ὄντων, καθ' ἣν τοῦ εἶναι ἤρξατό τε καὶ ἔληξεν, ἀλλὰ διὰ τὴν χάριν τὴν θείαν καὶ ἄκτιστον, καὶ ἀεὶ οὖσαν ὑπὲρ πᾶσαν φύσιν καὶ πάντα χρόνον, ἐκ τοῦ ἀεὶ ὄντος Θεοῦ, καθ' ἣν δι' ὅλου μόνην ὅλος γνωμικῶς γεννηθεὶς ἐπιγινώσκεται.*

*Μόνος δὲ τοῦτο ὢν τῇ Γραφῇ τετήρηται, ὡς πρῶτος ἴσως ὑπὲρ τὴν ὕλην καὶ τὸ εἶδος κατὰ τὴν ἀρετὴν γενόμενος, ἅπερ διὰ τοῦ «ἀπάτωρ καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος» δηλοῦσθαι δύναται, καὶ ὡς πάντα τὰ ὑπὸ χρόνον καὶ αἰῶνα κατὰ τὴν γνῶσιν παρελθών, ὧν τὸ εἶναι χρονικῶς τῆς γενέσεως ἤρξατο τὸ ποτὲ εἶναι οὐκ ἠρνημένης, οὐδ' ὁτιοῦν τῷ κατὰ διάνοιαν θείῳ δρόμῳ ἐνσκάσας, ὅπερ σημαίνει τυχὸν τὸ μήτε ἀρχὴν ἡμερῶν μήτε τέλος ζωῆς ἔχειν· καὶ ὡς ἐξῃρημένως, κρυφίως τε καὶ σεσιγημένως, καὶ συνελόντα εἰπεῖν, ἀγνώστως, μετὰ πᾶσαν τῶν ὄντων πάντων ἀφαίρεσιν κατὰ νοῦν εἰς αὐτὸν εἰσδὺς τὸν Θεόν, καὶ ὅλος ὅλῳ ποιωθείς τε καὶ μεταποιωθείς, ὅπερ τό, «ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκὲς» ὑπεμφαίνειν δύναται. Πᾶς γάρ τις τῶν ἁγίων, οὗτινος κατ' ἐξαίρετον ἀπήρξατο καλοῦ, κατ' αὐτὸ καὶ τύπος εἶναι τοῦ δοτῆρος Θεοῦ ἀνηγόρευται. Καθ' ὃ σημαινόμενον καὶ οὗτος ὁ μέγας Μελχισεδὲκ διὰ τὴν ἐμποιηθεῖσαν αὐτῷ θείαν ἀρετὴν εἰκὼν εἶναι κατηξίωται Χριστοῦ τοῦ Θεοῦ, καὶ τῶν ἀπορρήτων αὐτοῦ μυστηρίων, εἰς ὃν πάντες μὲν οἱ ἅγιοι συνάγονται ὡς ἀρχέτυπον καὶ τῆς ἐν ἑκάστῳ αὐτῶν τοῦ καλοῦ ἐμφάσεως αἴτιον, μάλιστα δὲ οὗτος, ὡς τῶν ἄλλων ἁπάντων πλείους ἐν ἑαυτῷ φέρων τοῦ Χριστοῦ τὰς ὑποτυπώσεις.*

## *ΚΕ'*

***Ἐξήγησις εἰς τὸν Κύριον, περὶ τῶν λεγομένων εἰς τὸν Μελχισεδέκ.***

*Μονώτατος γὰρ ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς*

78. Ἑβρ. 7,3.

ἀπὸ τὸ μὴ εἶναι, ἀπὸ τὰ ὁποῖα ἄρχισε καὶ τελείωσε τὴ ζωή του, ἀλλὰ ἐξαιτίας τῆς θείας καὶ ἄκτιστης χάρης, ποὺ εἶναι πάντοτε πάνω ἀπὸ κάθε φύση καὶ κάθε χρόνο, τῆς χάρης ἀπὸ τὸ Θεὸ τὸν αἰώνιο, ποὺ σύμφωνα μ' αὐτὴ μόνη γεννήθηκε ὅλος ἐξ ὁλοκλήρου μὲ τὴ θέλησή του καὶ ἀναγνωρίζεται.

Καὶ μόνος ἔχει μείνει στὴ Γραφὴ μὲ αὐτὴ τὴν ἰδιότητα, ἐπειδὴ πρῶτος ἴσως ξεπέρασε τὴν ὕλη καὶ τὴ μορφὴ κατὰ τὴν ἀρετή, πράγματα ποὺ μποροῦν νὰ δηλωθοῦν μὲ τὶς λέξεις «ἀπάτωρ, ἀμήτωρ καὶ ἀγενεαλόγητος»[78] κι ἐπειδὴ προσπέρασε κατὰ τὴ γνώση ὅλα ὅσα ὁρίζουν ὁ χρόνος καὶ ὁ αἰώνας, ποὺ ἡ ὕπαρξή τους ἄρχισε χρονικὰ τὴ γένεσή τους, ποὺ δὲν ἔχει ἀρνηθεῖ τὸ ἔγχρονο εἶναι, καὶ ἐπειδὴ σὲ ὁ,τιδήποτε δὲν σκόνταψε στὸ νοερὸ θεῖο δρόμο, πράγμα ποὺ σημαίνει ἴσως ἡ φράση «ποὺ δὲν ἔχει οὔτε ἀρχὴ στὶς μέρες του οὔτε τέλος στὴ ζωή του». Καὶ ὅτι κατ' ἐξαίρεση, κρυφὰ καὶ σιωπηλὰ καί, μ' ἕνα λόγο, ἀνεπίγνωστα, ἔπειτα ἀπὸ κάθε ἀφαίρεση νοερὴ κάθε ὄντος εἰσδύει στὸν ἴδιο τὸ Θεὸ κι ἀφοῦ ὁλόκληρος ἄλλαξε τὴν ποιότητά του καὶ πῆρε ἄλλη ποιότητα, νόημα ποὺ μπορεῖ νὰ δηλώνει τὸ «ἔχοντας γίνει ἱερέας ὅμοιος μὲ τὸν Υἱὸ τοῦ Θεοῦ, παραμένει στὸν αἰώνα». Γιατὶ κάθε ἅγιος ὁποια καλὴ προσπάθεια διαλέξει κι ἀρχίσει, σ' αὐτὴ ἀνακηρύσσεται πὼς εἶναι καὶ τύπος τοῦ χορηγοῦ Θεοῦ. Σύμφωνα μὲ αὐτὸ τὸ σημαινόμενο κι αὐτὸς ὁ μεγάλος Μελχισεδὲκ μὲ τὴ θεία ἀρετὴ ποὺ πραγματοποίησε ἀξιώθηκε νὰ γίνει εἰκόνα τοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ τῶν ἀπόρρητων μυστηρίων του, στὸν ὁποῖο ἀναφέρονται, σὰν σὲ ἀρχέτυπο, ὅλοι οἱ ἅγιοι, καὶ ὡς αἴτιο ὁποιουδήποτε δείγματος τοῦ καλοῦ μέσα στὸν καθένα τους, καὶ πολὺ περισσότερο αὐτός, ἐπειδὴ εἶχε μέσα του περισσότερες ἀπὸ ὅλους τοὺς ἄλλους τις ὑποτυπώσεις τοῦ Χριστοῦ.

## 25

**Ἐξήγηση (ἐφαρμογή) τῶν ὅσων λέγονται γιὰ τὸ Μελχισεδὲκ στὸν Κύριο.**

**Μόνος ἀπὸ ὅλους ὁ Κύριος καὶ Θεός μας Ἰησοῦς Χριστὸς**

*φύσει καὶ ἀληθείᾳ ἀπάτωρ ἐστὶ καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος, καὶ μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων· ἀμήτωρ μὲν διὰ τὸ ἄϋλον καὶ ἀσώματον καὶ παντελῶς ἄγνωστον τῆς ἄνω ἐκ τοῦ Πατρὸς προαιωνίου γεννήσεως· ἀπάτωρ δὲ κατὰ τὴν κάτω καὶ χρονικὴν ἐκ τῆς μητρὸς καὶ ἐνσώματον γέννησιν, ἧς κατὰ τὴν σύλληψιν τὸ διὰ σπορᾶς εἶδος οὐ κατεστήσατο· ἀγενεαλόγητος δὲ ὡς ἀμφοῖν αὐτοῦ τῶν γεννήσεων τὸν τρόπον ἔχων καθόλου τοῖς πᾶσιν ἄβατον καὶ ἀκατάληπτον. Τὸ δὲ «μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων», ὡς ἄναρχος καὶ ἀτελεύτητος καὶ παντελῶς ἄπειρος, οἷα φύσει Θεός· «μένει δὲ ἱερεὺς εἰς τὸν αἰῶνα», ὡς μηδενὶ θανάτῳ κακίας ἢ φύσεως τοῦ εἶναι παυόμενος, ὅτι Θεὸς καὶ πάσης τῆς κατὰ φύσιν καὶ ἀρετὴν ζωῆς χορηγός. Μὴ νόμιζε δὲ ταύτης τινὰ ἀμοιρεῖν τῆς χάριτος, ἐπειδὴ περὶ μόνου τοῦ μεγάλου Μελχισεδὲκ ὁ λόγος αὐτὴν εἶναι διωρίσατο. Πᾶσι γὰρ ἴσως ὁ Θεὸς τὴν πρὸς σωτηρίαν φυσικῶς ἐνέθηκε δύναμιν, ἵνα ἕκαστος, βουλόμενος τῆς θείας μεταποιεῖσθαι χάριτος δύνηται καὶ θέλων Μελχισεδὲκ γενέσθαι καὶ Ἀβραὰμ καὶ Μωϋσῆς καὶ ἁπλῶς πάντας μεταφέρειν εἰς ἑαυτὸν τοὺς ἁγίους, μὴ κωλύηται, οὐκ ὀνόματα καὶ τόπους ἀμείβων, ἀλλὰ τρόπους καὶ πολιτείαν μιμούμενος.*

## *ΚS'*

### *Θεωρία ἄλλη εἰς τὸν Μελχισεδέκ.*

*Πᾶς τοιγαροῦν τὰ μέλη νεκρώσας τὰ ἐπὶ τῆς γῆς καὶ ὅλον ἑαυτοῦ τῆς σαρκὸς ἀποσβέσας τὸ φρόνημα, καὶ τὴν πρὸς αὐτὴν δι' ὅλου σχέσιν ἀποσεισάμενος, δι' ἧς ἡ τῷ Θεῷ μόνῳ χρεωστουμένη παρ' ἡμῶν ἀγάπη μερίζεται, καὶ ἀρνησάμενος πάντα*

---

79. Μήνυμα αἰσιόδοξο γιὰ ὅσους θέλουν νὰ τὸ ἐφαρμόσουν καὶ νὰ τὸ ἀξιοποιήσουν.

εἶναι κατὰ φύση καὶ ἀληθινὰ δίχως πατέρα καὶ δίχως μητέρα καὶ δίχως γενεὰ καὶ δὲν ἔχει οὔτε ἀρχὴ στὶς μέρες του οὔτε τέλος στὴ ζωή του. Χωρὶς μητέρα εἶναι ἐξαιτίας τῆς προαιώνιας στὸν οὐρανὸ γέννησής του ἀπὸ τὸν Πατέρα, τῆς ἄυλης καὶ ἀσώματης καὶ τελείως ἄγνωστης. Χωρὶς πατέρα ὡς πρὸς τὴν κάτω στὴ γῆ καὶ χρονικὴ ἐνσώματη γέννησή του ἀπὸ τὴ μητέρα του, ποὺ ὅταν τὸν συνέλαβε δὲν δέχθηκε σπορὰ ἀπὸ ἄνδρα. Καὶ χωρὶς γενιὰ εἶναι ἐπειδὴ καὶ τῶν δύο γεννήσεῶν του ὁ τρόπος εἶναι σ' ὅλους γενικὰ ἀπρόσιτος καὶ ἀκατάληπτος. Τὸ ἄλλο πάλι ὅτι «δὲν ἔχει οὔτε ἀρχὴ στὶς μέρες του οὔτε τέλος στὴ ζωή του», ἐπειδὴ εἶναι χωρὶς ἀρχὴ καὶ χωρὶς τέλος καὶ εἶναι τελείως ἄπειρος, ἐπειδὴ εἶναι Θεὸς ἀπὸ τὴ φύση του. Τὸ «μένει ἱερέας στὸν αἰώνα», ἐφαρμόζεται σ' αὐτὸν ἐπειδὴ δὲ σταματάει ἡ ὕπαρξή του ἀπὸ κανένα θάνατο κακίας ἢ φύσεως, ἐπειδὴ εἶναι Θεὸς καὶ χορηγὸς κάθε φυσικῆς καὶ ἐνάρετης ζωῆς. Καὶ μὴ νομίζεις πὼς εἶναι κάποιος ἄνθρωπος ἄμοιρος ἀπὸ αὐτὴ τὴ χάρη, ἐπειδὴ ὁ λόγος τὴν ἀπέδωσε μόνο στὸ μεγάλο Μελχισεδέκ. Γιατὶ σὲ ὅλους ὁ Θεὸς ἔβαλε μέσα τους ἐξίσου τὴ φυσικὴ δύναμη γιὰ σωτηρία[79], γιὰ νὰ μπορεῖ ὁ καθένας, ἂν θέλει, νὰ παίρνει τὴ θεία χάρη, καὶ ἂν θέλει νὰ γίνει Μελχισεδὲκ καὶ Ἀβραὰμ καὶ Μωυσῆς καὶ γενικὰ νὰ μεταφέρει στὸν εαυτό του ὅλους τοὺς ἁγίους, νὰ μὴν συναντᾶ ἐμπόδιο, νὰ μὴν ἀλλάζει ὀνόματα καὶ τόπους, ἀλλὰ νὰ μιμεῖται συμπεριφορὰ καὶ τρόπους ζωῆς.

## 26

### Ἄλλη ἑρμηνεία γιὰ τὸ Μελχισεδέκ[80].

Κανένας ποὺ ἔχει νεκρώσει τὰ μέλη του πάνω στὴ γῆ κι ἔσβησε ὅλο τὸ σαρκικό του φρόνημα κι ἀποτίναξε τελείως τὴ σχέση του πρὸς τὴ σάρκα, μὲ τὴν ὁποία μοιράζεται ἡ ἀγάπη μας ποὺ χρωστοῦμε μόνο στὸ Θεό, κι ἔχει ἀρνηθεῖ ὅλα τὰ γνωρίσμα-

80. Τὸ θέμα εἶναι πολὺ σημαντικό, καὶ γι' αὐτὸ ἐξετάζεται ἀπὸ τὸν ἅγιο Μάξιμο μὲ λεπτομέρεια.

*τὰ τῆς σαρκὸς καὶ τοῦ κόσμου γνωρίσματα, τῆς θείας ἕνεκεν χάριτος, ὥστε καὶ λέγειν δύνασθαι μετὰ τοῦ μακαρίου Παύλου τοῦ ἀποστόλου, «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;» καὶ τὰ ἑξῆς, ὁ τοιοῦτος ἀπάτωρ καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος κατὰ τὸν μέγαν Μελχισεδὲκ γέγονεν, οὐκ ἔχων ὅπως ὑπὸ σαρκὸς κρατηθῇ καὶ φύσεως, διὰ τὴν γεγενημένην πρὸς τὸν Πνεῦμα συνάφειαν.*

### *ΚΖ'*

### *Θεωρία εἰς τὸ «Μήτε ἀρχὴν ἡμερῶν ἔχειν, μήτε τέλος ζωῆς».*

*Εἰ δὲ καὶ ἑαυτὸν πρὸς τούτοις ἠρνήσατο, τὴν ἰδίαν ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν, τουτέστι τὴν παροῦσαν ζωὴν μετὰ τῶν αὐτῆς θελημάτων τῆς κρείττονος ἕνεκεν προϊέμενος ζῶντά τε ἐνεργοῦντα μονώτατον τὸν τοῦ Θεοῦ Λόγον κέκτηται, διϊκνούμενον κατ' ἀρετὴν καὶ γνῶσιν ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, καὶ μηδὲν τὸ παράπαν τῆς αὐτοῦ παρουσίας ἄμοιρον ἔχει, γέγονε καὶ ἄναρχος καὶ ἀτελεύτητος, τὴν χρονικὴν μηκέτι φέρων ἐν ἑαυτῷ κινουμένην ζωήν, τὴν ἀρχὴν καὶ τέλος ἔχουσαν, καὶ πολλοῖς δονουμένην παθήμασι, μόνην δὲ τὴν θείαν τοῦ ἐνοικήσαντος Λόγου καὶ ἀΐδιον καὶ μηδενὶ θανάτῳ περατουμένην.*

### *ΚΗ'*

### *Θεωρία εἰς τό, «Μένει ἱερεὺς εἰς τὸν αἰῶνα».*

*Εἰ δὲ καὶ προσοχῇ πολλῇ τῷ ἰδίῳ ἐπαγρυπνεῖν οἶδε χαρίσματι, διὰ πράξεως καὶ θεωρίας τῶν ὑπὲρ φύσιν καὶ χρόνον ἐπιμελόμενος ἀγαθῶν, γέγονε καὶ ἱερεὺς διηνεκὴς καὶ αἰώνιος, νοερῶς ἀεὶ τῆς θείας ἀπολαύων ὁμιλίας, καὶ διὰ τὸ μιμεῖσθαι τῇ περὶ τὸ καλὸν κατὰ τὴν γνώμην ἀτρεψίᾳ τὸ κατὰ φύσιν*

---

81. Ρωμ. 8,35. 82. Λουκᾶ 9,21. 83. Ἑβρ. 7,3.

τα τῆς σάρκας καὶ τοῦ κόσμου γιὰ τὴ θεία χάρη, ὥστε νὰ μπορεῖ καὶ νὰ πεῖ μαζὶ μὲ τὸ μακάριο ἀπόστολο Παῦλο, «ποιός θὰ μᾶς χωρίσει ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ;»[81] καὶ τὰ ἑξῆς, ὁ ἄνθρωπος αὐτὸς ἔγινε ὅπως ὁ μέγας Μελχισεδὲκ χωρὶς πατέρα καὶ χωρὶς μητέρα καὶ χωρὶς γενιά, ἐπειδὴ δὲν μπορεῖ νὰ τὴν ἐμποδίσει ἡ σάρκα καὶ ἡ φύση, ἐξαιτίας τῆς ἕνωσης ποὺ πέτυχε μὲ τὸ Πνεῦμα.

## 27

Ἑρμηνεία τοῦ χωρίου «οὔτε ἀρχὴ ἡμερῶν ἔχει οὔτε τέλος ζωῆς».

Ἂν ἐκτὸς ἀπὸ αὐτὰ ἀρνήθηκε καὶ τὸν ἑαυτό του καὶ θυσίασε τὴν ψυχὴ γιὰ χάρη μου, θὰ τὴν βρεῖ[82]· δηλαδὴ ἀπορρίπτοντας τὴν παρούσα ζωὴ μὲ τὶς ἐπιθυμίες της γιὰ χάρη τῆς καλύτερης, ἔχει ἀποκτήσει τὸ Λόγο τοῦ Θεοῦ νὰ ζεῖ καὶ νὰ ἐνεργεῖ μέσα του ὁλομόναχος, φθάνοντας μὲ ἀρετὴ καὶ γνώση ὥς τὸ χωρισμὸ ψυχῆς καὶ πνεύματος, δὲν ἔχει κανένα μέρος του ἄμοιρο ἀπὸ τὴν παρουσία του, καὶ ἔχει γίνει χωρὶς ἀρχὴ καὶ χωρὶς τέλος, ἀφοῦ δὲν ἔχει μέσα του νὰ κινεῖται ἡ χρονικὴ ζωή, ποὺ ἔχει ἀρχὴ καὶ τέλος, καὶ νὰ δονεῖται ἀπὸ πολλὰ πάθη, ἀλλὰ ἔχει μόνη τὴ θεία κι ἀίδια ζωὴ τοῦ Λόγου ποὺ κατοίκησε μέσα του, ζωὴ ποὺ δὲν ἔχει πέρας μὲ κανένα θάνατο.

## 28

Ἑρμηνεία τοῦ χωρίου, «παραμένει ἱερέας στὸν αἰώνα»[83].

Κι ἂν γνωρίζει μὲ πολλὴ προσοχὴ νὰ ἀγρυπνᾶ καὶ γιὰ τὸ ἴδιο του τὸ χάρισμα, φροντίζοντας μὲ πράξη καὶ θεωρία γιὰ τὰ πάνω ἀπὸ τὴ φύση καὶ τὸ χρόνο ἀγαθά, ἔχει γίνει καὶ ἱερέας στὸ διηνεκές, ἱερέας αἰώνιος, ἀπολαμβάνοντας ἀδιάκοπα τὴ νοερὴ θεία συντροφιά, κι ἐξαιτίας τῆς μίμησης μὲ τὴν ἀτρεψία τῆς γνώμης του στὸ καλὸ δὲν τὸν ἐμποδίζει κατὰ τὸν ἰουδαϊκὸ τρόπο

*ἄτρεπτον μὴ κωλυόμενος ἰουδαϊκῶς ἁμαρτίας θανάτῳ εἰς τὸ διηνεκὲς παραμένειν, καὶ θυσίαν προσφέρειν αἰνέσεως καὶ ἐξομολογήσεως, ἐνδόξως θεολογῶν ὡς δημιουργὸν τῶν ἁπάντων, καὶ εὐγνωμόνως εὐχαριστῶν ὡς προνοητῇ καὶ κριτῇ τῶν ὅλων δικαίῳ, ἐν τῷ κατὰ διάνοιαν θείῳ θυσιαστηρίῳ, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Οὐ γὰρ οἷόν τε μυστικῶν θείας γνώσεως ἄρτων καὶ κρατῆρος ζωτικοῦ σοφίας μεταλαχεῖν τοὺς μονοστοιχοῦντας τῷ γράμματι, καὶ ἀλόγων θυσίαις παθῶν πρὸς σωτηρίαν ἀρκουμένους, καὶ τὸν μὲν θάνατον τοῦ Ἰησοῦ διὰ τῆς καθ' ἁμαρτίαν ἀργίας καταγγέλλοντας, τὴν δὲ ἀνάστασιν αὐτοῦ, ὑπὲρ ἧς καὶ δι' ἣν ὁ θάνατος γέγονε, διὰ τῆς κατὰ νοῦν θεωρίας, τῆς ἐν δικαιοσύνῃ ἔργων ἀγαθῶν πεφωτισμένης, οὐχ ὁμολογοῦντας, καὶ τὸ μὲν θανατωθῆναι σαρκὶ εὖ μάλα προθύμως ἑλομένους, τὸ δὲ ζωοποιηθῆναι καὶ Πνεύματι οὐδ' ὁπωσοῦν ἀνασχομένους, ἔτι τῆς κατ' αὐτοὺς σκηνῆς ἐχούσης στάσιν διὰ τὸ μήπω πεφανερῶσθαι αὐτοῖς τὴν διὰ λόγου καὶ γνώσεως τῶν ἁγίων ὁδόν, ἥτις ἐστὶν ὁ Λόγος τοῦ Θεοῦ ὁ εἰπών, «ἐγώ εἰμι ἡ ὁδὸς», καὶ ἀπὸ τοῦ σάρκα Λόγον εἰδέναι διὰ πρακτικῆς τὸν Κύριον ἐπὶ τὴν ὡς μονογενοῦς παρὰ Πατρὸς δόξαν, τὴν πλήρη χάριτος καὶ ἀληθείας, διὰ θεωρίας ἐλθεῖν οὐκ ἐφιεμένους.*

## *ΚΘ'*

### *Θεωρία εἰς τὸν Ἀβραάμ.*

*Ἀβραὰμ πάλιν πνευματικὸς γίνεται τῆς γῆς καὶ τῆς συγγενείας καὶ τοῦ οἴκου τοῦ πατρὸς ἐξερχόμενος καὶ εἰς τὴν ὑπὸ Θεοῦ δεικνυμένην ἐρχόμενος γῆν, ὁ τῆς σαρκὸς κατὰ διάθεσιν ἀπορρήξας, καὶ ἐκτὸς αὐτῆς γενόμενος τῷ χωρισμῷ τῶν παθῶν, καὶ τὰς αἰσθήσεις ἀπολιπών, καὶ μηδεμίαν δι' αὐτῶν*

84. Ἰω. 14,6. 85. Ἰω. 1,14.
86. Γεν. 12,1.

ὁ θάνατος ἀπὸ τὴν ἁμαρτία νὰ παραμένει στὸν αἰώνα καὶ νὰ προσφέρει θυσία δοξολογίας κι εὐχαριστίας, θεολογώντας τον ὡς ἔνδοξο δημιουργὸ τῶν ὅλων κι εὐχαριστώντας τον μὲ καλὴ διάθεση ὡς προνοητὴ καὶ δίκαιο κριτὴ ὅλων στὸ νοερὸ θεῖο θυσιαστήριο, ἀπὸ τὸ ὁποῖο δὲν ἔχουν ἐξουσία νὰ φᾶνε ἐκεῖνοι ποὺ ἐκδηλώνουν τὴ λατρεία τους στὴ σκηνή. Γιατὶ δὲν εἶναι δυνατὸ νὰ κοινωνήσουν τοὺς μυστικοὺς ἄρτους τῆς θείας γνώσης καὶ τὸ ζωοπάροχο ποτήριο τῆς σοφίας ὅσοι ἀκολουθοῦν μονόπλευρα τὸ γράμμα καὶ περιορίζονται σὲ θυσίες τῶν ἄλογων παθῶν πρὸς σωτηρία τους, κι ἐνῶ καταγγέλλουν τὸ θανατο τοῦ Ἰησοῦ μὲ τὴν ἀργία τους ἀπὸ τὴν ἁμαρτία, δὲν ὁμολογοῦν ὅμως τὴν ἀνάστασή του, ποὺ γιὰ χάρη της κι ἐξαιτίας της ἔγινε ὁ θάνατος, μὲ τὴ νοερὴ θεωρία τὴ φωτισμένη μὲ ἔργα ἀγαθὰ δικαιοσύνης. Κι ἐνῶ προτίμησαν μὲ προθυμία μεγάλη τὸν θάνατο τῆς σάρκα τους, δὲν ἀνέχτηκαν ὅμως μὲ κανένα τρόπο καὶ νὰ ζωοποιηθεῖ πνευματικά, ἐπειδὴ ἡ σκηνή τους βρίσκεται ἀκόμα σὲ στάση ἐξαιτίας τοῦ ὅτι δὲν ἔχει ἀκόμα φανερωθεῖ σ' αὐτοὺς ἡ ὁδὸς τῶν ἁγίων ἡ φτιαγμένη ἀπὸ λόγο καὶ γνώση, ἡ ὁποία εἶναι ὁ θεῖος Λόγος ποὺ εἶπε, «ἐγὼ εἶμαι ἡ ὁδός»[84], καὶ δὲν ἐπιθυμοῦν ἀπὸ τὴ γνώση ὅτι ὁ Λόγος καὶ Κύριος εἶναι σάρκα, μέσω τῆς πρακτικῆς φιλοσοφίας νὰ φθάσουν μὲ τὴ θεωρία στὴ δόξα ποὺ ἀπολαμβάνει ἀπὸ τὸν Πατέρα του ὡς Μονογενής, τὴ γεμάτη ἀπὸ χάρη κι ἀλήθεια[85].

## 29

### Ἑρμηνεία γιὰ τὸν Ἀβραάμ.

Ὁ Ἀβραὰμ πάλι κερδίζει τὴν πνευματικότητα βγαίνοντας ἀπὸ τὴ γῆ καὶ τὴ συγγένεια καὶ τὸ πατρικό του σπίτι κι ἐρχόμενος στὴ γῆ ποὺ τοῦ δείχνει ὁ Θεός[86]. Σπάζει τὴ σχέση του[87] μὲ τὴ σάρκα καὶ βγαίνοντας ἀπὸ αὐτὴν μὲ τὸν χωρισμό του ἀπὸ τὰ πάθη καὶ τὴν ἐγκατάλειψη τῶν αἰσθήσεων καὶ χωρὶς νὰ παραδέ-

87. Ἀγώνας ἀδιάλειπτος κατὰ τῆς σάρκας καὶ τῆς φύσης, ποὺ δὲν ἀποτεώστόσο ἐμπόδια ἀξεπέραστα γιὰ νὰ φθάσει ἡ ψυχὴ στὴ μακάρια γῆ τῆς γνώσης τοῦ Χριστοῦ.

*ἁμαρτίας ἔτι παραδεχόμενος πλάνην, καὶ τὰ αἰσθητὰ πάντα παρελθών, ἐξ ὧν τῇ ψυχῇ διὰ τῶν αἰσθήσεων τὸ ἀπατᾶσθαι καὶ πταίειν προσγίνεται, καὶ μόνῳ τῷ νῷ παντὸς ὑλικοῦ ἐλευθέρῳ δεσμοῦ εἰς τὴν θείαν καὶ μακαρίαν τῆς γνώσεως ἐρχόμενος γῆν, καὶ εἰς μῆκος καὶ πλάτος αὐτὴν μυστικῶς διοδεύων, ἐν ᾗ τὸν Κύριον ἡμῶν εὑρήσει καὶ Θεὸν Ἰησοῦν Χριστόν, τὴν ἀγαθὴν τῶν φοβουμένων αὐτὸν κληρονομίαν, εἰς μῆκος μὲν ἀνείκαστον δι' ἑαυτὸν ὑπὸ τῶν ἀξίων κατὰ τὸ ἐφικτὸν ἀνθρώποις θεολογούμενον, δι' ἡμᾶς δὲ εἰς πλάτος δοξολογούμενον, διὰ τῆς συνεκτικῆς τοῦ παντὸς σοφωτάτης αὐτοῦ προνοίας, καὶ τῆς ὑπὲρ ἡμῶν μάλιστα θαυμαστῆς καὶ ὑπεραρρήτου οἰκονομίας, καὶ μέτοχος τῶν οἷς γεραίρειν τὸν Κύριον ἐξεπαιδεύθη τρόπων κατὰ πρᾶξιν τέως καὶ θεωρίαν γενόμενος, δι' ὧν ἡ πρὸς Θεὸν βεβαίως κυροῦσθαι πέφυκε φιλία τε καὶ ἀφομοίωσις. Καὶ συντόμως περὶ τούτων εἰπεῖν, σάρκα καὶ αἴσθησιν καὶ κόσμον, περὶ ἃ τοῦ νοῦ ἡ πρὸς τὰ νοητὰ κατὰ τὴν σχέσιν διάλυσις γίνεται, πρακτικῶς καταπαλαίσας, καὶ μόνῃ διανοίᾳ δι' ἀγάπης Θεῷ γνωστικῶς προσχωρήσας, ὁ τοιοῦτος ἄλλος Ἀβραὰμ ὑπάρχει, διὰ τῆς ἴσης χάριτος τὸν αὐτὸν τῷ πατριάρχῃ τῆς ἀρετῆς καὶ τῆς γνώσεως ἔχων χαρακτῆρα δεικνύμενος.*

*Λ'*

*Θεωρία εἰς τὸν Μωϋσῆν.*

*Καὶ Μωϋσῆς πάλιν ἄλλος ἐκφαίνεται, ὁ ἐν τῷ καιρῷ τῆς τῶν παθῶν δυναστείας, ὁπηνίκα τοῦ διαβόλου τοῦ νοητοῦ Φαραὼ τυραννοῦντος τὸ χεῖρον ἐπικρατεῖν τοῦ ἀμείνονος, καὶ τοῦ πνευματικοῦ τὸ σαρκικὸν ἐπανίστασθαι, καὶ πᾶς εὐσεβὴς ἀναιρεῖσθαι πέφυκε λογισμός, κατὰ Θεὸν γνωμικῶς γεννώμενος, καὶ θήκῃ ἀσκήσεως ἀληθοῦς ἐμβληθείς, ἠθικοῖς ἔξωθεν κατὰ σάρκα τρόποις καὶ ἔσωθεν κατὰ ψυχῆς θείοις ἠσφαλισμένος νοήμασι, καὶ μέχρι νόμου τῆς ἀναλήψεως τῶν φυσικῶν θεωρημάτων ἀνεχόμενος εἶναι ὑπὸ τὴν αἴσθησιν, τὴν τοῦ νοητοῦ*

χεται πιὰ καμμιὰ πλάνη ἁμαρτίας, προκαλούμενη ἀπὸ αὐτές. Καὶ ἀφοῦ προσπέρασε ὅλα τὰ αἰσθητά, τὰ ὁποῖα προκαλοῦν στὴν ψυχὴ μέσω τῶν αἰσθήσεων τὸ ξεγέλασμα καὶ τὸ σφάλμα, ἔρχεται στὴ θεία καὶ μακάρια γῆ τῆς γνώσης μὲ τὸ νοῦ μόνο, ἐλεύθερο ἀπὸ κάθε ὑλικὸ δεσμό, καὶ διασχίζοντάς την μυστικὰ σὲ μῆκος καὶ πλάτος, βρίσκει τὸν Κύριο καὶ Θεό μας Ἰησοῦ Χριστό, τὴν ἀγαθὴ κληρονομία ὅσων τὸν φοβοῦνται, ποὺ θεολογεῖται γιὰ τὸν ἑαυτό του σὲ μῆκος ἀφάνταστο ἀπὸ τοὺς ἄξιους ὅσο εἶναι δυνατὸ στοὺς ἀνθρώπους, καὶ δοξολογεῖται γιὰ μᾶς σὲ πλάτος, γιὰ τὴ συνεκτικὴ τοῦ σύμπαντος σοφότατη πρόνοιά του καὶ τὴν πανθαύμαστη καὶ ὑπεράρρητη οἰκονομία ποὺ ἐκδηλώνει σ' ἐμᾶς. Καὶ γίνεται μέτοχος τῶν τρόπων μὲ τοὺς ὁποίους ἔμαθε νὰ τιμᾶ τὸν Κύριο στὴν πράξη ὣς τότε καὶ τὴ θεωρία, μὲ τοὺς ὁποίους ἐπιβεβαιώνεται ἔγκυρα ἡ φιλία καὶ ἡ ἀφομοίωσή μας μὲ τὸ Θεό. Καὶ γιὰ νὰ μιλήσω γι' αὐτὰ μὲ συντομία, ὅποιος ἔχει κατανικήσει στὴν πράξη τὴ σάρκα, τὴν αἴσθηση καὶ τὸν κόσμο, γύρω ἀπὸ τὰ ὁποῖα γίνεται ἡ διάλυση τῆς σχέσης τοῦ νοῦ πρὸς τὰ νοητά, κι ἔχει πλησιάσει τὸν Κύριο μὲ μόνη τὴ διάνοια, μὲ γνώση καὶ ἀγάπη, αὐτὸς γίνεται δεύτερος Ἀβραὰμ κι ἀποδεικνύεται πὼς ἔχει μὲ ἴση χάρη τὸν ἴδιο χαρακτήρα τῆς ἀρετῆς καὶ τῆς γνώσης μὲ τὸν πατριάρχη.

## 30

### Ἑρμηνεία γιὰ τὸ Μωυσῆ.

Καὶ ἀναδεικνύεται πάλι ἄλλος Μωυσῆς, αὐτὸς ποὺ στὸν καιρὸ τῆς δυναστείας τῶν παθῶν, τότε ποὺ ἀσκεῖ τὴν τυραννία του ὁ διάβολος, ὁ νοητὸς Φαραώ, γιὰ νὰ ἐπικρατήσει τὸ χειρότερο πάνω στὸ καλύτερο, καὶ τὸ σαρκικὸ ξεσηκώνεται ἐναντίον τοῦ πνευματικοῦ καὶ ξερριζώνεται κάθε εὐσεβὴς λογισμός, ἔχοντας γεννηθεῖ κατὰ Θεὸν μὲ τὴ θέλησή του καὶ τοποθετώντας τὸν ἑαυτό του στὴ θήκη τῆς ἀληθινῆς ἄσκησης, καὶ ἀσφαλιζόμενος ἐξωτερικὰ κατὰ σάρκα μὲ ἠθικοὺς τρόπους κι ἀπὸ μέσα στὴν ψυχὴ ἀσφαλισμένος μὲ θεῖα νοήματα. Αὐτὸς μέχρι ποὺ νὰ ἀνα-

*Φαραὼ θυγατέρα, ζήλῳ δὲ γνησίῳ τῶν θείων ἀγαθῶν τὸ αἰγυπτιάζον τῆς σαρκὸς ἀποκτείνας φρόνημα, καὶ ὑπὸ τὴν ψάμμον, τὴν τῶν κακῶν ἄγονον ἕξιν φημί, καταθέμενος, ἐν ᾗ κἂν ὑπὸ τοῦ ἐχθροῦ σπαρῇ τὸ τῆς κακίας ζιζάνιον, οὐ πέφυκε φύεσθαι διὰ τὴν ἐνοῦσαν ἐνδιαθέτως πτωχείαν τοῦ πνεύματος, τὴν τὸ ἀπαθὲς γεννῶσάν τε καὶ φυλάττουσαν καὶ θείῳ προστάγματι τὴν ἀγριουμένην τοῖς πνεύμασι τῆς πονηρίας καὶ τοῖς ἀλλεπαλλήλοις τῶν πειρασμῶν κύμασι δενδρουμένην, τῆς πικρᾶς καὶ ὄντως ἁλμώδους κακίας ὁρίζουσαν θάλασσαν, καθὼς γέγραπται, «ὁ τιθεὶς ἄμμον ὅριον τῇ θαλάσσῃ, καὶ λέγων αὐτῇ, μέχρι τούτου διελεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, καὶ ἐν σοὶ συντριβήσονταί σου τὰ κύματα»· τοὺς δὲ εἰς γῆν ἔτι κατανεύοντας λογισμοὺς καὶ τὴν ἐξ αὐτῆς ἐπιζητοῦντας ἀπόλαυσιν, ὑπὲρ ἧς τὸ θυμικὸν διαμάχεσθαι καὶ τὸν διαγνωστικὸν τυραννεῖν καὶ ἀπωθεῖσθαι πέφυκε λόγον, προβάτων δίκην διὰ τῆς ἐρήμου παθῶν καὶ ὑλῶν ἐστερημένης καὶ ἡδονῶν καταστάσεως ἄγων ὡς ἐπιστήμων ποιμὴν πρὸς τὸ ὄρος τῆς γνώσεως τοῦ Θεοῦ τὸ ἐν τῷ ὕψει τῆς διανοίας ὁρώμενον.*

*Ὧι φιλοπόνως ἐνδιατρίβων διὰ τῶν προσφυῶν κατὰ πνεῦμα θεωρημάτων μετὰ τὴν ἀπόλειψιν τῆς κατὰ νοῦν πρὸς τὰ αἰσθητὰ σχέσεως (τοῦτο γὰρ οἶμαι δηλοῦν τὴν τοῦ τεσσαρακονταετοῦς χρόνου πάροδον), καὶ τοῦ ἀρρήτου καὶ ὑπερφυοῦς ὥσπερ θάμνῳ τῇ οὐσίᾳ τῶν ὄντων ἐνυπάρχοντος θείου πυρὸς κατ' ἔννοιαν θεατὴς γενέσθαι καὶ ἀκροατὴς ἀξιωθήσεται, τοῦ ἐκ τῆς βάτου, τῆς ἁγίας Παρθένου φημί, ἐπ' ἐσχάτων τῶν χρόνων ἐκλάμψαντος καὶ διὰ σαρκὸς ἡμῖν ὁμιλήσαντος Θεοῦ Λόγου, γυμνὸν τὸ τῆς διανοίας ἴχνος τῷ τοιούτῳ μυστηρίῳ προσάγων, καὶ λογισμῶν ἀνθρωπίνων ὡς νεκρῶν ὑποδημάτων παντελῶς ἐλεύθερον, καὶ πρὸς μὲν ζήτησιν, ὥσπερ πρόσωπον, τὸ τῆς διανοίας ὀπτικὸν ἀποστρέφων, πίστει δὲ μόνῃ πρὸς ὑπο-*

---

88. Ἱερ. 5,22. Παρμ. 8,29.

λάβει τὸ νόμο τῶν φυσικῶν θεωρημάτων ἀνεχόταν νὰ εἶναι στὴν ἐξουσία τῆς αἴσθησης, τοῦ νοητοῦ Φαραώ, ἀπὸ γνήσιο ὅμως ζῆλο πρὸς τὰ θεῖα ἀγαθὰ ἀφοῦ σκότωσε τὸ αἰγυπτιακὸ φρόνημα τῆς σάρκας καὶ τὸ ἔκρυψε κάτω ἀπὸ τὴν ἄμμο, ἐννοῶ τὴν ἄγονη ἕξη τῶν παθῶν, ὅπου ἀκόμα κι ἂν σπαρεῖ ἀπὸ τὸν ἐχθρὸ τὸ ζιζάνιο τῆς κακίας δὲ φυτρώνει, ἐξαιτίας τῆς πνευματικῆς πτωχείας ποὺ ὑπάρχει στὴ διάθεση, ποὺ γεννᾶ καὶ φυλάγει τὴν ἀπάθεια καὶ ποὺ μὲ τὴ θεία προσταγὴ περιορίζει τὴν πικρὴ κι ἁλμυρὴ θάλασσα τῆς κακίας ποὺ ἀγριεύει ἀπὸ τοὺς ἀνέμους τῆς κακίας καὶ ποὺ σὰν δέντρο δέρνεται ἀπὸ τὰ ἀλλεπάλληλα κύματα τῶν πειρασμῶν, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «αὐτὸς ποὺ ἔθεσε τὴν ἄμμο ὅριο στὴ θάλασσα καὶ τῆς λέει, ὡς ἐδῶ θὰ φτάσεις καὶ δὲ θὰ τὸ ὑπερβεῖς· τὰ κύματά σου μέσα σου θὰ συντριβοῦν»[88]. Τοὺς λογισμοὺς πάλι ποὺ ἔσκυβαν στὴ γῆ κι ἀποζητοῦσαν τὴν ἀπόλαυσή τους, ποὺ γιὰ χάρη της τὸ θυμικὸ[89] ἀπὸ τὴ φύση του μάχεται καὶ δυναστεύει καὶ ἀπωθεῖ τὸν διαγνωστικὸ λόγο, τοὺς ὁδηγεῖ σὰ νὰ εἶναι πρόβατα μέσα ἀπὸ τὴν ἔρημο περιοχὴ τὴ στερημένη ἀπὸ πάθη καὶ ὑλικὰ καὶ ἡδονὲς ὡς ἐπιστήμονας ποιμένας πρὸς τὸ ὄρος τῆς γνώσης τοῦ Θεοῦ ποὺ φαίνεται στὸ ὕψος τῆς διάνοιας.

Στὸ ὄρος αὐτὸ ζώντας μὲ φιλοπονία μὲ τὰ προσφυὴ πνευματικὰ θεωρήματα ἔπειτα ἀπὸ τὴν ἐγκατάλειψη τῆς σχέσης τοῦ νοῦ προς τά αἰσθητὰ (γιατὶ αὐτὸ δηλώνει, νομίζω, ἡ περίοδος τῶν σαράντα χρόνων), θ' ἀξιωθεῖ νὰ γίνει θεατὴς καὶ ἀκροατὴς κατ' ἔννοια τῆς ἄρρητης καὶ ὑπερφυσικῆς θείας φωτιᾶς ποὺ ἐνυπάρχει στὴν οὐσία τῶν ὄντων σὰ νὰ εἶναι θάμνος, τοῦ Θεοῦ Λόγου ποὺ ἔλαμψε στοὺς τελευταίους χρόνους ἀπὸ τὴ Βάτο, ἐννοῶ τὴν ἁγία Παρθένο, καὶ ποὺ ἦρθε μὲ σάρκα ἀνάμεσά μας[90], ὁδηγώντας στὸ μυστήριο αὐτὸ γυμνὸ τὸ ἴχνος τῆς διάνοιας, καὶ ἐλεύθερο τελείως, σὰν ἀπὸ νεκρὰ ὑποδήματα, ἀπὸ ἀνθρώπινους λογισμούς, καὶ ἀποστρέφοντας τὴν ὀπτικὴ δύναμη τῆς διάνοιας, σὰ νὰ εἶναι πρόσωπο, στὴν ἀναζήτηση, ἀνοίγοντας ὅμως τὴν εὐ-

89. Ἔπρεπε μᾶλλον ἐπιθυμητικόν, ἂν καὶ τὸ θυμικὸν (θυμοειδὲς κατὰ Πλάτωνα ἢ συναισθηματικὸ) πηγαίνει καλύτερα μὲ τὸ ρῆμα μάχεται.

90. Βαρούχ 3,38.

*δοχὴν τοῦ μυστηρίου, ἀκοῆς τρόπον, τὸ τῆς ψυχῆς εὐπειθὲς διανοίγων, παρ' οὗ τὴν ἰσχυρὰν καὶ ἀήττητον κατὰ τῶν πονηρῶν δυνάμεων κομίσαντος δύναμιν τῶν παρὰ φύσιν τὰ κατὰ φύσιν, καὶ τῶν σαρκικῶν τὰ ψυχικά, καὶ τῶν ὑλικῶν τε καὶ αἰσθητῶν τὰ νοητὰ καὶ ἄϋλα κατὰ πολλὴν ἀφορίζει ἐξουσίαν, τῆς δοῦλον ποιεῖν τὸ ἐλεύθερον πειρωμένης πολὺ ὑπερέχων δυνάμεως.*

### *ΛΑ'*

*Ἄλλη θεωρια εἰς τὸν αὐτὸν σύντομος.*

*Καὶ ἵνα συνελὼν εἴπω, ὁ μὴ ὑπελθὼν τὸν τῆς ἁμαρτίας ζυγόν, μήτε τῷ θολερῷ τῶν παθῶν ρεύματι διὰ τῆς κακῆς ἐπιθυμίας ἑαυτὸν ἐμπνίξας, καὶ αἰσθήσει τρέφεσθαι τῇ πηγῇ τῶν ἡδονῶν ἀνασχόμενος, ἀποκτείνας δὲ μᾶλλον τὸ φρόνημα τῆς σαρκός, τὸ τυραννοῦν τῆς ψυχῆς τὴν εὐγένειαν, καὶ πάντων τῶν φθειρομένων ὑπεράνω γενόμενος τὸν πλάνον τοῦτον κόσμον ὥσπερ Αἴγυπτόν τινα φυγών, τὸν ἐκθλίβοντα ταῖς σωματικαῖς φροντίσι τὸν διορατικώτατον νοῦν, καὶ καθ' ἡσυχίαν ἑαυτῷ συγγενόμενος καὶ φιλοπόνῳ σχολῇ τῆς διεπούσης θείως τὸ πᾶν θείας προνοίας τὴν σοφὴν οἰκονομίαν διὰ τῆς ἐπιστημονικῆς τῶν ὄντων θεωρίας ἀρρήτως διδαχθείς, κἀντεῦθεν διὰ μυστικῆς θεολογίας, ἣν κατ' ἔκστασιν ἄρρητον νοῦς καθαρὸς διὰ προσευχῆς πιστεύεται μόνος, ὡς ἐν γνόφῳ τῇ ἀγνωσίᾳ ἀφθέγκτως Θεῷ συγγενόμενος, καὶ ἑαυτὸν ἔσωθεν κατὰ νοῦν εὐσεβείας δόγμασι, καὶ ἔξωθεν, ὡς τὰς πλάκας ὁ Μωϋσῆς, ἀρετῶν χάρισι δακτύλῳ Θεοῦ τῷ ἁγίῳ Πνεύματι ἐγχαράξας ἤ, γραφικῶς εἰπεῖν, ὁ ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ μᾶλλον ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, καὶ τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ τιμιώτερον κρίνας, τουτέστι πλούτου καὶ δόξης, τῶν προσκαίρων καὶ φθει-*

πείθεια τῆς ψυχῆς του, ὅπως γίνεται μὲ τὴν ἀκοή, γιὰ νὰ δεχθεῖ μὲ τὴν πίστη μόνο τὸ μυστήριο, καὶ ἀντλώντας ἀπὸ αὐτὸ τὴν ἰσχυρὴ κι ἀήττητη δύναμη κατὰ τῶν πονηρῶν δυνάμεων, χωρίζει μὲ πολλὴ ἐξουσία ἀπὸ τὰ παραφύση τὰ σύμφωνα μὲ τὴ φύση, ἀπὸ τὰ σαρκικὰ τὰ ψυχικά, ἀπὸ τὰ ὑλικὰ καὶ αἰσθητὰ τὰ νοητὰ καὶ ἄυλα, ὑπερέχοντας πολὺ ἀπὸ τὴ δύναμη ποὺ ἐπιχειρεῖ νὰ ὑποδουλώσει τὴν ἐλευθερία του.

31

Ἄλλη σύντομη ἑρμηνεία γιὰ τὸν ἴδιο.

Καὶ γιὰ νὰ μιλήσω μὲ συντομία, ὅποιος δὲν μπῆκε κάτω ἀπὸ τὸ ζυγὸ τῆς ἁμαρτίας οὔτε ἔπνιξε τὸν ἑαυτό του στὸ θολὸ ποτάμι τῶν παθῶν μὲ τὴν κακὴ ἐπιθυμία, κι οὔτε ἀνέχθηκε νὰ τρέφεται ἀπὸ τὴν αἴσθηση, τὴν πηγὴ τῶν ἡδονῶν, ἢ καλύτερα ἀφοῦ σκότωσε τὸ φρόνημα τῆς σάρκας ποὺ καταδυναστεύει τὴν εὐγένεια τῆς ψυχῆς κι ἀφοῦ ξεπέρασε ὅλα τὰ φθειρόμενα, ἀποφεύγοντας σὰν Αἴγυπτο αὐτὸν τὸν πλάνο κόσμο, ποὺ καταθλίβει μὲ τὶς σωματικὲς φροντίδες καὶ τὸν πιὸ διορατικὸ νοῦ, καὶ στράφηκε μὲ ἡσυχία στὸν ἑαυτό του καὶ διδάχθηκε μὲ τρόπο ἄρρητο καὶ μὲ φιλόπονη ἀσχολία μέσω τῆς ἐπιστημονικῆς θεωρίας τῶν ὄντων τὴ σοφὴ οἰκονομία τῆς θείας πρόνοιας ποὺ διέπει μὲ θεῖο τρόπο τὸ σύμπαν, κι ἀπὸ ἐδῶ μὲ μυστικὴ θεολογία, τὴν ὁποία μὲ ἔκσταση ἄρρητη καὶ μὲ προσευχὴ τὴν δέχεται ὡς ἀξιόπιστη καθαρὸς μόνο νοῦς, ἐπειδὴ ἦρθε σ' ἐπαφὴ μὲ τὸ Θεὸ μέσα στὸ γνόφο μέσω τῆς ἀγνωσίας καὶ δίχως λόγια, κι ἀφοῦ χάραξε ἀπὸ μέσα τὸν ἑαυτό του νοερὰ μὲ τὴν εὐσεβὴ διδασκαλία, καὶ ἀπ' ἔξω, ὅπως ὁ Μωυσῆς τὶς πλάκες, μὲ τὰ χαρίσματα τῶν ἀρετῶν μὲ τὸ ἅγιο Πνεῦμα τὸ δάχτυλο τοῦ Θεοῦ, ἢ γιὰ νὰ τὸ ποῦμε μὲ τὴ γλώσσα τῆς Γραφῆς, αὐτὸς ποὺ διάλεξε κὰ συγκακουχεῖται μᾶλον μὲ τὸ λαὸ τοῦ Θεοῦ, παρὰ νὰ ἔχει μιὰ πρόσκαιρη ἀπόλαυση τῆς ἁμαρτίας, καὶ κρίνοντας τὸν ὀνειδισμὸ τοῦ Χριστοῦ πολυτιμότερο ἀπὸ τοὺς θησαυροὺς τῆς Αἰγύπτου, δηλαδὴ ἀπὸ τὸν πλοῦτο καὶ τὴ δόξα, ἀπὸ αὐτὰ ποὺ εἶναι πρόσκαιρα καὶ φθειρο-

*ρομένων, τοὺς ὑπὲρ ἀρετῆς ἑκουσίως ἀνθαιρούμενος πόνους, οὗτος Μωϋσῆς πνευματικὸς γέγονεν, οὐχ ὁρατῷ διαλεγόμενος Φαραώ, ἀλλὰ ἀοράτῳ τυράννῳ καὶ ψυχῶν φονευτῇ καὶ κακίας ἀρχηγῷ τῷ διαβόλῳ καὶ ταῖς ἀμφ' αὐτὸν πονηραῖς δυνάμεσι μεθ' ἧς διὰ χειρὸς ἐπιφέρεται ῥάβδου, τῆς κατὰ τὸ πρακτικόν φημι τοῦ λόγου δυνάμεως, νοητῶς παρατασσόμενος.*

## *ΛΒ'*

*Θεωρία περὶ τοῦ, «Πῶς τοὺς πρὸ νόμου καὶ μετὰ νόμον ἁγίους τις μιμήσασθαι δύναται, καὶ τίς ἡ τοῦ φυσικοῦ νόμου καὶ τοῦ γραπτοῦ κατὰ τὴν εἰς ἀλλήλους μεταχώρησιν ταυτότης».*

*Ὡσαύτως δὲ καὶ πάντας τοὺς ἁγίους ἕκαστος ἡμῶν θέλων εἰς ἑαυτὸν μεταθεῖναι δύναται, πρὸς ἕκαστον πνευματικῶς ἐκ τῶν περὶ αὐτοῦ καθ' ἱστορίαν τυπικῶς γεγραμμένων μορφούμενος («συνέβαινε γὰρ ἐκείνοις τυπικῶς», φησὶν ὁ θεῖος Ἀπόστολος, «ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε»), πρὸς μὲν τοὺς πάλαι πρὸ νόμου ἁγίους, ἀπὸ μὲν κτίσεως κόσμου τὴν περὶ Θεοῦ γνῶσιν εὐσεβῶς ποριζόμενος, ἀπὸ δὲ τῆς τὸ πᾶν σοφῶς διοικούσης Προνοίας τὰς ἀρετὰς κατορθοῦν διδασκόμενος, κατ' αὐτοὺς ἐκείνους τοὺς πρὸ τοῦ νόμου ἁγίους, οἳ διὰ πάντων φυσικῶς ἐν ἑαυτοῖς τὸν γραπτὸν ἐν Πνεύματι προχαράξαντες νόμον εὐσεβείας καὶ ἀρετῆς τοῖς κατὰ νόμον εἰκότως προεβλήθησαν ἐξεμπλάριον («ἐμβλέψατε» γάρ, φησί, «πρὸς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς»), πρὸς δὲ τοὺς κατὰ νόμον διὰ τῶν ἐντολῶν εἰς ἐπίγνωσιν τοῦ ἐν αὐταῖς ὑπηγορευμένου Θεοῦ δι' εὐσεβοῦς ἐννοίας ἀναγόμενος, καὶ τοῖς καθήκουσι τῶν ἀρετῶν τρόποις δι' εὐγενοῦς πράξεως καλλωπιζόμενος, καὶ ταὐτὸν τῷ γραπτῷ νόμῳ τὸν φυσικὸν ὄντα παιδευόμενος, ὅταν σοφῶς διὰ συμβόλων κατὰ τὴν πρᾶξιν ποικίλληται, καὶ ἔμπαλιν τῷ*

---

91. Α' Κορ. 10,11. 92. Ἡσ. 1,2.

νται, διάλεξε ἑκούσια τοὺς κόπους γιὰ χάρη τῆς ἀρετῆς, αὐτὸς ἔγινε πνευματικὸς Μωυσῆς, ποὺ συνομιλεῖ ὄχι μὲ τὸν ὁρατὸ Φαραώ, ἀλλ' ὁ ἴδιος παρατάσσεται νοητὰ στὸν ἀόρατο τύραννο καὶ φονέα τῶν ψυχῶν καὶ ἀρχηγὸ τῆς κακίας, τὸ διάβολο καὶ τὶς γύρω ἀπὸ αὐτὸν πονηρὲς δυνάμεις μὲ τὸ ραβδὶ ποὺ κρατάει στὸ χέρι, θέλω νὰ πῶ, μὲ τὴν πρακτικὴ δύναμη τοῦ λόγου.

## 32

### Ἐξήγηση γιὰ τὸ πῶς μπορεῖ νὰ μιμηθεῖ κάποιος τοὺς πρὶν καὶ μετὰ τὸ νόμο ἁγίους, καὶ ποιά εἶναι ἡ ταυτότητα τοῦ φυσικοῦ καὶ τοῦ γραπτοῦ νόμου κατὰ τὴ μετάβαση ἀπὸ τὸν ἕνα στὸν ἄλλο.

Ἐπίσης κι ὅλους τοὺς ἁγίους καθένας ἀπὸ μᾶς ἂν θέλει μπορεῖ νὰ τοὺς μεταφέρει στὸν ἑαυτό του, παίρνοντας τὴ μορφὴ τοῦ κεθενὸς πνευματικὰ ἀπὸ ὅσα ἔχουν γραφεῖ γι' αὐτὸν στὴν ἱστορία γιὰ παράδειγμα. (Γιατὶ λέει ὁ θεῖος Ἀπόστολος, «σ' ἐκείνους γίνονταν ὡς παραδείγματα γιὰ νουθεσία δική μας, ἐμᾶς στοὺς ὁποίους κατέληξαν τὰ τέλη τῶν αἰώνων»[91]). Ἀπὸ τοὺς παλαιοὺς πρὶν ἀπὸ τὸ νόμο πατέρες ἀντλώντας μ' εὐσέβεια τὴ γνώση γιὰ τὸ Θεὸ ἀπὸ τότε ποὺ κτίσθηκε ὁ κόσμος, ἐνῶ ἀπὸ τὴν Πρόνοια ποὺ διοικεῖ μὲ σοφία τὸ σύμπαν διδασκόμενος νὰ κατορθώνει τὶς ἀρετές, σύμφωνα μὲ τοὺς ἴδιους ἐκείνους ἁγίους ποὺ πρὶν ἀπὸ τὸ νόμο, μέσω ὅλων τῶν ὄντων, προχάραξαν μέσα τους πνευματικὰ τὸ γραπτὸ νόμο τῆς εὐσέβειας καὶ τῆς ἀρετῆς καὶ εὔλογα προβλήθηκαν παράδειγμα σὲ ὅσους ζοῦσαν σύμφωνα μὲ τὸ νόμο (γιατὶ λέει, «στρέψετε τὸ βλέμμα σας πρὸς τὸν Ἀβραὰμ τὸν πατέρα σας καὶ τὴ Σάρρα ποὺ σᾶς κοιλοπόνεσε»[92]. Καὶ ἀνεβαίνοντας μ' εὐσεβὲς νόημα πρὸς τοὺς ἁγίους ποὺ ἔζησαν σύμφωνα μὲ τὸ νόμο μέσω τῶν ἐντολῶν γιὰ νὰ γνωρίσουν τὸ Θεὸ ποὺ ἔχει ὑπαγορευθεῖ μέσα σ' αὐτοὺς καὶ στολισμένος μὲ τοὺς κατάλληλους τρόπους τῶν ἀρετῶν μὲ εὐγενεῖς πράξεις, καὶ διδασκόμενος ὅτι ὁ φυσικὸς νόμος εἶναι τὸ ἴδιο μὲ τὸ γραπτό, ὅταν ποικίλλεται σοφὰ κατὰ τὴν πράξη μὲ σύμβολα, κι ἀντίθετα πάλι εἶναι ἴδιος ὁ

φυσικῷ τὸν γραπτόν, ὅταν ἑνοειδὴς καὶ ἁπλοῦς καὶ συμβόλων ἐν τοῖς ἀξίοις κατ' ἀρετήν τε καὶ γνῶσιν διὰ λόγου καὶ θεωρίας ἐλεύθερος γένηται, κατ' αὐτοὺς ἐκείνους τοὺς ἐν νόμῳ ἁγίους, οἳ τὸ γράμμα, ὥσπερ κάλυμμα, περιελόντος τοῦ πνεύματος τὸν φυσικὸν νόμον ἔχοντες πνευματικῶς διεδείχθησαν.

## ΛΓ'

### Ὅτι καὶ οἱ κατὰ νόμον ἅγιοι, πνευματικῶς τὸν νόμον ἐκδεχόμενοι, τὴν δι' αὐτοῦ μηνυομένην χάριν προέβλεπον.

Πάντες γὰρ διαρρήδην ἑτέραν παρὰ τὴν νομικὴν ἔσεσθαι λατρείαν προθεωρήσαντες τὸ κατ' αὐτὴν φανησόμενον τῆς θεοπρεπεστάτης ζωῆς τέλειον προεκήρυξαν, καὶ τῇ φύσει πρόσφορόν τε καὶ οἰκειότατον, ὡς μηδενὸς τῶν ἐκτὸς πρὸς τελείωσιν ἐπιδεόμενοι, καθὼς πᾶσι δῆλον καθέστηκε τοῖς μὴ ἀγνοοῦσι τὰ διὰ τοῦ νόμου καὶ τῶν προφητῶν θεῖα θεσπίσματα. Ὅπερ μάλιστα Δαβὶδ καὶ Ἐζεκίας καὶ τῷ καθ' ἑαυτὸν πρὸς τοῖς ἄλλοις ἑκάτερος δράματι παρῃνίττετο, ὁ μὲν ὑπὲρ τῆς ἁμαρτίας νομικῶς τὸν Θεὸν ἐξιλεούμενος, ὁ δὲ προσθήκῃ ζωῆς ἑτέρῳ παρὰ τὸν νόμον θεσμῷ παρὰ τοῦ Θεοῦ σεμνυνόμενος.

## ΛΔ'

### Ὅτι καὶ ὑπὲρ τὸν γραπτὸν καὶ ὑπὲρ τὸν φυσικὸν νόμον γίνεται ὁ τῷ Χριστῷ γνησίως διὰ τῶν ἀρετῶν κατὰ διάθεσιν ἀκολουθῶν.

Οὐδὲν δὲ τὸ κωλῦον, ὡς οἶμαι, ἐστὶ τὸν ἐν τούτοις προπαιδευθέντα τοῖς νόμοις, τῷ φυσικῷ τέ φημι καὶ τῷ γραπτῷ, θεοφιλῶς, ἤπερ τούτοις γενέσθαι θεοπρεπῶς, καὶ τούτων χωρὶς δι' εἰλικρινοῦς πίστεως μόνῳ τῷ ἐπὶ τὸ ἀκρότατον ἀγαθὸν

93. Δ' Βασ. 20,2. 94. Β' Βασ. 24,10.

γραπτὸς μὲ τὸ φυσικό, ὅταν ἐνόμορφος κι ἁπλὸς γίνει μὲ λόγο καὶ θεωρία ἐλεύθερος ἀπὸ σύμβολα στοὺς ἄξιους στὴν ἀρετὴ καὶ τὴ γνώση, ὅμοιος μ' ἐκείνους τοὺς ἴδιους τοὺς ἁγίους τοῦ νόμου, ποὺ ἀναδείχτηκαν πνευματικὰ χρησιμοποιώντας τὸ φυσικὸ νόμο, ἀφοῦ τὸ Πνεῦμα εἶχε ἀφαιρέσει τὸ γράμμα σὰν ἕνα κάλυμμα.

## 33

### Ὅτι καὶ οἱ ἅγιοι στὴν ἐποχὴ τοῦ νόμου μὲ μιὰ ἐκδοχή του πνευματικὴ πρόβλεπαν τὴ χάρη ποὺ προμήνυε.

Ὅλοι δηλαδὴ προβλέποντας ὁλοκάθαρα ὅτι θὰ ἐρχόταν ἄλλου εἴδους λατρεία διαφορετικὴ ἀπὸ τὴ νομική, προανήγγειλαν τὴν τελειότητα ποὺ θὰ ἐμφανιζόταν τῆς πρέπουσας στὸ Θεὸ ζωῆς καὶ ποὺ εἶναι κατάλληλη καὶ οἰκειότατη στὴ φύση μας, ἐπειδὴ δὲν χρειάζονταν γιὰ τὴν τελειοποίησή τους τίποτε ἀπὸ τὰ ἐξωτερικά, ὅπως ἔγινε φανερὸ σ' ὅλους ἐκείνους ποὺ δὲν ἀγνοοῦν τὰ θεῖα θεσπίσματα τοῦ νόμου καὶ τῶν προφητῶν. Αὐτὸ τὸ ὑπαινίσσονταν πρὸ πάντων ὁ Δαβὶδ καὶ ὁ Ἐζεκίας ἐκτὸς τῶν ἄλλων καὶ μὲ τὸ προσωπικό του δράμα ὁ καθένας, ὁ ἕνας προσπαθώντας νὰ ἐξιλεώσει τὸ Θεὸ σύμφωνα μὲ τὸ νόμο[93], καὶ ὁ ἄλλος ὑπερηφανευόμενος γιὰ τὴν προσθήκη ζωῆς ποὺ ἔλαβε ἀπὸ τὸ Θεὸ μὲ θέσπιση ἄλλου κανόνα παράλληλα μὲ τὸ νόμο[94].

## 34

### Ὅτι ὁποιος ἀκολουθεῖ γνήσια τὸ Χριστὸ μὲ τὶς ἀρετὲς σύμφωνα μὲ τὴ διάθεσή του ὑπερβαίνει καὶ τὸ γραπτὸ καὶ φυσικὸ νόμο.

Δὲν ὑπάρχει, νομίζω, τίποτε ποὺ νὰ ἐμποδίζει ἐκεῖνον ποὺ ἔχει κάποια θεοφιλὴ προπαίδεια σ' αὐτοὺς τοὺς νόμους, ἐννοῶ τὸ φυσικὸ καὶ τὸ γραπτό, ἐφόσον τήρησε αὐτοὺς ἔτσι ὅπως ἁρμόζει στὸ Θεό, ν' ἀκολουθήσει γνήσια καὶ χωρὶς αὐτοὺς μὲ εἰλι-

*ἄγοντι λόγῳ γνησίως ἀκολουθήσαντα, καὶ μηδενὸς κατ' ἔννοιαν τὸ παράπαν ἀπτόμενον πράγματος ἢ λογισμοῦ ἢ νοήματος οἷς ἡ ὁπωσοῦν οὖσα παντὸς τοῦ ὁπωσοῦν νοουμένου τε καὶ ὄντος φύσις τε καὶ γνῶσις ὑποπίπτει καὶ ἐμφαίνεται, ὥσπερ εἰκὸς τὸν ἕπεσθαι γνησίως προθέμενον τῷ διεληλυθότι τοὺς οὐρανοὺς Ἰησοῦ, καὶ τῇ παραδείξει τοῦ θείου φωτὸς δυνηθῆναι τὴν ἀληθῆ τῶν ὄντων, ὡς ἔστιν ἀνθρώπῳ δυνατόν, συνεκδοχικῶς ὑποδέξασθαι γνῶσιν.*

## *ΛΕ'*

### *Θεωρία τοῦ τρόπου καθ' ὃν ὑπὲρ τὸν φυσικὸν καὶ τὸν γραπτὸν νόμον γίνεται ὁ διὰ πάντων τῷ Θεῷ γενόμενος εὐπειθής.*

*Εἰ γὰρ πᾶσα ἡ τῶν ὄντων φύσις εἰς τὰ νοητὰ καὶ τὰ αἰσθητὰ διήρηται, καὶ τὰ μὲν λέγεται καὶ ἔστιν αἰώνια, ὡς ἐν αἰῶνι τοῦ εἶναι λαβόντων ἀρχήν, τὰ δὲ χρονικά, ὡς ἐν χρόνῳ πεποιημένα, καὶ τὰ μὲν ὑποπίπτει νοήσει, τὰ δὲ αἰσθήσει, διὰ τὴν ταῦτα ἀλλήλοις ἐπισφίγγουσαν τοῦ κατὰ φύσιν σχετικοῦ ἰδιώματος ἄλυτον δύναμιν (πολλὴ γὰρ ἡ πρὸς τὰ νοούμενα τῶν νοούντων καὶ πρὸς τὰ αἰσθητὰ τῶν αἰσθανομένων ἡ σχέσις, ὁ δὲ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος τυγχάνων αἰσθητικοῦ διὰ τῆς κατ' ἐπαλλαγὴν πρὸς ἑκάτερα τὰ τῆς κτίσεως τμήματα φυσικῆς σχέσεώς τε καὶ ἰδιότητος καὶ περιγράφεται καὶ περιγράφει, τὸ μὲν τῇ οὐσίᾳ, τὸ δὲ τῇ δυνάμει, ὡς τοῖς ἑαυτοῦ πρὸς ταῦτα διαιρούμενος μέρεσι, καὶ ταῦτα διὰ τῶν οἰκείων μερῶν ἑαυτῷ καθ' ἕνωσιν ἐπισπώμενος· περιγράφεσθαι γὰρ τοῖς νοητοῖς καὶ αἰσθητοῖς, ὡς ψυχὴ τυγχάνων καὶ σῶμα, καὶ περιγράφειν ταῦτα κατὰ δύναμιν πέφυκεν, ὡς νοῶν καὶ αἰσθανόμενος.*

*Ὁ δὲ Θεὸς ἁπλῶς καὶ ἀορίστως ὑπὲρ πάντα τὰ ὄντα ἐστί, τὰ περιέχοντά τε καὶ περιεχόμενα καὶ τήν, ὧν οὐκ ἄνευ ταῦτα, χρόνου φημὶ καὶ αἰῶνος καὶ τόπου φύσιν, οἷς τὸ πᾶν περικλείε-*

---

95. Ὑποδηλώνεται ἡ ἄμεση προσέγγιση τοῦ Θεοῦ ἀπὸ τὸν μυστικό.

κρινὴ πίστη αὐτὸν μόνο ποὺ ὁδηγεῖ μὲ τὸ λόγο στὸ ἀκρότατο ἀγαθό, χωρὶς ν' ἀγγίζει μὲ τὸ νοῦ κανένα ἀπολύτως πράγμα ἢ λογισμὸ ἢ ἔννοια[95], στὰ ὁποῖα ὑποπίπτει καὶ φανερώνεται ἡ ὁποιαδήποτε φύση καὶ γνώση κάθε νοητοῦ καὶ ὑπαρκτοῦ, ὅπως εἶναι φυσικὸ γι' αὐτὸν ποὺ ἔχει πρόθεσή του νὰ ἀκολουθεῖ γνήσια τὸν Ἰησοῦ ποὺ διάβηκε τοὺς οὐρανοὺς καὶ νὰ μπορέσει μὲ τὴν ὑπόδειξη τοῦ θείου φωτὸς νὰ ὑποδεχθεῖ, ὅσο εἶναι δυνατο στούς ἀνθρώπους, τὴν ἀληθινὴ γνώση τῶν ὄντων.

## 35

Ἐξήγηση τοῦ τρόπου σύμφωνα μὲ τὸν ὁποῖο γίνεται ἀνώτερος ἀπὸ τὸ φυσικὸ καὶ τὸ γραπτὸ νόμο ὅποιος ὑπακούει σὲ ὅλα στὸ Θεό.

Ἂν ὅλη ἡ φύση τῶν ὄντων εἶναι χωρισμένη στὰ νοητὰ καὶ τὰ αἰσθητά, καὶ τὰ πρῶτα τὰ λέμε καὶ εἶναι αἰώνια γιατὶ ἔλαβαν τὴν ἀρχὴ τοῦ εἶναι τους μέσα στὴν αἰωνιότητα, ἐνῶ τὰ δεύτερα τὰ λέμε χρονικά, γιατὶ ἔχουν δημιουργηθεῖ μέσα στὸ χρόνο, καὶ τὰ πρῶτα ὑποπίπτουν στὴ νόηση, ἐνῶ τὰ ἄλλα στὴν αἴσθηση ἐξαιτίας τῆς ἀδιάλυτης δύναμης ποὺ ἔχει τὸ φυσκὸ ἰδίωμα τῆς σχέσης καὶ τὰ δένει σφιχτὰ μεταξύ τους (γιατὶ εἶναι μεγάλη ἡ σχέση αὐτῶν ποὺ νοοῦνται μ' αὐτὰ ποὺ νοοῦν καὶ αὐτῶν ποὺ αἰσθάνονται μὲ ὅσα γίνονται αἰσθητά. Ὁ ἄνθρωπος λοιπὸν πλασμένος μὲ ψυχὴ καὶ σῶμα ποὺ αἰσθάνεται, μὲ τὴν ἀμοιβαία φυσικὴ σχέση καὶ ἰδιότητα πρὸς τὸ ἕνα καὶ τὸ ἄλλο ἀπὸ τὰ τμήματα, μὲ τὸ ἕνα μὲ τὴν ούσία, μὲ τὸ ἄλλο μὲ τὴ δύναμη, καὶ περιγράφεται καὶ περιγράφει, ἀπὸ τὴ μιὰ μὲ τὴν οὐσία, ἀπὸ τὴν ἄλλη μὲ τὴ δύναμη, γιατὶ τὰ μέρη του διαιροῦνται ὡς πρὸς αὐτὰ καὶ αὐτὸς τραβάει πρὸς τὸν ἑαυτό του μὲ τὰ ἀντίστοιχα δικά του μέρη. Ἀπὸ τὴ φύση του δηλαδὴ περιγράφεται ἀπὸ τὰ νοητὰ καὶ τὰ αἰσθητά, ἐπειδὴ εἶναι ψυχὴ καὶ σῶμα, κι ἀπὸ τὴ φύση του τὰ περιγράφει κατὰ δύναμη, ἐπειδὴ νοεῖ καὶ αἰσθάνεται.

Ὁ Θεὸς ὅμως εἶναι ἁπλὰ κι ἀόριστα πάνω ἀπὸ ὅλα τὰ ὄντα, αὐτὰ ποὺ περιέχουν κι αὐτὰ ποὺ περιέχονται, καὶ πάνω ἀπὸ τὴ φύση ἐκείνων, χωρὶς τὰ ὁποῖα αὐτὰ τὰ δύο δὲν ὑπάρχουν, ἐννοῶ

*ται, ὡς πᾶσι παντελῶς ἄσχετος ὤν), ἄρα σωφρόνως ὁ διαγνοὺς πῶς ἐρᾶν τοῦ Θεοῦ δεῖ, τοῦ ὑπὲρ λόγον καὶ γνῶσιν καὶ πάσης ἁπλῶς τῆς οἱασδήποτε παντάπασι σχέσεως, ἐξῃρημένου καὶ φύσεως, πάντα τὰ αἰσθητὰ καὶ νοητὰ καὶ πάντα χρόνον καὶ αἰῶνα καὶ τόπον ἀσχέτως παρελεύσεται, καὶ πάσης τελευταῖον ὅλης τῆς κατ' αἴσθησιν καὶ λόγον καὶ νοῦν ἐνεργείας ἑαυτὸν ὑπερφυῶς ἀπογυμνώσας, ἀρρήτως τε καὶ ἀγνώστως τῆς ὑπὲρ λόγον καὶ νοῦν θείας τερπνότητος ἐπιτεύξεται, καθ' ὃν οἶδε τρόπον τε καὶ λόγον ὁ τὴν τοιαύτην δωρούμενος χάριν Θεὸς καὶ οἱ ταύτην παρὰ Θεοῦ λαβεῖν ἀξιωθέντες, οὐκέτι οὐδὲν φυσικὸν ἢ γραπτὸν ἑαυτῷ συνεπικομιζόμενος, πάντων αὐτῷ τῶν λεχθῆναι ἢ γνωσθῆναι δυναμένων παντελῶς ὑπερβαθέντων καὶ κατασιγασθέντων.*

## *ΛϚ'*

### *Θεωρία εἰς τὸ περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστὰς ῥητὸν τοῦ Εὐαγγελίου.*

*Καὶ τάχα τοῦτό ἐστι τὸ τοῖς δοθεῖσιν ἐπὶ θεραπείᾳ τοῦ λῃσταῖς περιπεσόντος δυσὶ δηναρίοις ἐν τῷ πανδοχείῳ παρὰ τοῦ Κυρίου τῷ ἐπιμελεῖσθαι κελευομένῳ προσδαπανώμενον, ὅπερ καὶ φιλοτίμως ἐπανερχόμενος ὁ Κύριος δώσειν ὑπέσχετο, ἡ διὰ πίστεως γινομένη παντελὴς τῶν ὄντων ἐν τοῖς τελείοις ἀφαίρεσις (φησὶ γὰρ ὁ Κύριος «ὅστις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, οὐ δύναταί μου εἶναι μαθητής»), καθ' ἣν πάνθ' ἑαυτοῦ ἢ ἑαυτὸν πάντων ἀφαιρούμενος εἰπεῖν οἰκειότερον, ὁ τῆς σοφίας ἑαυτὸν ἐραστὴν καταστήσας μόνῳ Θεῷ συνεῖναι καταξιοῦται, τὴν εὐαγγελικῶς ὑποδειχθεῖσαν υἱοθεσίαν δεξάμενος, κατὰ τοὺς ἁγίους καὶ μακαρίους ἀποστόλους, οἱ τὸ πᾶν ἑαυτῶν ὁλοσχερῶς περιελόμενοι καὶ μόνῳ δι' ὅλου*

---

96. Φιλ. 4,7. 97. Λουκᾶ 11,30. 98. Λουκᾶ 11,33.

τὸ χρόνο καὶ τὴν αἰωνιότητα καὶ τὸν τόπο, τὰ ὁποῖα περικλείουν τὸ σύμπαν, ἐπειδὴ ὁ Θεὸς εἶναι τελείως ἄσχετος ἀπὸ ὅλα). Ἐπομένως ὅποιος κατάλαβε πῶς πρεπει ν' ἀγαπᾶ τὸ Θεό, ποὺ εἶναι πάνω ἀπὸ λόγο καὶ γνώση κι τελείως πάνω ἀπὸ ὁποιαδήποτε γενικὰ σχέση καθὼς καὶ ἔξω ἀπὸ τὴ φύση, αὐτὸς θὰ προσπεράσει ὅλα τὰ αἰσθητὰ καὶ νοητὰ καὶ κάθε χρόνο καὶ αἰώνα καὶ τόπο χωρὶς διάκριση, καὶ τελευταῖα, ἀφοῦ μὲ τρόπο ὑπερφυσικὸ ἀπογυμνώσει τὸν ἑαυτό του[96] ἀπὸ ὅλη τὴν ἐνέργεια τῆς αἴσθησης, τοῦ λόγου καὶ τοῦ νοῦ, θὰ ἐπιτύχει ἄρρητα κι ἀνεπίγνωστα τὴ θεία τερπνότητα τὴν πάνω ἀπὸ λόγο καὶ νοῦ, μὲ τὸν τρόπο καὶ τὸ λόγο ποὺ γνωρίζει ὁ Θεὸς ποὺ δίνει τὴ χάρη αὐτὴ καὶ ἐκεῖνοι ποὺ ἀξιώθηκαν νὰ τὴ λάβουν ἀπὸ τὸ Θεό, χωρὶς νὰ παίρνει μαζί του τίποτε φυσικὸ ἢ γραπτό, ἐπειδὴ ἔχει ὑπερβεῖ τελείως ὅλα ὅσα εἶναι δυνατὸ νὰ λεχθοῦν ἢ νὰ γνωσθοῦν κι ἔχουν βυθιστεῖ στὴ σιγή.

## 36

### Ἑρμηνεία τοῦ ρητοῦ τοῦ Εὐαγγελίου γι' αὐτὸν ποὺ ἔπεσε στὰ χέρια τῶν ληστῶν[97].

Ἴσως αὐτὸ εἶναι ἡ πρόσθετη δαπάνη ἐπάνω στὰ δύο δηνάρια ποὺ δόθηκαν ἀπὸ τὸν Κύριο γιὰ τὴ θεραπεία ἐκείνου ποὺ ἔπεσε στὰ χέρια τῶν ληστῶν παραγγέλλοντας νὰ τὸν φροντίσουν, αὐτὴ ποὺ ἐπιστρέφοντας ὁ Κὺριος ὑποσχόταν πὼς θὰ δώσει μὲ γενναιοδωρία, ἡ πλήρης ἀπόθεση τῶν ὄντων ποὺ γίνεται ἐξαιτίας τῆς πίστεως ἀπὸ τοὺς τέλειους (γιατὶ λέει ὁ Κύριος, «ὅποιος δὲν ἀρνεῖται ὅλα τὰ ὑπάρχοντά του, δὲν μπορεῖ νὰ εἶναι μαθητής μου»[98]), κατὰ τὴν ὁποία, ἀποθέτοντας ἀπὸ τὸν ἑαυτό του ὅλα ἢ τὸν ἑαυτό του ἀπὸ ὅλα, γιὰ νὰ τὸ πῶ πιὸ σωστά, ὅποιος ἔκανε τὸν ἑαυτό του ἐραστὴ τῆς σοφίας, γίνεται ἄξιος νὰ εἶναι μαζὶ μὲ μόνο τὸ Θεό, ἀφοῦ δέχθηκε τὴν υἱοθεσία ποὺ ὑπέδειξε τὸ Εὐαγγέλιο, κατ' ἀναλογία μὲ τοὺς ἁγίους καὶ μακάριους ἀποστόλους, οἱ ὁποῖοι, ἀφοῦ ἀφαίρεσαν τελείως τὰ πάντα ἀπὸ τὸν ἑαυτό τους κι ἀφοῦ προσκολλήθηκαν ὁλοκληρωτικὰ στὸ Θεὸ

*τῷ Θεῷ καὶ Λόγῳ προσφύντες, «ἰδοὺ πάντα», ἔφασαν, «ἀφήκαμεν καὶ ἠκολουθήσαμέν σοι», τῷ καὶ τῆς φύσεως Ποιητῇ καὶ δοτῆρι τῆς κατὰ νόμον βοηθείας, καὶ ὅν, Κύριον δηλονότι, ὥσπερ ἀληθείας φῶς μονώτατον κτησάμενοι ἀντὶ νόμου καὶ φύσεως πάντων εἰκότως τῶν μετὰ Θεὸν ἄπταιστον τὴν γνῶσιν παρέλαβον. Αὐτῷ γὰρ πέφυκε συνεκφαίνεσθαι κυρίως ἡ τῶν ὑπ' αὐτοῦ γεγενημένων γνῶσις.*

*Ὡς γὰρ τῷ αἰσθητῷ ἡλίῳ ἀνατέλλοντι πάντα καθαρῶς συνεκφαίνονται τὰ σώματα, οὕτω καὶ Θεὸς ὁ νοητὸς τῆς δικαιοσύνης ἥλιος ἀνατέλλων τῷ νῷ, καθὼς χωρεῖσθαι ὑπὸ τῆς κτίσεως οἶδεν αὐτός, πάντων ἑαυτῷ νοητῶν τε καὶ αἰσθητῶν τοὺς ἀληθεῖς βούλεται συνεκφανίζεσθαι λόγους. Καὶ δηλοῖ τοῦτο τῆς ἐπὶ τοῦ ὄρους μεταμορφώσεως τοῦ Κυρίου ἡ λαμπρὰ τῶν ἐσθημάτων τῷ φωτὶ τὴν τῶν μετ' αὐτόν, ὡς οἶμαι, καὶ περὶ αὐτὸν συνάγουσα γνῶσιν. Οὔτε γὰρ δίχα φωτὸς τῶν αἰσθητῶν ὀφθαλμὸς ἀντιλαμβάνεσθαι δύναται, οὔτε νοῦς χωρὶς γνώσεως Θεοῦ θεωρίαν δέξασθαι πνευματικήν. Ἐκεῖ τε γὰρ τῇ ὄψει τὸ φῶς τὸ ὁρατῶν τὴν ἀντίληψιν δίδωσι, καὶ ἐνταῦθα τῷ νῷ τὴν γνῶσιν τῶν νοητῶν ἡ τοῦ Θεοῦ ἐπιστήμη χαρίζεται.*

## ΛΖ'

### *Θεωρία τοῦ τρόπου καθ' ὃν γέγονε τοῦ Ἀδὰμ ἡ παράβασις.*

*Ἀμέλει τούτῳ μὴ ἐπερείσας τῷ Θεῷ φωτὶ τὸν τῆς ψυχῆς ὀφθαλμὸν ὁ προπάτωρ Ἀδὰμ τυφλοῦ δίκην εἰκότως ἐν σκότει τῆς ἀγνωσίας ἄμφω τὼ χεῖρε τὸν τῆς ὕλης φορυτὸν ἑκουσίως ἀφάσσων μόνῃ αἰσθήσει ἑαυτὸν ὅλον ἐπικλίνας ἐκδέδωκε, δι' ἧς τοῦ πικροτάτου θηρὸς τὸν φθαρτικὸν ἰὸν εἰσδεξάμενος οὐδ' αὐτῆς, ὡς ἠβουλήθη, ἀπήλαυσε τῆς αἰσθήσεως δίχα Θεοῦ, καὶ πρὸ Θεοῦ, καὶ οὐ κατὰ Θεόν, ὡς οὐκ ἔδει, ὅπερ ἀμήχανον ἦν, τὰ τοῦ Θεοῦ ἔχειν ἐπιτηδεύσας. Τὴν γὰρ σύμβουλον παραδεξα-*

99. Ματθ. 19,27.

1. ... καὶ παραδόθηκε ὅλη ἡ φύση μας βορὰ στὸ θάνατο, θὰ μπορούσαμε νὰ συμπληρώσομε.

μόνο καὶ Λόγο, εἶπαν· «νά, τ' ἀφήσαμε ὅλα καὶ ἀκολουθήσαμε ἐσένα»[99], ποὺ δημιούργησες καὶ τὴ φύση καὶ ἔδωσες τὴ βοήθεια τοῦ νόμου, καὶ τὸν ὁποῖο, δηλαδὴ τὸν Κύριο, ἀφοῦ τὸν ἀπέκτησαν σὰν τὸ μοναδικότατο φῶς τῆς ἀλήθειας, παρέλαβαν ὄχι τὸ νόμο καὶ τὴ φύση, ἀλλὰ φυσικὰ τὴν ἀλάνθαστη γνώση ὅλων τῶν μετὰ τὸ Θεό. Γιατὶ μαζὶ μὲ τὸ Θεὸ ἐμφανίζεται κυρίως ἡ γνώση ὅσων αὐτὸς δημιούργησε.

Ὅπως δηλαδὴ ὅταν ἀνατέλλει ὁ αἰσθητὸς ἥλιος φανερώνονται μαζὶ ὅλα τὰ σώματα, ἔτσι καὶ ὁ Θεός, ὁ νοητὸς ἥλιος τῆς δικαοσύνης, ὅταν ἀνατέλλει στὸ νοῦ, ὅπως γνωρίζει αὐτὸς νὰ χωράει μέσα στὴν κτίση, θέλει νὰ φανερώνονται μαζί του καὶ ὅλοι οἱ ἀληθινοὶ λόγοι τῶν νοητῶν καὶ τῶν αἰσθητῶν. Κι αὐτὸ τὸ δηλωνει ἡ λαμπρὴ φανέρωση τῶν φορεμάτων του ποὺ ἔγινε ἀπὸ τὸ φῶς τοῦ προσώπου του κατὰ τὴ μεταμόρφωση τοῦ Κυρίου πάνω στὸ ὄρος, συνάγοντας στὸ Θεό, νομίζω, τὴ γνώση τῶν ἔπειτ' ἀπὸ αὐτὸν καὶ γύρω σ' αὐτόν. Γιατὶ οὔτε τὸ μάτι μας μπορεῖ νὰ βλέπει τὰ αἰσθητὰ δίχως τὸ φῶς, οὔτε ὁ νοῦς νὰ δεχθεῖ πνευματικὴ θεωρία χωρὶς γνώση Θεοῦ. Στὴν πρώτη περίπτωση τὸ φῶς δίνει στὴν ὄψη τὸ φῶς τῶν ὁρατῶν, ἐνῶ στὴ δεύτερη ἡ ἐπιστήμη τοῦ Θεοῦ χαρίζει στὸ νοῦ τὴ γνώση τῶν νοητῶν.

## 37

### Ἑρμηνεία τοῦ τρόπου κατὰ τὸν ὁποῖο ἔγινε ἡ παράβαση τοῦ Ἀδάμ[1].

**Ἀσφαλῶς, ἐπειδὴ δὲν προσήλωσε σ' αὐτὸν τὸ Θεὸ—φῶς τὸν ὀφθαλμὸ τῆς ψυχῆς ὁ προπάτοράς μας Ἀδάμ, σὰν τυφλὸς δικαιολογημένα μέσα στὸ σκοτάδι τῆς ἀγνωσίας ἀνακατεύοντας θεληματικὰ μὲ τὰ δυό του χέρια τὸ βόρβορο τῆς ὕλης ἔγειρε καὶ παρέδωσε ὅλο τὸν ἑαυτό του στὴν αἴσθηση, μέσω τῆς ὁποίας, ἀφοῦ δέχθηκε τὸ φθαρτικὸ δηλητήριο τοῦ πικρότατου θηρίου, δὲν ἀπόλαυσε κι αὐτὴν ἀκόμα τὴν αἴσθηση, προσπαθώντας νὰ οἰκειοποιηθεῖ τὰ τοῦ Θεοῦ χωρὶς Θεὸ καὶ πρὶν ἀπὸ τὸ Θεό, καὶ ὄχι κατὰ Θεό, πράγμα ποὺ δὲν ἔπρεπε κι οὔτε μποροῦσε νὰ γίνει.**

*μένην τὸν ὄφιν Θεοῦ πλέον παραδεξάμενος αἴσθησιν καὶ τοῦ ἀπηγορευμένου ξύλου, ᾧ καὶ θάνατον συνεῖναι προεδιδάχθη τὸν καρπὸν ὀρέγουσαν, βρώσεως ἀπαρχὴν ποιησάμενος πρόσφορον τῷ καρπῷ τὴν ζωὴν μετηλλάξατο, ζῶντα τὸν θάνατον ἑαυτῷ κατὰ πάντα τὸν χρόνον τοῦ παρόντος καιροῦ δημιουργήσας.*

*Εἰ γὰρ φθορὰ γενέσεως ὑπάρχει ὁ θάνατος, ἀεὶ δὲ τὸ δι' ἐπιρροῆς τροφῶν γινόμενον φυσικῶς φθείρεται σῶμα τῇ ροῇ διαπνεόμενον, ἀεὶ ἄρα δι' ὧν εἶναι τὴν ζωὴν ἐπίστευσεν ἀκμάζοντα ἑαυτῷ τε καὶ ἡμῖν τὸν θάνατον ὁ Ἀδὰμ συνετήρησεν. Ὡς, εἴ γε τῷ Θεῷ μᾶλλον ἢ τῇ συνοίκῳ πεισθεὶς τῷ ξύλῳ τῆς ζωῆς διετράφη, οὐκ ἂν τὴν δοθεῖσαν ἀπέθετο ἀθανασίαν ἀεὶ συντηρουμένην τῇ μετοχῇ τῆς ζωῆς, ἐπειδὴ πᾶσα ζωὴ οἰκεία τε καὶ καταλλήλῳ πέφυκε συντηρεῖσθαι τροφῇ. Τροφὴ δὲ τῆς μακαρίας ἐκείνης ζωῆς ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, καθὼς αὐτὸς περὶ ἑαυτοῦ ἐν τοῖς Εὐαγγελίοις ὁ ἀψευδὴς ἀπεφήνατο Λόγος, ᾧ διατραφῆναι μὴ βουληθεὶς ὁ πρῶτος ἄνθρωπος, τῆς μὲν θείας εἰκότως ἀπεγένετο ζωῆς, ἄλλης δὲ θανάτου γεννήτορος ἐπελάβετο, καθ' ἣν τὴν μὲν ἄλογον ἑαυτῷ μορφὴν ἐπιθέμενος, τῆς θείας δὲ τὸ ἀμήχανον ἀμαυρώσας κάλλος, βορὰν τῷ θανάτῳ τὴν ἅπασαν φύσιν παρέδωκε. Δι' ἧς ὁ μὲν θάνατος ζῇ δι' ὅλου τοῦ χρονικοῦ τούτου διαστήματος, ἡμᾶς βρῶσιν ποιούμενος, ἡμεῖς δὲ ζῶμεν οὐδέποτε, ἀεὶ διὰ φθορᾶς ὑπ' αὐτοῦ κατεσθιόμενοι.*

## *ΛΗ'*

***Ὅτι ἐκ τῆς ἀστάτου περιφορᾶς τῆς παρούσης ζωῆς ἄλλην εἶναι τὴν ἀληθῆ καὶ θείαν καὶ ὡσαύτως ἔχουσαν ζωὴν ἐπαιδεύθησαν οἱ ἅγιοι.***

***Ἧς τὸ ἀδρανὲς καὶ ἀλλεπάλληλον σοφῶς κατανοήσαντες***

---

2. Γεν. 3,1. 3. Ἰω. 6,32.

Ἐπειδὴ δηλαδὴ παραδέχθηκε τὴν αἴσθηση ποὺ εἶχε παραδεχθεῖ ὡς σύμβολό του τὸ φίδι περισσότερο ἀπὸ τὸ Θεὸ κι ἄρχισε νὰ τρώει τὸν καρπὸ τοῦ δένδρου ποὺ ἐπιθυμοῦσε καὶ ποὺ τοῦ εἶχε ἀπαγορευθεῖ, τὸ ὁποῖο, ὅπως εἶχε διδαχθεῖ ἀπὸ πρίν, ἔκρυβε τὸ θάνατο[2], ἄλλαξε τὴ ζωή του καὶ τὴν ἔκανε ἀνάλογη πρὸς τὸν καρπό, δημιουργώντας τὸ θάνατο ζωντανὸ γιὰ τὸν ἑαυτό του γιὰ ὅλη τὴ διάρκεια αὐτῆς τῆς ζωῆς.

Ἂν δηλαδὴ ὁ θάνατος εἶναι ἡ φθορὰ τῆς γένεσης καὶ πάντοτε τὸ σῶμα, ποὺ αὐξάνει μὲ τὴν ἐπίδραση τῆς τροφῆς, φθείρεται φυσικὰ καθῶς κυριαρχεῖται ἀπὸ τὴ ροή, εἶναι ἑπόμενο ὅτι μ' αὐτὰ ποὺ πίστεψε ὁ Ἀδὰμ ὅτι θὰ ἔχει τὴ ζωή, διατήρησε γιὰ τὸν ἑαυτό του καὶ γιὰ μᾶς ἀκμαῖο τὸ θάνατο. Γιατί, ἂν εἶχε πεισθεῖ στὸ Θεὸ μᾶλλον κι ὄχι στὴ σύνοικό του καὶ εἶχε τραφεῖ ἀπὸ τὸ ξύλο τῆς ζωῆς, δὲ θὰ ἔχανε τὴν ἀθανασία ποὺ τοῦ εἶχε δοθεῖ, ποὺ θὰ τὴ συντηροῦσε πάντοτε ἡ μετοχή του στὴν ἀθανασία, ἐπειδὴ κάθε ζωὴ εἶναι φυσικὸ νὰ συντηρεῖται μὲ τὴν οἰκεία καὶ κατάλληλη τροφή. Καὶ τροφὴ τῆς μακάριας ἐκείνης ζωῆς εἶναι ὁ ἄρτος ποὺ κατέβηκε ἀπὸ τὸν οὐρανὸ καὶ δίνει ζωὴ στὸν κόσμο[3], ὅπως βεβαίωσε γιὰ τὸν ἑαυτό του μέσα στὰ Εὐαγγέλια ὁ ἴδιος ὁ ἀψευδὴς Λόγος, μὲ τὸν ὁποῖο δὲ θέλησε νὰ τραφεῖ ὁ πρῶτος ἄνθρωπος καὶ φυσικὰ ἔχασε τὴ θεία ζωὴ κι ἄρχισε μιὰν ἄλλη μὲ γεννήτορα τὸ θάνατο. Στὴ ζωὴ αὐτὴ ἔδωσε στὸν ἑαυτό του ἄλογη μορφὴ κι ἀφοῦ ἀσχήμηνε τὸ ἀμήχανο κάλλος τῆς θείας, παρέδωσε τὴ φύση ὅλη βορὰ στὸ θάνατο κι ἔτσι ὁ θάνατος ζεῖ σ' ὅλο αὐτὸ τὸ χρονικὸ διάστημα, κάνοντας τροφή του ἐμᾶς, κι ἐμεῖς δὲ ζοῦμε ποτέ, ἐπειδὴ πάντοτε μᾶς κατατρώγε αὐτὸς μὲ τὴ φθορά.

## 38

**Ὅτι ἀπὸ τὴν ἄστατη περιφορὰ τῆς παρούσας ζωῆς οἱ ἅγιοι διδάχθηκαν πὼς εἶναι διαφορετικὴ ἡ ζωὴ ἡ ἀληθινὴ καὶ θεία καὶ ποὺ παραμένει ἡ ἴδια.**

Κατανοώντας οἱ ἅγιοι μὲ σοφία τὴν μηδαμινότητά της, δι-

*οἱ ἅγιοι τὴν ἀνθρώποις προηγουμένως ἐκ Θεοῦ δεδωρημένην ταύτην μὴ εἶναι τὴν ζωήν, ὡς εἰκός, ἐπαιδεύθησαν, ἄλλην δὲ θείαν καὶ ὡσαύτως ἔχουσαν, ἣν μάλιστα δεῖν ὑπέλαβον ἑαυτῷ πρεπόντως ἀγαθὸν ὄντα τὸν Θεὸν προηγουμένως δημιουργῆσαι, μυστικῶς ἐδιδάχθησαν, πρὸς ἣν διὰ σοφίας κατὰ τὴν χάριν τοῦ Πνεύματος, ὡς ἐφικτὸν ἀνθρώποις τοῖς ὑπὸ θάνατον, τὸ ὄμμα τῆς ψυχῆς ἀνανεύσαντες, καὶ ἐνδιαθέτως τὸν αὐτῆς θεῶν ὑποδεξάμενοι πόθον, ἀποθέσθαι δεῖν ταύτην τὴν παροῦσαν ζωὴν εἰκότως ᾠήθησαν, εἰ μέλλοιεν καθαρῶς ἐκείνης κατὰ τὸν δέοντα λόγον ἐπιλήψεσθαι. Καὶ ἐπειδὴ ζωῆς ἀπόθεσις θανάτου χωρὶς οὐ γίνεται, θάνατον αὐτῆς ἐπενόησαν τὴν ἀποβολὴν τῆς κατὰ σάρκα στοργῆς, δι' ἧς εἰς τὸν βίον ἡ τοῦ θανάτου γέγονεν εἴσοδος, ἵνα θανάτῳ θάνατον ἐπινοήσαντες τοῦ ζῆν τῷ θανάτῳ παύσωνται, τὸν τίμιον ἐναντίον Κυρίου θάνατον ἀποθανόντες, τὸν ὄντως θανάτου θάνατον, τὸν τὴν φθορὰν μὲν φθείρειν δυνάμενον, τῇ δὲ μακαρίᾳ ζωῇ καὶ ἀφθαρσίᾳ παρεχόμενον ἐν τοῖς ἀξίοις εἴσοδον.*

*Τὸ γὰρ πέρας τῆς παρούσης ταύτης ζωῆς οὐδὲ θάνατον οἶμαι δίκαιον ὀνομάζειν, ἀλλὰ θανάτου ἀπαλλαγήν, καὶ ταραχῆς παῦλαν, καὶ πολέμων ἀναίρεσιν, καὶ συγχύσεως πάροδον, καὶ σκότους ὑποχώρησιν, καὶ πόνων ἄνεσιν, καὶ βομβήσεως ἀσήμου σιγήν, καὶ βράσματος ἠρεμίαν, καὶ αἰσχύνης συγκάλυμμα, καὶ παθῶν ἀποφυγήν, καὶ ἁμαρτίας ἀφανισμόν, καὶ πάντων, ἵνα συνελὼν εἴπω, τῶν κακῶν περιγραφήν, ἅπερ δι' ἑκουσίου νεκρώσεως οἱ ἅγιοι κατορθώσαντες, ξένους ἑαυτοὺς τοῦ βίου καὶ παρεπιδήμους παρέστησαν. Κόσμῳ τε γὰρ καὶ σώματι καὶ ταῖς ἐξ αὐτῶν ἐπαναστάσεσι γενναίως μαχόμενοι, καὶ τὴν ἐξ ἀμφοῖν κατὰ τὴν τῶν αἰσθήσεων πρὸς τὰ αἰσθητὰ συμπλοκὴν παραγενομένην ἀπάτην ἀποπνίξαντες, ἀδούλωτον ἑαυτοῖς ἐφύλαξαν τῆς ψυχῆς τὸ ἀξίωμα· μάλα γε εἰκότως, ἔννομον κρίναντες εἶναι καὶ δίκαιον τὸ ἧττον ἄγεσθαι μᾶλλον τῷ κρείττονι, ἢ*

δάχθηκαν, ὅπως εἶναι φυσικό, ὅτι ἡ ζωὴ αὐτὴ δὲν εἶναι ἐκείνη ποὺ εἶχε χαρίσει ἀπὸ τὴν ἀρχὴ ὁ Θεὸς στοὺς ἀνθρώπους, ἀλλὰ διδάχθηκαν μυστικὰ πῶς ἦταν ἄλλη ἡ θεία ζωὴ ποὺ ἦταν πάντοτε ἴδια, τὴν ὁποία βέβαια ἔκριναν ὅτι ἔπρεπε, ἔτσι ὅπως ἁρμόζει σ' αὐτόν, ἐπειδὴ ὁ Θεὸς εἶναι ἀγαθός, νὰ δημιουργήσει ἀπὸ τὴν ἀρχή, στὴν ὁποία μὲ σοφία καὶ σύμφωνα μὲ τὴ χάρη τοῦ Πνεύματος, ὅσο γίνεται στοὺς θνητοὺς ἀνθρώπους, στρέφοντας τὰ μάτια τῆς ψυχῆς καὶ δεχόμενοι στὴν καρδιά τους τὸ θεῖο της πόθο, πίστεψαν δικαιολογημένα ὅτι ἔπρεπε νὰ ἐγκαταλείψουν αὐτὴ τὴν παρούσα ζωή, ἂν θέλουν νὰ ἐπιδοθοῦν ἁγνὰ σ' αὐτὴν ὅπως ἀπαιτεῖ ὁ λόγος. Κι ἐπειδὴ ἐγκατάλειψη τῆς ζωῆς δὲ γίνεται χωρὶς θάνατο, ἐπινόησαν ὡς θάνατό της τὴν ἀποβολὴ τῆς στοργῆς πρὸς τὴ σάρκα, ἀπὸ τὴν ὁποία ἔγινε ἡ εἴσοδος τοῦ θανάτου στὴ ζωή, ὥστε, ἐπινοώντας τὸ θάνατο μὲ τὸ θάνατο, νὰ σταματήσουν νὰ ζοῦν μέσω τοῦ θανάτου, πεθαίνοντας τὸν τίμιο θάνατο ἐνώπιον τοῦ Κυρίου, τὸν ἀληθινὸ θάνατο τοῦ θανάτου, αὐτὸν ποὺ μπορεῖ νὰ φθείρει τὴ φθορὰ καὶ ποὺ παρέχει στοὺς ἄξιους τὴν εἴσοδό τους στὴ μακάρια ζωὴ καὶ ἀφθαρσία.

Γιατὶ τὸ τέλος αὐτῆς τῆς παρούσας ζωῆς δὲν εἶναι, νομίζω, δίκαιο οὔτε νὰ τὸ ὀνομάζομε θάνατο, ἀλλὰ ἀπαλλαγὴ ἀπὸ τὸ θάνατο, καὶ χωρισμὸ ἀπὸ τὴ φθορά, κι ἐλευθερία ἀπὸ τὴ δουλεία, καὶ λήξη τῆς ταραχῆς, καὶ κατασίγαση τῶν πολέμων, κι ἀποκατάσταση τῆς σύγχυσης, καὶ ὑποχώρηση τοῦ σκότους, καὶ ἀνάπαυση ἀπὸ τοὺς κόπους, καὶ σιγὴ τοῦ ἀκατανόητου βοητοῦ, καὶ τὸ γαλήνεμα τοῦ ἀναβρασμοῦ, καὶ συγκάλυψη τῆς ντροπῆς, καὶ ἀποφυγὴ τῶν παθῶν, καὶ ἀφανισμὸ τῆς ἁμαρτίας, καί, γιὰ νὰ τὸ πῶ μ' ἕνα λόγο, περιορισμὸ ὅλων τῶν παθῶν, τὰ ὁποῖα οἱ ἅγιοι, ἀφοῦ τὰ κατόρθωσαν μὲ ἐθελούσια νέκρωση, ἔδειξαν πῶς εἶναι ξένοι καὶ παρεπίδημοι στὴ ζωή. Γιατὶ πολεμώντας γενναῖα τὸν κόσμο καὶ τὰ σώματα καὶ τὶς ἐπαναστάσεις ποὺ αὐτὰ προκαλοῦν, κι ἀφοῦ κατέπνιξαν τὴν ἀπάτη ποὺ προέρχεται ἀπὸ τὰ δύο κατὰ τὴ συμπλοκὴ τῶν αἰσθήσεων πρὸς τὰ αἰσθητά, διαφύλαξαν μέσα τους ἀδούλωτο τὸ ἀξίωμα τῆς ψυχῆς. Καὶ πολὺ φυσικά, ἔκριναν πῶς εἶναι νόμιμο καὶ δίκαιο νὰ ὁδηγεῖται τὸ χειρότερο ἀπὸ τὸ

τὸ κρεῖττον τῷ χείρονι συμποδίζεσθαι. Ὥσπερ δὴ νόμος θεῖος καὶ τοῖς προαιρουμένοις τὴν λογικοῖς προηγουμένως πρέπουσαν ἀσπάζεσθαι ζωὴν ἐμπεφυκώς, τὴν ἐμφερῶς δι' ὀλιγαρκείας τὸ ἀπροσδεὲς τῶν ἀγγέλων μιμουμένην καὶ ἄνετον.

## ΛΘ'

### Ὅτι μὴ καθ' ἡμᾶς ἢ τὴν φυσικὴν θεωρίαν, ἢ τὴν γραφικὴν μυσταγωγίαν ἐποίουν οἱ ἅγιοι.

Ἀλλ' ἐπανελθόντες καθ' εἱρμὸν τὰ λείποντα τῆς μεταμορφώσεως τοῖς προθεωρηθεῖσι κατὰ δύναμιν διασκοπήσαντες προσαρμόσωμεν, ἵνα θεωρηθῇ τῶν ἁγίων ἡ ἐν πᾶσιν ἀκρότης καὶ ἡ γνησία πρὸς τὴν σάρκα καὶ τὴν ὕλην ἀποδιάθεσις, καὶ ὅτι μὴ καθ' ἡμᾶς καὶ αὐτοὶ ἢ τὴν κτίσιν ἢ τὴν ἁγίαν Γραφὴν ὑλικῶς τε καὶ χαμερπῶς ἐθεώρουν, αἰσθήσει μόνον καὶ ἐπιφανείας καὶ σχήμασι πρὸς ἀνάληψιν τῆς μακαρίας γνώσεως τοῦ Θεοῦ, γράμμασί τε καὶ συλλαβαῖς χρώμενοι, ἐξ ὧν τὸ πταίειν ἔστι περὶ τὴν κρίσιν τῆς ἀληθείας καὶ σφάλλεσθαι, ἀλλὰ νῷ μόνῳ καθαρωτάτῳ καὶ πάσης ὑλικῆς ἀπηλλαγμένῳ ἀχλύος. Εἴπερ οὖν εὐσεβῶς κρίνειν βουλόμεθα τοὺς τῶν αἰσθητῶν νοητῶς διασκοποῦντας λόγους, εἰς τὴν περὶ Θεοῦ καὶ τῶν θείων αὐτοὺς ἄπταιστον γνῶσιν ὀρθῶς δι' εὐθείας τρίβου βαίνοντας κατίδοιμεν.

## Μ'

### Θεωρία εἰς τὴν μεταμόρφωσιν πλατυτέρα.

Εἴρηται τοίνυν ἀνωτέρω ὅτι διὰ μὲν τῆς γενομένης ἐπὶ τοῦ ὄρους τοῦ προσώπου τοῦ Κυρίου φωτοειδοῦς λαμπρότητος πρὸς τὴν πᾶσι καθόλου τοῖς οὖσιν ἄληπτον τοῦ Θεοῦ μυστικῶς οἱ τρισμακάριοι ἀπόστολοι κατὰ τὸ ἄρρητόν τε καὶ ἄγνωστον

---

4. Ματθ. 17,2.

καλύτερο, κι ὄχι νὰ βάζει τρικλοποδιὰ τὸ χειρότερο στὸ καλύτερο. Αὐτὸ εἶναι νόμος θεῖος καὶ ἔμψυτος σὲ ὅσους προτιμοῦν ν' ἀσπάζονται πρωτίστως τὴ ζωὴ ποὺ πρέπει στοὺς λογικούς, ποὺ μὲ τὴν ὀλιγάρκειά τους μιμεῖται καθ' ὅμοιο τρόπο τὴν ἔλλειψη ἀναγκῶν καὶ τὴν ἄνεση τῶν ἀγγέλων.

## 39

### Ὅτι οἱ ἅγιοι δὲν τελοῦσαν σύμφωνα μὲ ἐμᾶς οὔτε τὴ φυσικὴ θεωρία οὔτε τὴ γραφικὴ μυσταγωγία.

Ἀλλὰ ἂς κάνομε μιὰ ἐπιστροφὴ κι ἂς προσαρμόσομε μὲ τὰ προηγούμενα μὲ ἀλληλουχία ὅσα παραλείψαμε σχετικὰ μὲ τὴ μεταμόρφωση ἐξετάζοντάς τα κατὰ δύναμη, γιὰ νὰ παρουσιασθεῖ ἡ ἀκρότητα τῶν ἁγίων σὲ ὅλα καὶ ἡ γνήσια ἀποστροφή τους πρὸς τὴ σάρκα καὶ τὴν ὕλη, καὶ ὅτι δὲν ἀντιμετώπιζαν κι αὐτοὶ τὴν κτίση ἢ τὴν ἁγία Γραφὴ ὑλικὰ καὶ χαμαίζηλα ὅπως ἐμεῖς, μὲ τὶς αἰσθήσεις μόνο καὶ μὲ τὶς ἐπιφάνειες καὶ τὰ σχήματα γιὰ νὰ ἀντλήσουν τὴ μακάρια γνώση τοῦ Θεοῦ, χρησιμοποιώντας τα ὡς γράμματα καὶ συλλαβές, ἀπὸ ὅπου προκύπτει τὸ λάθος καὶ τὸ σφάλμα στὸ ξεχώρισμα τῆς ἀλήθειας, ἀλλὰ μὲ νοῦ μονάχα ὁλοκάθαρο κι ἀπαλλαγμένο ἀπὸ κάθε ὑλικὴ ἀχλύ. Ἂν λοιπὸν θέλομε νὰ κρίνομε ὅποιους ἐξετάζουν νοερὰ τοὺς λόγους τῶν αἰσθητῶν, θὰ διαπιστώσομε ὅτι βαδίζουν ὀρθὰ κι ἀπὸ ἴσιο δρόμο στὴν ἀλάνθαστη γνώση περὶ Θεοῦ καὶ τῶν θείων.

## 40

### Ἑρμηνεία ἐκτενέστερη γιὰ τὴ Μεταμόρφωση.

Εἰπώθηκε λοιπὸν πιὸ πάνω ὅτι μὲ τὴν ὁλόφωτη λαμπρότητα ποὺ πῆρε τὸ πρόσωπο τοῦ Κυρίου ἐπάνω στὸ ὄρος[4] οἱ τρισμακάριοι ἀπόστολοι μὲ τρόπο ἄρρητο κι ἄγνωστο χειραγωγοῦνταν μυστικὰ πρὸς τὴ δύναμη καὶ τὴ δόξα τοῦ Θεοῦ ποὺ εἶναι ἀσύλληπτη γενικὰ γιὰ ὅλα τὰ ὄντα, διαπιστώνοντας ὅτι τὸ φῶς ποὺ πα-

*ἐχειραγωγοῦντο δύναμίν τε καὶ δόξαν, τῆς ἀφανοῦς κρυφιότητος τὸ φανὲν αὐτοῖς πρὸς τὴν αἴσθησιν φῶς σύμβολον εἶναι μανθάνοντες. Ὡς γὰρ ἐνταῦθα τοῦ γενομένου φωτὸς τὴν τῶν ὀφθαλμῶν νικᾷ ἐνέργειαν ἡ ἀκτίς, ἀχώρητος αὐτοῖς διαμένουσα, οὕτω κἀκεῖ Θεὸς πᾶσαν νοὸς δύναμιν ὑπερβαίνει καὶ ἐνέργειαν, οὐδ' ὅλως ἐν τῷ νοεῖσθαι τῷ νοεῖν πειρωμένῳ τὸν οἱονοῦν τύπον ἀφείς. Διὰ δὲ τῶν λευκῶν ἱματίων τήν τε ἐν τοῖς κτίσμασιν ἀναλόγως τοῖς καθ' οὓς γεγένηνται λόγοις μεγαλουργίαν καὶ τὴν ἐν τοῖς ῥήμασι τῆς ἁγίας Γραφῆς κατὰ τὸ νοούμενον μυσταγωγίαν ἐν ταὐτῷ καὶ ἅμα θεοπρεπῶς ἐδιδάσκοντο, οἷα τῇ ἐπιγνώσει τοῦ Θεοῦ συναναφαινομένης τῆς τε γραφικῆς κατὰ τὸ πνεῦμα δυνάμεως καὶ τῆς ἐν τοῖς κτίσμασι κατ' αὐτὸ σοφίας καὶ γνώσεως, δι' ὧν πάλιν αὐτὸς ἀναλόγως ἐκφαίνεται. Διὰ δὲ Μωϋσέως καὶ Ἠλίου τῶν ἑκατέρωθεν αὐτῷ συνόντων (τοῦτο γὰρ εἰς τὴν ἐξέτασιν τῆς θεωρίας λείπεται), πολλοὺς κατὰ πολλὰς ἐπινοίας, ὧν τύποι προεβέβληντο μυστηρίων δι' ἀληθοῦς θεωρίας γνωστικοὺς ὑπεδέχοντο τρόπους.*

## *ΜΑ'*

### *Θεωρία εἰς τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν.*

*Α' Καὶ πρῶτον μὲν τὴν περὶ τοῦ δεῖν πάντως συνεῖναι τῷ Λόγῳ καὶ Θεῷ τόν τε νομικὸν καὶ τὸν προφητικὸν λόγον διὰ Μωϋσέως καὶ Ἠλίου εὐσεβεστάτην ἐλάμβανον ἔννοιαν, ὡς ἐξ αὐτοῦ καὶ περὶ αὐτοῦ καὶ ὄντας καὶ ἀπαγγέλλοντας, καὶ περὶ αὐτὸν ἱδρυμένους.*

*Β' Εἶτα σοφίαν καὶ χρηστότητα συνοῦσαν αὐτῷ διὰ τῶν αὐτῶν ἐπαιδεύοντο, τὴν μὲν ὅτι κατ' αὐτὴν διαγορευτικός ἐστι τῶν ποιητέων ὁ Λόγος, καὶ ἀπαγορευτικὸς τῶν οὐ ποιητέων, ἧς τύπος ὑπῆρχε Μωϋσῆς (σοφίας γὰρ τὴν τῆς νομοθεσίας εἶναι πιστεύομεν χάριν), τὴν δὲ ὅτι κατ' αὐτὴν προτρεπτικός ἐστι καὶ ἐπιστρεπτικὸς πρὸς τὴν θείαν ζωήν, τῶν αὐτῆς ἀπολισθη-*

ρουσιάσθηκε στὴ αἴσθησή τους εἶναι σύμβολο τῆς ἀφανοῦς κρυφιότητας. Ὅπως δηλαδὴ ἐδῶ ἡ ἀκτίνα τοῦ φωτὸς ποὺ ἔλαμψε νικᾶ τὴν ἐνέργεια τῶν ματιῶν, παραμένοντας ἀχώρητη μέσα σ' αὐτά, ἔτσι κι ἐκεῖ ὁ Θεὸς ὑπερβαίνει ὁποιαδήποτε δύναμη κι ἐνέργεια τοῦ νοῦ, χωρὶς ν' ἀφήσει κανένα σημάδι στὴ νόηση ἐκείνου ποὺ προσπαθεῖ νὰ τὸν νοήσει. Μὲ τὰ λευκὰ φορέματα διδάσκονταν ταυτόχρονα καὶ ὅπως πρέπει στὸ Θεὸ τόσο τὴ μεγαλουργία μέσα στὰ κτίσαμτα ἀνάλογα μὲ τοὺς λόγους ποὺ δημιουργήθηκαν, ὅσο καὶ τὸ νοητὸ μυστὴριο μέσα στοὺς λόγους τῆς ἁγίας Γραφῆς, ἐπειδὴ μὲ τὴν ἐπίγνωση τοῦ Θεοῦ φανερώνεται μαζὶ ἡ πνευματικὴ δύναμη τῆς Γραφὴς καὶ τῆς πνευματικῆς σοφίας καὶ γνώσης μέσα στὰ κτίσματα, μὲ τὰ ὁποῖα πάλι ὁ ἴδιος φανερώνεται ἀναλόγως. Μὲ τὸν Μωυσῆ καὶ τὸν Ἠλία ποὺ ἦταν μαζί του ἀπὸ τὸ ἕνα καὶ τὸ ἄλλο μέρος (αὐτὸ ἀπομένει νὰ ἐξετάσει ἡ θεωρία) δέχονταν πολλοὺς γνωστικοὺς τρόπους μὲ ἀληθινὴ θεωρία μὲ πολλὲς ἔννοιες, τῶν μυστηρίων τῶν ὁποίων εἶχαν προβληθεῖ τύποι.

## 41

### Ἑρμηνεία γιὰ τὸ Μωυσῆ καὶ τὸν Ἠλία.

Α΄. Καὶ πρῶτα σχηματίζουν τὴν εὐσεβέστατη ἔννοια γιὰ τὸ ὅτι πρέπει ὁπωσδήποτε νὰ συνυπάρχουν μέσα στὸ Λόγο καὶ Θεὸ τόσο ὁ νομικὸς ὅσο καὶ ὁ προφητικὸς λόγος μὲ τὴν παρουσία τοῦ Μωυσῆ καὶ τοῦ Ἠλία, ἐπειδὴ καὶ οἱ δύο λόγοι προέρχονταν ἀπὸ αὐτὸν καὶ γι' αὐτὸν μιλοῦσαν καὶ γύρω ἀπὸ αὐτὸν ἦταν θεμελιωμένοι.

Β΄. Ἔπειτα ἀπὸ τὴν παρουσία αὐτῶν τῶν ἴδιων διδάσκονταν πὼς συνυπάρχουν σ' αὐτὸν ἡ σοφία καὶ ἡ καλοσύνη· ἡ σοφία, γιατὶ σύμφωνα μ' αὐτὴ ὑπαγόρευε ὁ Λόγος ὅσα ἔπρεπε νὰ πραχθοῦν κι ἀπαγόρευε ὅσα δὲν ἔπρεπε νὰ πραχθοῦν, τῆς ὁποίας τύπος ἦταν ὁ Μωυσῆς (γιατὶ πιστεύομε ὅτι ἡ χάρη τῆς νομοθεσίας εἶναι τῆς σοφίας), καὶ ἡ καλοσύνη, γιατὶ σύμφωνα μ' αὐτὴν ὁ λόγος προτρέπει καὶ κατευθύνει πρὸς τὴ θεία ζωὴ ὅσους ξεγλί-

σάντων, ἧς τύπος ὑπῆρχεν Ἠλίας, δι' ἑαυτοῦ ὅλον τὸ προφητικὸν δηλῶν χάρισμα. Χρηστότητος γὰρ θείας ἴδιον γνώρισμα, τῶν πεπλανημένων ἡ μετὰ φιλανθρωπίας ἐπιστροφή, ἧς κήρυκας τοὺς προφήτας γινώσκομεν.

Γ' Ἡ γνῶσιν καὶ παιδείαν, τὴν μὲν ὅτι καλοῦ τε καὶ κακοῦ τῆς εἰδήσεως τοῖς ἀνθρώποις ὑπάρχει παρεκτικός. «Δέδωκα, γάρ», φησί, «πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον», εφ' ᾧ τὴν μὲν ἑλεῖν αἱρεῖσθαι, τὸν δὲ φυγεῖν, καὶ μὴ ὡς καλῷ περιπεσεῖν ἐξ ἀγνοίας τῷ χείρονι, ὅπερ Μωϋσῆς πεπραχὼς ἀνηγόρευται, προτυπῶν ἐν ἑαυτῷ τῆς ἀληθείας τὰ σύμβολα· τὴν δὲ ὅτι τῶν τοῖς ἐναντίοις ἀνέδην χρωμένων κατὰ τὸν Ἰσραήλ, οὗ παιδευτὴς Ἠλίας ὁ μέγας ἐγένετο, καὶ μιγνύντων ἀδιακρίτως τὰ ἄμικτα, τῆς ἀδιαφορίας ἐστὶ κολαστικός, καὶ τῶν παντελῶς τῷ κακῷ προστεθειμένων τὴν ἄνοιαν καὶ τὴν πώρωσιν εἰς ἔννοιαν ἄγων, ὡς λόγος, καὶ αἴσθησιν.

Δ' Ἡ πρᾶξιν καὶ θεωρίαν, τὴν μὲν ὡς κακίας ἀναιρετικήν, καὶ κόσμου δι' ἐπιδείξεως ἀρετῶν τοὺς δι' αὐτῆς ἀγομένους παντελῶς κατὰ διάθεσιν τέμνουσαν, ὡς Μωϋσῆς τῆς Αἰγύπτου τὸν Ἰσραήλ, καὶ θείοις νόμοις τοῦ Πνεύματος εὐπειθῶς παιδεύουσαν ἄγεσθαι· τὴν δὲ ὡς ὕλης καὶ εἴδους ἁρπάζουσαν, ὡς τὸν Ἠλίαν τὸν ἐκ πυρὸς ἅρμα καὶ Θεῷ διὰ γνώσεως προσάγουσάν τε καὶ συνάπτουσαν ὑπὸ σαρκὸς μηδ' ὁτιοῦν βαρουμένους, διὰ τὴν τοῦ κατ' αὐτὴν νόμου ἀθέτησιν, ἢ ἐπάρσει καθ' ὁτιοῦν ἐπὶ τοῖς κατορθώμασι φλεγομένους, διὰ τὴν συνημμένην ταῖς ὄντως ἀρεταῖς δρόσον τῆς πτωχείας τοῦ πνεύματος.

Ε' Ἡ πάλιν τὰ κατὰ τὸν γάμον καὶ τὴν ἀγαμίαν μυστήρια παρὰ τῷ Λόγῳ εἶναι μανθάνοντες διὰ Μωϋσέως, τοῦ διὰ γάμον τῆς θείας ἐραστοῦ γενέσθαι δόξης μὴ κωλυθέντος, καὶ διὰ

5. Δευτ. 30,19. 6. Δ' Βασ. 2,11.

στρησαν ἀπὸ αὐτα, τῆς ὁποίας τύπος ἦταν ὁ Ἠλίας, ποὺ δηλώνει ὅλο τὸ προφητικὸ χάρισμα. Γιατὶ τῆς θείας καλοσύνης γνώρισμα εἶναι ἡ ἐπιστροφὴ μὲ φιλανθρωπία ἐκείνων ποὺ ἔχουν πλανηθεῖ, ποὺ ὡς κήρυκές της ἀναγνωρίζομε τοὺς προφῆτες.

Γ΄. Ἢ ὅτι συνυπάρχουν σ' αὐτὸν ἡ γνώση καὶ ἡ παιδεία. Ἡ πρώτη ἐπειδὴ παρέχει στοὺς ἀνθρώπους τὴν εἴδηση τοῦ καλοῦ καὶ τοῦ κακοῦ· γιατὶ λέει, «ἔβαλα μπροστά σου τὴ ζωὴ καὶ τὸ θάνατο»[5], γιὰ νὰ διαλέξεις τὴ μία καὶ ν' ἀποφύγεις τὸν ἄλλο, καὶ νὰ μὴν πέσεις ἀπὸ ἄγνοια στὸ κακὸ νομίζοντάς το καλό, πράγμα ποὺ λέχθηκε ὅτι τὸ ἔπραξε ὁ Μωυσῆς, ἀποτελώντας τὸ πρότυπο τῆς ἀλήθειας. Ἡ δεύτερη, ἐπειδὴ ὅλων ἐκείνων ποὺ ἔπρατταν χωρὶς ντροπὴ ἀντίθετα σύμφωνα μὲ τὸν Ἰσραήλ, ποὺ παιδαγωγός του μέγας στάθηκε ὁ Ἠλίας, καὶ ἔσμιγαν ἀδιακρίτως τὰ ἄσμιχτα, αὐτὸς ἦταν κολαστὴς τῆς ἀδιαφορίας ὅλων αὐτῶν καθὼς καὶ ἐκείνων ποὺ εἶχαν ὁλοκληρωτικὰ δοθεῖ στὸ κακὸ δίνοντας ὡς λόγος στὴν ἀνοησία καὶ τὴν πώρωσή τους νόημα καὶ αἴσθηση.

Δ΄. Ἢ πράξη καὶ θεωρία· ἡ μία, ἐπειδὴ εἶναι ἀναιρετικὴ τῆς κακίας καὶ ἐπειδὴ μὲ ἐπίδειξη τῶν ἀρετῶν προκαλεῖ πλήρη τομὴ τῆς θέλησης πρὸς τὸν κόσμο σ' αὐτοὺς ποὺ ἐκείνη ὁδηγεῖ, ὅπως ὁ Μωυσῆς τῆς Αἰγύπτου τὸν Ἰσραήλ, καὶ τὴν παιδαγωγεῖ μὲ τοὺς θείους νόμους τοῦ Πνεύματος νὰ δέχεται εὐπειθῶς τὴν κυβέρνησή του. Ἡ ἄλλη, ἐπειδὴ ἁρπάζει ἀπὸ τὴν ὕλη καὶ τὸ εἶδος, ὅπως τὸν Ἠλία τὸ πύρινο ἅρμα[6], καὶ ὁδηγεῖ τοὺς ἀνθρώπους μὲ τὴ γνώση στὸ Θεὸ καὶ τοὺς συνάπτει μαζί του χωρὶς νὰ τοὺς βαραίνει καθόλου ἡ σάρκα, ἐπειδὴ ἔχουν ἀθετήσει τοὺς νόμους της ἢ ἐπειδὴ δὲν τοὺς καίει καθόλου ἡ φλόγα τῆς ἔπαρσης, χάρη στὴ δρόσο τῆς πνευματικῆς πτωχείας ποὺ εἶναι δεμένη μὲ τὶς ἀληθινὲς ἀρετές.

Ε΄. Ἢ πάλι μαθαίνουν ὅτι ὑπάρχουν μαζὶ στὸ Λόγο τὰ μυστήρια τοῦ γάμου καὶ τῆς ἀγαμίας μέσω τοῦ Μωυσῆ ἀπὸ τὴ μιὰ ποὺ δὲν ἐμπόδισε ὁ γάμος του νὰ γίνει ἐραστὴς τῆς θείας δόξας, καὶ ἀπὸ τὴν ἄλλη μέσω τοῦ Ἠλία, ποὺ παρέμεινε τελείως ἔξω ἀπὸ κάθε συνάφεια γάμου, ἐπειδὴ ὁ Λόγος καὶ Θεός, ἐκείνους ποὺ ρυθμί-

*Ἡλίου, τοῦ παντελῶς γαμικῆς συναφείας καθαροῦ ἰθύνοντας, κατὰ τοὺς θειωδῶς περὶ αὐτῶν κειμένους νόμους, ἑαυτῷ μυστικῶς εἰσποιεῖσθαι κηρύττοντος.*

*S' Ἢ ζωῆς καὶ θανάτου διὰ τῶν αὐτῶν κύριον πιστῶς ὄντα τὸν Λόγον πληροφορούμενοι.*

*Ζ' Ἢ καὶ τὸ πάντας ζῆν τῷ Θεῷ καὶ μηδένα παντελῶς παρ' αὐτῷ νεκρὸν εἶναι διὰ τῶν αὐτῶν μανθάνοντες, πλὴν τοῦ ἑαυτὸν τῇ ἁμαρτίᾳ νεκρώσαντος, καὶ τῇ ἑκουσίῳ πρὸς τὰ πάθη ῥοπῇ τοῦ Λόγου ἑαυτὸν ἀποκόψαντος.*

*Η' Ἢ πάλιν πρὸς τὸν Λόγον ὡς ἀλήθειαν ὄντα κατ' ἀναφορὰν εἶναί τε καὶ ὑπάρχειν τοὺς τύπους τῶν μυστηρίων, καὶ εἰς αὐτὸν συνάγεσθαι, τῆς τε νομικῆς καὶ τῆς προφητικῆς πραγματείας ὡς ἀρχὴν καὶ τέλος, ἐφωταγωγοῦντο.*

*Θ' Ἢ τὰ μετὰ Θεὸν πάντα καὶ ἐκ Θεοῦ γεγονότα, τουτέστι τὴν φύσιν τῶν ὄντων καὶ τὸν χρόνον, παρὰ τῷ Θεῷ ὄντα συνεκφαίνεσθαι ἀληθῶς φαινομένῳ, κατὰ τὸ ἐφικτόν, ὡς αἰτίῳ καὶ ποιητῇ, ὧν τοῦ μὲν χρόνου τύπος ἂν εἴη Μωϋσῆς, οὐ μόνον ὡς χρόνου καὶ τοῦ κατ' αὐτὸν ἀριθμοῦ διδάσκαλος (οὗτος γὰρ πρῶτος τὸν κατὰ τὴν γένεσιν τοῦ κόσμου χρόνον ἠρίθμησε), καὶ ὡς χρονικῆς γενόμενος λατρείας καθηγητής, ἀλλὰ καὶ ὡς μὴ συνεισερχόμενος ἐκείνοις σωματικῶς εἰς τὴν κατάπαυσιν, ὧν πρὸ τῆς θείας καθηγήσατο εὐαγγελίας· τοιοῦτον γὰρ καὶ ὁ χρόνος, οὐ φθάνων ἢ συνερχόμενος κατὰ τὴν κίνησιν ἐκείνοις οὓς πρὸς τὴν θείαν τοῦ μέλλοντος αἰῶνος ζωὴν πέφυκε παραπέμπειν. Ἰησοῦν γὰρ ἔχει τὸν παντὸς ὄντα καὶ χρόνου καὶ αἰῶνος διάδοχον· κἂν εἰ ἄλλως οἱ λόγοι τοῦ χρόνου ἐν τῷ Θεῷ διαμένωσιν, ὡς δηλοῖ μυστικῶς ἡ τοῦ ἐν ἐρήμῳ δοθέντος νόμου διὰ Μωϋσέως τοῖς τὴν γῆν λαβοῦσι τῆς κατασχέσεως συνείσοδος.*

ζουν τὰ ζητηματα αὐτὰ μὲ τὸ Λόγο σύμφωνα μὲ τοὺς νόμους ποὺ ἔβαλε ὁ Θεός, διακηρύττει ὅτι τοὺς κάνει οἰκείους του μὲ τρόπο μυστικό.

S'. Ἢ πληροφοροῦνται ἀξιόπιστα μὲ τὴν παρουσία αὐτῶν τῶν ἴδιων, ὅτι ὁ Λόγος εἶναι κύριος τῆς ζωῆς καὶ τοῦ θανάτου.

Ζ'. Ἢ μέσω τῶν ἴδιων αὐτῶν μαθαίνουν ὅτι ὅλοι εἶναι ζωντανοὶ μέσα στὸ Θεὸ κι ἀπολύτως κανένας δὲν εἶναι κοντά του νεκρός, ἐκτὸς ἀπὸ ἐκεῖνον ποὺ νέκρωσε τὸν ἑαυτὸ του ἐξαιτίας τῆς ἁμαρτίας καὶ ἀπέκοψε τὸν ἑαυτὸ του ἀπὸ τὸ Λόγο μὲ τὴν ἐθελούσια ροπή του πρὸς τὰ πάθη.

Η'. Ἢ ἀκόμα διαφωτίζονταν ὅτι κατ' ἀναφορὰ πρὸς τὸ Λόγο, ἐπειδὴ εἶναι ἀλήθεια[7], εἶναι καὶ ὑφίστανται καὶ συγκεντρώνονται σ' αὐτὸν οἱ τύποι τῶν μυστηρίων ποὺ περιέχονται τόσο στὶς νομικὲς διατάξεις ὅσο καὶ στὶς προφητικὲς ἐξαγγελίες.

Θ'. Ἢ διδάσκονταν ὅτι ὅλα τὰ ἔπειτα ἀπὸ τὸ Θεὸ καὶ ποὺ δημιουργήθηκαν ἀπὸ τὸ Θεό, δηλαδὴ ἡ φύση τῶν ὄντων καὶ ὁ χρόνος, συνεμφανίζονται ὅτι ὑπάρχουν κοντὰ στὸ Θεό, ποὺ φανερώνεται ἀληθινά, ὅσο εἶναι δυνατὸ, ἐπειδὴ εἶναι αἴτιος καὶ δημιουργὸς, ἀπὸ τὰ ὁποῖα τύπος τοῦ χρὸνου μπορεῖ νὰ εἶναι ὁ Μωυσῆς, ὄχι μόνο ἐπειδὴ στάθηκε δάσκαλος τοῦ χρόνου καὶ τοῦ ἀριθμοῦ του (γιατὶ αὐτὸς πρῶτος μέτρησε τὸ χρὸνο τῆς γένεσης τοῦ κὸσμου) κι ἔγινε καθηγητὴς τὴς χρονικῆς λατρείας, ἀλλὰ καὶ ἐπειδὴ δὲν εἰσῆλθε μαζὶ μ' ἐκείνους σωματικὰ στὴν κατάπαυση, τῶν ὁποίων ἔγινε ὁδηγὸς πρὶν ἔρθει τὸ θεῖο Εὐαγγέλιο. Γιατὶ τέτοιο πράγμα εἶναι καὶ ὁ χρόνος· δὲν ξεπερνᾶ οὔτε συντονίζει τὴν κίνησή του μαζὶ μ' ἐκείνους, ποὺ ἔχει στὴ φύση του νὰ παραπέμπει στὴ θεία ζωὴ τοῦ μελλοντικοῦ χρόνου. Γιατὶ ἔχει τὸν Ἰησοῦ ποὺ εἶναι διάδοχος ὅλου τοῦ χρόνου καὶ τῆς αἰωνιότητας· κι ἂν ἀκόμα διαφορετικὰ παραμένουν οἱ λόγοι τοῦ Θεοῦ, ὅπως δηλώνει μυστικὰ ἡ συνείσοδος τοῦ νόμου ποὺ δόθηκε στὴν ἔρημο μέσω τοῦ Μωυσῆ[8] σ' ἐκείνους ποὺ ἔλαβαν τὴ χώρα τῆς ὑπόσχεσης.

7. Ἰω. 14,6.
8. Δευτ. 1,5.

*Αἰὼν γάρ ἐστιν ὁ χρόνος, ὅταν στῇ τῆς κινήσεως, καὶ χρόνος ἐστὶν ὁ αἰών, ὅταν μετρῆται κινήσει φερόμενος, ὡς εἶναι τὸν μὲν αἰῶνα, ἵνα ὡς ἐν ὅρῳ περιλαβὼν εἴπω, χρόνον ἐστερημένον κινήσεως, τὸν δε χρόνον αἰῶνα κινήσει μετρούμενον. Τῆς δὲ φύσεως Ἠλίας, οὐ μόνον ὡς τοὺς καθ' ἑαυτὸν ἀλωβήτους φυλάξας λόγους, καὶ τὸ ἐπ' αὐτοῖς κατὰ γνώμην φρόνημα τροπῆς τῆς ἐκ πάθους ἐλεύθερον, ἀλλὰ καὶ ὡς ἐν κρίσει παιδεύων, οἷόν τις φυσικὸς νόμος, τοὺς παρὰ φύσιν τῇ φύσει χρωμένους. Τοιοῦτον γὰρ καὶ ἡ φύσις, τοὺς αὐτῆν παραφθείρειν ἐπιχειροῦντας τοσοῦτον κολάζουσα, ὅσον τοῦ παρὰ φύσιν ζῆν ἐπιτηδεύουσι, τῷ μὴ ὅλην αὐτῆς φυσικῶς ἔτι κεκτῆσθαι τῆς φύσεως τὴν δύναμιν, μειωθέντας ἤδη τῆς κατ' αὐτὴν ἀρτιότητος καὶ διὰ τοῦτο κολαζομένους, ὡς ἑαυτοῖς ἀβούλως τε καὶ ἀφρόνως διὰ τῆς πρὸς τὸ μὴ ὂν νεύσεως τοῦ εἶναι παρεχομένους τὴν ἔλλειψιν.*

*Ι' Ἴσως δὲ καὶ τὴν νοητὴν καὶ τὴν αἰσθητὴν κτίσιν ἔχεσθαι τοῦ Δημιουργοῦ Λόγου τις εἰπὼν διὰ Μωϋσέως καὶ Ἠλίου, τῆς ἀληθείας οὐ διαμαρτάνει, ὧν τῆς μὲν αἰσθητῆς Μωϋσῆς λόγον ἐπέχει, ὡς ὑπὸ γένεσιν καὶ φθορὰν γενόμενος, καθὼς ἡ περὶ αὐτοῦ ἱστορία δηλοῖ, τὴν γένεσιν καὶ τὸν θάνατον αὐτοῦ καταγγέλλουσα. Τοιοῦτον γὰρ καὶ αἰσθητὴ κτίσις, ἀρχὴν ἐγνωσμένην γενέσεως ἔχουσα καὶ διαφθορᾶς ὡρισμένον τέλος ἐλπίζουσα. Τῆς δὲ νοητῆς Ἠλίας, ὡς οὔτε γένεσιν αὐτοῦ τῆς περὶ αὐτοῦ μηνυούσης ἱστορίας, κἂν εἰ γεγέννηται, οὔτε μὴν τὴν διὰ θανάτου φθορὰν ἐλπίζεσθαι ὁριζομένης, κἂν εἰ τεθνήξεται. Τοιοῦτον γὰρ καὶ ἡ νοητὴ κτίσις, οὔτε ἀρχὴν γενέσεως ἀνθρώποις κατάδηλον ἔχουσα, κἂν εἰ γεγένηται καὶ ἦρκται καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρῆκται, οὔτε τέλος τοῦ εἶναι διὰ φθορᾶς ὡρισμένον ἐκδέχεται. Τὸ γὰρ ἀνώλεθρον φυσικῶς ἔχει λαβοῦσα παρὰ Θεοῦ, τοῦ οὕτως αὐτὴν δημιουργῆσαι θελήσαντος.*

Γιατὶ αἰώνας εἶναι ὁ χρόνος, ὅταν σταματήσει νὰ κινεῖται, καὶ χρόνος εἶναι ὁ αἰώνας ὅταν μετρεῖται καθὼς τὸν παρασύρει ἡ κίνηση, ὥστε νὰ εἶναι, γιὰ νὰ τὸ διατυπώσω μὲ ἕναν ὁρισμό, ὁ αἰώνας χρόνος ποὺ στερεῖται κίνηση, καὶ ὁ χρὸνος αἰώνας ποὺ μετρεῖται μὲ τῆν κίνηση. Ὁ Ἠλίας πάλι εἶναι τῆς φύσης μας τύπος, ὄχι μόνο γιατὶ φύλαξε ἀλώβητους τοὺς λόγους ποὺ τὸν προσδιόριζαν καὶ τὸ σύμφωνο μὲ τὴ γνώμη τους θέλημα ἐλεύθερο ἀπὸ κάθε μεταβολὴ ποὺ προέρχεται ἀπὸ τὸ πάθος, ἀλλὰ καὶ ὡς αὐτὸς ποὺ παιδεύει κατὰ τὴν κρίση, σὰν κάποιος φυσικὸς νόμος, ὅποιους χρησιμοποιοῦν παρὰ φύση τὴ φύση. Γιατὶ τέτοιο πράγμα εἶναι καὶ ἡ φῦση· τιμωρεῖ σὲ τόσο βαθμὸ αὐτοὺς ποὺ ἐπιχειροῦν νὰ τὴν παραφθείρουν, σὲ ὅσο βαθμὸ ἀσκοῦν τὸ παρὰ φῦση, ἐπειδὴ δὲν ἔχουν ἀκόμη ἀποκτήσει φυσικὰ ὅλη τὴ δύναμη τῆς φύσης κι ἔχουν ἤδη ὑποστεῖ μείωση τῆς σύμφωνα μ' αὐτὴν ἀρτιὸτητάς τους, καὶ γι' αὐτὸ τιμωροῦνται, ἐπειδὴ αὐτοὶ οἱ ἴδιοι ἀνὸητα καὶ ἀστόχαστα προκάλεσαν στὸν ἑαυτό τους τὴν ἔλλειψη μὲ τὴν κλίση τοῦ εἶναι τους πρὸς τὸ μὴ ὄν.

Ι'. Ἴσως βλέποντας κανένας τὸ Μωυσῆ καὶ τὸν Ἠλία ἂν πεῖ ὅτι εἶναι ἡ νοητὴ καὶ αἰσθητὴ κτίση ποὺ συγκρατοῦνται ἀπὸ τὸ Δημιουργὸ Λὸγο, δὲ θὰ κάνει λάθος στὴν ἀλήθεια. Ἀπὸ αὐτοὺς στὴν αἰσθητὴ φύση ἀντιστοιχεῖ ὁ Μωυσῆς, ἐπειδὴ ἔζησε κάτω ἀπὸ τὴ γένεση καὶ τὴ φθορά, ὅπως δηλώνει ἡ ἱστορία γι' αὐτὸν πληροφορώντας μας γιὰ τὴ γέννηση καὶ τὸ θάνατό του. Γιατὶ τέτοια εἶναι καὶ ἡ αἰσθητὴ κτίση· ἔχει γνωστὴ ἀρχὴ γένεσης καὶ περιμένει καθορισμένο τέλος τοῦ ὀλέθρου της. Στὴ νοητὴ πάλι φῦση ἀντιστοιχεῖ ὁ Ἠλίας, ἐπειδὴ ἡ ἱστορία γι' αὐτὸν δὲν ἀναφέρει οὔτε γένεση, οὔτε ἂν γεννήθηκε κἄν, οὔτε καθορίζει ἂν τὸν περίμενε φθορά του μὲ θάνατο, οὔτε ἂν ἦταν κὰν νὰ πεθάνει. Γιατὶ τέτοια εἶναι καὶ ἡ νοητὴ κτίση· οὔτε ἔχει ἀρχὴ γέννησης ποὺ νὰ εἶναι καταφάνερη στοὺς ἀνθρώπους, οὔτε ἂν ἔχει κἂν δημιουργηθεῖ καὶ ἀρχίσει καὶ ἀπὸ τὸ μὴ ὂν πέρασε στὸ ὄν, οὔτε προσδοκᾶ καθορισμένο τέλος τοῦ εἶναι της μὲ τὴ φθορά. Γιατὶ ἔχει λάβει τὸ φυσικὸ ἀνώλεθρο ἀπὸ τὸ Θεό, ποὺ θέλησε νὰ τὴ δημιουργήσει τέτοια.

## *ΜΒ΄*

*Ἄλλη συνεκτικὴ θεωρία εἰς τὴν Μεταμόρφωσιν.*

*Εἰ δέ τῳ μὴ περιεργότερος τοῦ δέοντος εἶναι δοκῶ, καὶ ἕτερον μέγα τε καὶ θεῖον, ὡς οἶμαι, ἐκ τῆς θείας μεταμορφώσεως μυστήριον ἡμῖν ἀναφαίνεται, καὶ τῶν εἰρημένων λαμπρότερον. Οἶμαι γὰρ τοὺς καθόλου δύο τῆς θεολογίας τρόπους μυστικῶς ὑφηγεῖσθαι τὰ ἐπὶ τοῦ ὄρους κατὰ τὴν μεταμόρφωσιν θεοπρεπῆ δραματουργήματα, τόν τε προηγούμενόν φημι καὶ ἁπλοῦν καὶ ἀναίτιον, καὶ διὰ μόνης καὶ παντελοῦς ἀποφάσεως τὸ Θεῖον ὡς ἀληθῶς καταφάσκοντα, καὶ τὴν ὑπεροχὴν αὐτοῦ δι' ἀφασίας δεόντως σεμνύνοντα, καὶ τὸν ἑπόμενον τούτῳ καὶ σύνθετον διὰ καταφάσεως μεγαλοπρεπῶς ἐκ τῶν αἰτιατῶν ὑπογράφοντα· οἷς, κατὰ τὸ δυνατὸν ἀνθρώπους εἰδέναι, ἡ περὶ Θεοῦ τε καὶ τῶν θείων ἐπαιωρουμένη γνῶσις διὰ τῶν προσφυῶν ἡμῖν συμβόλων πρὸς ἀμφοτέρους ἡμᾶς ἄγει τοὺς τρόπους, δι' εὐσεβοῦς τῶν ὄντων κατανοήσεως ἀμφοτέρων ἡμῖν ἐφιστῶσα τοὺς λόγους, καὶ τοῦ μὲν προτέρου πᾶν τὸ ὑπὲρ αἴσθησιν σύμβολον εἶναι διδάσκουσα, τοῦ δὲ δευτέρου τὰ κατ' αἴσθησιν ἀθροιστικὰ εἶναι παιδεύουσα μεγαλουργήματα. Ἐκ γὰρ τῶν ὑπὲρ αἴσθησιν συμβόλων τὴν ὑπὲρ λόγον καὶ νοῦν ἀλήθειαν εἶναι μόνον πιστεύομεν, περὶ τοῦ τί καὶ πῶς καὶ ὁποίαν εἶναι καὶ ποῦ καὶ πότε μηδ' ὅλως τολμῶντες σκοπεῖν ἢ ἐννοεῖν ἀνεχόμενοι, τῆς ἐγχειρήσεως τὸ ἀσεβὲς παραιτούμενοι· ἐκ δὲ τῶν κατ' αἴσθησιν, ὡς ἡμῖν ἐστι δυνατόν, κατ' ἔννοιαν μόνον ἰσχνῶς τῆς περὶ Θεοῦ γνώσεως τὰς εἰκασίας λαμβάνοντες πάντα αὐτὸν εἶναί φαμεν ὅσα ἐκ τῶν αὐτοῦ ποιημάτων ὡς αἴτιον ἐγνωρίσαμεν.*

## *ΜΓ΄*

***Ὅτι καὶ ἑαυτοῦ τύπος ὁ Κύριος γέγονε κατὰ τὴν ἑαυτοῦ διὰ σαρκὸς οἰκονομίαν.***

*Σκοπήσωμεν δέ, εἰ μὴ καλῶς ἑκάστῳ τῶν εἰρημένων*

---

9. Ὁ Μάξιμος ἐπανέρχεται στὸ θέμα τῆς μεταμόρφωσης, ἀποκαλυπτικὸ γιὰ τὸ Χριστὸ καὶ κεφαλαιῶδες γιὰ τὸν ἄνθρωπο.

## 42

Ἄλλη συνοπτικὴ ἑρμηνεία γιὰ τὴ Μεταμόρφωση[9].

Γιὰ νὰ μὴ δίνω τὴν ἐντύπωση πὼς εἶμαι σχολαστικὸς περισσότερο ἀπὸ ὅ,τι πρέπει, μᾶς φανερώνεται, νομίζω, ἀπὸ τὴ θεία μεταμόρφωση κι ἕνα ἄλλο μυστήριο, μεγάλο καὶ θεῖο καὶ λαμπρότερο ἀπὸ ὅσα ἀναφέραμε. Νομίζω δηλαδὴ ὅτι μᾶς εἰσηγεῖται μυστικὰ τοὺς δύο γενικὰ τρόπους τῆς θεολογίας ὅσα πάνω στὸ βουνὸ δραματουργοῦνται μὲ τρόπο θεῖο κατὰ τὴ μεταμόρφωση, ἐννοῶ αὐτὸν ποὺ προηγεῖται κι εἶναι ἁπλὸς καὶ δίχως αἰτία καὶ ποὺ μὲ μόνη καὶ πλήρη ἀπόφαση καταφάσκει τὴ θεότητα ἀληθινὰ καὶ ποὺ τιμᾶ ὅπως πρέπει τὴν ὑπεροχή του μὲ ἀφασία, καὶ τὸν τρόπο ποὺ εἶναι ἐπακόλουθος τοῦ προηγούμενου καὶ σύνθετος καὶ ποὺ μὲ κατάφαση τὸν ὑπογραμμίζει μεγαλόπρεπα ἀπὸ τὰ ἀποτελέσματα. Μὲ αὐτά, ὅσο γίνεται στοὺς ἀνθρώπους νὰ γνωρίζουν, ἡ ἐπικρεμάμενη γνώση περὶ Θεοῦ καὶ θείων μὲ τὰ κατάλληλα σ' ἐμᾶς σύμβολα μᾶς ὁδηγεῖ καὶ πρὸς τοὺς δύο αὐτοὺς τρόπους, μ' εὐσεβὴ κατανόηση τῶν ὄντων παρουσιάζοντάς μας καὶ τῶν δύο τοὺς λόγους καὶ διδάσκοντάς μας ὅτι ὅλο τὸ ὑπεραισθητὸ εἶναι σύμβολο τοῦ πρώτου, ἐνῶ σύμβολο τοῦ δευτέρου μᾶς μαθαίνει πὼς εἶναι ἀθροιστικὰ τὰ αἰσθητὰ μεγαλουργήματα. Γιατὶ ἀπὸ τὰ ὑπεραισθητὰ μόνο σύμβολα πιστεύομε πὼς ὑπάρχει ἡ ὑπέρλογη καὶ ὑπέρνοη ἀλήθεια· γιὰ τὸ τί εἶναι καὶ πὼς καὶ ποιᾶς λογῆς καὶ ποῦ καὶ πότε οὔτε κὰν τολμοῦμε ἢ ἀνεχόμαστε νὰ τὸ ἐξετάσομε, ἀλλὰ παραιτούμαστε ἀπὸ τὸ ἀσεβὲς τόλμημα. Ἀπὸ τὰ αἰσθητὰ ὅμως, παίρνοντας, ὅσο μποροῦμε, ἰσχνὲς μόνο εἰκασίες μὲ τὸ νοῦ γιὰ τὴ γνώση τοῦ Θεοῦ, λέμε ὅτι αὐτὸς εἶναι ὅλα ἐκεῖνα ὅσα ἀπὸ τὰ ἔργα του τὸν γνωρίσαμε ὡς αἴτιο.

## 43

**Ὅτι ὁ Κύριος ἔγινε καὶ τοῦ ἑαυτοῦ του τύπος σύμφωνα μὲ τὴν κατ' οἰκονομία σάρκα ποὺ ἔλαβε.**

Ἂς ἐξετάσομε τώρα ἂν δὲν ἐνυπάρχει καλὰ καὶ σοφὰ τὸ

*τρόπων κατὰ τὴν θείαν ἐκείνην τοῦ Κυρίου μεταμόρφωσιν καὶ σοφῶς ἐνυπάρχει τὸ σύμβολον. Εἴδει γὰρ αὐτὸν καθ' ἡμᾶς ἀτρέπτως κτισθῆναι δι' ἄμετρον φιλανθρωπίαν καταδεξάμενον ἑαυτοῦ γενέσθαι τύπον καὶ σύμβολον, καὶ παραδεῖξαι ἐξ ἑαυτοῦ συμβολικῶς ἑαυτόν, καὶ δι' ἑαυτοῦ φαινομένου πρὸς ἑαυτὸν ἀφανῶς πάντῃ κρυπτόμενον χειραγωγῆσαι τὴν ἅπασαν κτίσιν καὶ τῆς ἀφανοῦς καὶ πάντων ἐπέκεινα κρυφιομύστου καὶ ὑπ' οὐδενὸς τῶν ὄντων οὐδενὶ τὸ σύνολον τρόπῳ νοηθῆναι ἢ λεχθῆναι δυναμένης ἀπειρίας τὰς ἐκφανεῖς διὰ σαρκὸς θεουργίας ἀνθρώποις παρέχειν φιλανθρώπως μηνύματα.*

## *ΜΔ'*

### *Θεωρία τοῦ ἀστράψαντος προσώπου τοῦ Κυρίου.*

*Τὸ τοίνυν φῶς τοῦ προσώπου τοῦ Κυρίου τὸ νικῆσαν τῆς ἀνθρωπίνης μακαρίας ἀποστόλοις τῆς κατ' ἀπόφασιν μυστικῆς θεολογίας, καθ' ὃ ἡ μακαρία καὶ ἁγία θεότης κατ' οὐσίαν ἐστὶν ὑπεράρρητος καὶ ὑπεράγνωστος καὶ πάσης ἀπειρίας ἀπειράκις ἐξῃρημένη, οὐδ' ἴχνος ὅλως καταλήψεως κἂν ψιλὸν τοῖς μετ' αὐτὴν καταλείψασα, οὐδὲ τὴν πῶς κἂν πόσως ἡ αὐτὴ καὶ μονάς ἐστι καὶ τριὰς ἔννοιαν ἐφιεῖσά τινι τῶν ὄντων, ἐπειδὴ μηδὲ χωρεῖσθαι κτίσει τὸ ἄκτιστον πέφυκε, μηδὲ περινοεῖσθαι τοῖς πεπερασμένοις τὸ ἄπειρον.*

## *ΜΕ'*

### *Θεωρία εἰς τὰ φανὰ τοῦ Κυρίου ἐνδύματα.*

*Τὸν δὲ καταφατικὸν τρόπον εἴς τε τὸν κατ' ἐνέργειαν πρόνοιάν τε καὶ κρίσιν διαιρούμενον· τὸν μὲν κατ' ἐνέργειαν, τὸν ἐκ καλλονῆς καὶ μεγέθους τῶν κτισμάτων τὴν περὶ*

10. Ματθ. 17,2.

σύμβολο σὲ καθένα ἀπὸ τοὺς τρόπους ποὺ εἴπαμε κατὰ τὴ θεία μεταμόρφωση τότε τοῦ Κυρίου. Γιατὶ ἔπρεπε, ἀφοῦ καταδέχθηκε νὰ κτιστεῖ καὶ νὰ πάρει τὴ δική μας μορφή, νὰ γίνει τύπος καὶ σύμβολο τοῦ ἑαυτοῦ του καὶ μὲ τὸν ἑαυτό του νὰ δείξει συμβολικὰ τὸν ἑαυτό του καὶ μὲ τὴ φανέρωσή του μέσω τοῦ ἑαυτοῦ του νὰ χειραγωγήσει πρὸς τὸν ἑαυτό του, ποὺ κρυβόταν σὲ πλήρη ἀφάνεια, σύνολη τὴν κτίση καὶ νὰ παρέχει ἀπὸ φιλανθρωπία μηνύματα στοὺς ἀνθρώπους γιὰ τὴν ἀφανὴ καὶ πέρ' ἀπ' ὅλα ἀπόκρυφη καὶ μυστικὴ ἀπειρία καὶ ποὺ ἀπὸ κανένα ὂν μὲ κανένα ἀπολύτως τρόπο δὲν μπορεῖ νὰ γίνει ἀντικείμενο νόησης καὶ ἔκφρασής της, τὶ θεῖες ἐνέργειές του ποὺ ἐκδηλώνονται μὲ τὴ σάρκα.

## 44

Ἑρμηνεία γιὰ τὸ πρόσωπο τοῦ Κυρίου ποὺ ἄστραψε.

Τὸ φῶς λοιπὸν τοῦ προσώπου τοῦ Κυρίου ποὺ νίκησε τὴν ἀνθρώπινη μακαριότητα[10] γιὰ τοὺς ἀποστόλους εἶναι τῆς ἀποφατικῆς μυστικῆς θεολογίας, σύμφωνα μὲ τὸ ὁποῖο ἡ μακάρια καὶ ἅγια θεότητα εἶναι κατὰ τὴν οὐσία πάνω ἀπὸ ἄρρητη καὶ πάνω ἀπὸ ἄγνωστη καὶ ἐξαιρημένη ἄπειρες φορὲς ἀπὸ κάθε ἀπειρία, χωρὶς νὰ ἔχει ἀφήσει οὔτε κὰν ἴχνος κατανόησης οὔτε νὰ ἔβαλε σὲ κάποιο ἀπὸ τὰ ὄντα τὴν ἔννοια τοῦ πῶς ἢ πόσο τὸ ἴδιο εἶναι τριάδα καὶ μονάδα, ἐπειδὴ ἀπὸ τὴ φύση του τὸ ἄκτιστο δὲ χωρεῖ μέσα στὴν κτίση, οὔτε περικλείεται τὸ ἄπειρο μέσα στὸ νοῦ τῶν πεπερασμένων.

## 45

Ἑρμηνεία γιὰ τὰ ἀστραφτερὰ φορέματα τοῦ Κυρίου.

Ὁ καταφατικὸς τρόπος διαιρεῖται στὸν κατ' ἐνέργεια, κατὰ πρόνοια καὶ στὸν κατὰ κρίση. Ὁ κατ' ἐνέργεια τρόπος, ποὺ εἰσηγεῖται ἀπὸ τὴν ὡραιότητα καὶ τὸ μέγεθος τῶν κτισμάτων τὴ

*τοῦ δημιουργὸν εἶναι τῶν ὅλων τὸν Θεὸν εἰσηγούμενον δήλωσιν, διὰ τῶν λαμπρῶν ἐσθημάτων τοῦ Κυρίου δηλοῦσθαι, ἅπερ εἰς τὰ φαινόμενα κτίσματα προεκλαβὼν ὁ Λόγος ἀπέδειξεν.*

## *MS'*

### *Θεωρία ἄλλη εἰς τὸν Μωϋσῆν.*

*Τὸν δὲ κατὰ πρόνοιαν τρόπον διὰ τοῦ Μωϋσέως σημαίνεσθαι, ὡς πλάνης φιλανθρώπως ἐξαιρουμένην τοὺς κακίᾳ συνειλημμένους, καὶ τοὺς τρόπους σοφῶς τοῖς ἀνθρώποις διαποικίλλουσαν τῆς πρὸς τὰ θεῖα καὶ ἄϋλα καὶ ἀσώματα ἀπὸ τῶν ὑλικῶν καὶ φθαρτῶν καὶ σωματικῶν ἐκδημίας, καὶ τοῖς θείοις νόμοις ἐπιστημόνως ἐρείδουσα.*

## *MZ'*

### *Θεωρία ἄλλη εἰς τὸν Ἠλίαν.*

*Τὸν δὲ τῆς κρίσεως τρόπον διὰ τοῦ Ἠλίου μηνύεσθαι, ὡς λόγῳ τε καὶ ἔργῳ τοὺς μὲν κατ' ἀξίαν τιμωρουμένης, τοὺς δὲ περιεπούσης διὰ τοῦ κατὰ τὴν ὑποκειμένην ὕλην τε καὶ ποιότητα τῆς ἀρετῆς ἢ τῆς κακίας ἑκάστῳ προσφόρως αὐτὴν ἁρμόζεσθαι. Ταῦτα γὰρ πάντα τὰ προθεωρηθέντα κατὰ τὸν παρόντα τῆς ἁγίας Γραφῆς τόπον Μωϋσῆς τε καὶ Ἠλίας, ὡς ἐνῆν μάλιστα τοὺς τὰ θεῖα τυπικῶς δι' ἑαυτῶν ὑπογράφοντας πράγματα, ἐν τοῖς καθ' ἑαυτῶν ἑκάτερος χρόνοις καθ' ἱστορίαν εἰργάσαντο, ἐμφερῶς ἔχοντα πρὸς τὰ εἰρημένα κατὰ τὸν τῆς θεωρίας τρόπον.*

## *MH'*

### *Θεωρία περὶ τῆς πρὸς τὸν Κύριον κατὰ την μεταμόρφωσιν διαλέξεως Μωϋσεως καὶ Ἠλίου.*

*Ἐκ δὲ τοῦ συλλαλεῖν αὐτοὺς τῷ Κυρίῳ, καὶ τὴν ἔξοδον λέγειν ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ, οὐ μόνον τὴν ἐπ'*

δήλωση ὅτι ὁ Θεὸς εἶναι δημιουργὸς τῶν ὅλων, δηλώνεται μὲ τὰ λαμπρὰ φορέματα τοῦ Κυρίου, τὰ ὁποῖα ὁ λόγος ἀπέδειξε προηγουμένως ὅτι ἀνήκουν στὰ ὁρατὰ δημιουργήματα.

## 46

### Ἄλλη ἑρμηνεία γιὰ τὸ Μωυσῆ.

Ὁ κατὰ πρόνοια τρόπος δηλώνεται μὲ τὸ Μωυσῆ, ἐπειδὴ ἡ πρόνοια βγάζει μὲ φιλανθρωπία ἀπὸ τὴν πλάνη ὅσους ἔχει συλλάβει ἡ κακία καὶ ποὺ μὲ σοφία βρίσκει γιὰ τοὺς ἀνθρώπους ποικίλους τρόπους γιὰ τὴν ἐκδημία τους πρὸς τὰ θεῖα καὶ τὰ ἄυλα καὶ ἀσώματα, ἀπὸ τὰ ὑλικὰ καὶ φθαρτὰ καὶ σωματικά, καὶ τοὺς στηρίζει συνετὰ μὲ τοὺς θείους νόμους.

## 47

### Ἄλλη ἑρμηνεία γιὰ τὸν Ἠλία.

Ὁ τρόπος τῆς κρίσης δηλώνεται μὲ τὸν Ἠλία, ἐπειδὴ μὲ λόγο καὶ ἔργο τιμωρεῖ ἐκείνους ποὺ τὸ ἀξίζουν, ἐνῶ τοὺς ἄλλους τοὺς φροντίζει καθὼς προσαρμόζεται στὸν καθένα σύμφωνα μὲ τὴν ὕλη καὶ τὴν ποιότητα τῆς ἀρετῆς ἢ τῆς κακίας. Γιατὶ ὅλα αὐτὰ ποὺ ἐκθέσαμε προηγουμένως στὸ σημεῖο αὐτὸ τῆς ἁγίας Γραφῆς ἔπραξαν ὁ Μωυσῆς καὶ ὁ Ἠλίας, ὅπως ἦταν δυνατὸ σ' αὐτοὺς ποὺ ὑποδήλωναν μὲ τὸ παράδειγμά τους τὰ θεῖα πράγματα, στὴ δική του καθένας ἐποχή, ὅπως διηγεῖται ἡ ἱστορία, ποὺ μ' αὐτὴ συμφωνοῦν καὶ ὅσα ἐκθέσαμε μὲ τὸν τρόπο τῆς θεωρίας.

## 48

### Ἑρμηνεία τῆς συνομιλίας τοῦ Μωυσῆ καὶ τοῦ Ἠλία μὲ τὸν Κύριο κατὰ τὴ Μεταμόρφωση.

Ἀπὸ τὴ συνομιλία τους μὲ τὸν Κύριο καὶ τὸ λόγο γιὰ τὴν ἔξοδό του ποὺ ἦταν νὰ πραγματοποιήσει στὴν Ἱερουσαλήμ, δι-

*αὐτῷ διὰ νόμου καὶ προφητῶν προκεκηρυγμένην τῶν μυστηρίων ἔκβασιν ἐδιδάσκοντο, ἀλλ' ἴσως καὶ τὸ μὴ ληπτὸν εἶναι μηδενὶ καθόλου τῶν ὄντων τὸ πέρας τῆς ἀρρήτου περὶ τὸ πᾶν βουλῆς τοῦ Θεοῦ καὶ τῶν ἐπ' αὐτῇ θείων οἰκονομιῶν, πλὴν τῆς μεγάλης αὐτοῦ προνοίας καὶ κρίσεως, δι' ὧν εἰς τὸ μόνῳ τῷ Θεῷ προεγνωσμένον τέλος τὸ πᾶν εὐτάκτως ἐπείγεται, ὅπερ πάντες μὲν ὁμοίως ἠγνόησαν κατὰ τὸ τί ποτε εἶναι καὶ πῶς καὶ ποῖον καὶ πότε, μόνοι δὲ ἀληθῶς μόνον ἐπέγνωσαν ἔσεσθαι οἱ τὴν ψυχὴν ἀρεταῖς ἐκκαθάραντες ἅγιοι, καὶ πρὸς τὰ θεῖα τὴν ῥοπὴν αὐτῆς ὅλην τὴν νοερὰν ὁλικῶς μετεγκλίναντες, αὐτῆς, ὡς εἰπεῖν, τῆς καθόλου τῶν ὁρατῶν φύσεως, δι' ὧν συνίστασθαι πέφυκε τρόπων, τὸ τέλος τῆς παρούσης αὐτῆς εὐκοσμίας, μονονουχὶ διαρρήδην βοώσης, ἀκούσαντες.*

## *ΜΘ'*

### *Θεωρία φυσικὴ περὶ τοῦ τέλος ἐξ ἀνάγκης ἔχειν τὸν κόσμον.*

*Περιαθρήσαντες γάρ, ὡς ἐνῆν μάλιστα, ἐπιστημόνως τὸν παρόντα κόσμον, καὶ τῶν ἐν αὐτῷ ποικίλως ἀλλήλοις συνηρμοσμένων σωμάτων, τὸν συνεπτυγμένον κατ' ἔννοιαν σοφῶς ἐξαπλώσαντες λόγον εὗρον τὰ μὲν αὐτῶν αἰσθητὰ καὶ ἀντιληπτικὰ καὶ καθολικά, πάντα δὲ πᾶσι περιεχόμενά τε καὶ περιτρεπόμενα τῇ ἐπαλλαγῇ τῆς περὶ ἕκαστον ποιᾶς ἰδιότητος. Τοῖς μὲν γὰρ αἰσθητοῖς περιέχεται κατὰ φύσιν τὰ αἰσθητικά, τὰ δὲ αἰσθητὰ τοῖς αἰσθητικοῖς κατ' αἴσθησιν, ὡς ἀντιληπτά. Καὶ πάλιν τὰ μὲν καθόλου τοῖς μερικοῖς κατὰ ἀλλοίωσιν, τὰ δὲ μερικὰ τοῖς καθόλου κατὰ ἀνάλυσιν περιτρεπόμενα φθείρεται. Καὶ τῶν μὲν διὰ τῆς τῶν ἄλλων γενέσεως ἡ φθορὰ ἐπιγίνεται. Τῶν γὰρ καθόλου ἡ πρὸς ἄλληλα σύνοδος τῶν μερικῶν ποιουμένη τὴν γένεσιν ἀλλήλων τῇ ἀλλοιώσει ἐστὶ φθορά, καὶ τῶν αὖ μερικῶν ἡ κατὰ διά-*

11. Τὸ καθολικὸ δηλαδὴ παίρνοντας ἕνα γνώρισμα γίνεται μερικὸ καὶ τὸ μερικὸ χάνοντας ἕνα γνώρισμα μεταβάλλεται στὸ καθολικὸ (σύνθεση–ἀνάλυση).

δάσκονταν ὄχι μόνο τὴν ἔκβαση τῶν μυστηρίων ποὺ τὴν ἀφοροῦσαν κι ἦταν προκηρυγμένη μέσω τοῦ νόμου καὶ τῶν προφητῶν, ἀλλὰ ἴσως καὶ τὸ ὅτι δὲν μποροῦσε νὰ συλλάβει κανένα ὂν τὸ τέλος τῆς ἄρρητης βουλῆς τοῦ Θεοῦ καὶ τῶν σχετικῶν μ' αὐτὴν θείων οἰκονομιῶν, ἐκτὸς ἀπὸ τὴ μεγάλη πρόνοια καὶ κρίση του, ποὺ διαμέσου τους τὸ πᾶν ἐπείγεται μὲ τάξη στὸ τέλος ποὺ γνωρίζει ἀπὸ πρῶτα μόνο ὁ Θεός, τέλος γιὰ τὸ ὁποῖο εἶχαν ὅλοι ὅμοια ἄγνοια γιὰ τὸ τί καὶ πῶς εἶναι καὶ τί λογῆς εἶναι καὶ πότε θὰ γίνει, καὶ μόνοι ποὺ γνώρισαν ἀληθινὰ ὅτι μόνο θὰ συμβεῖ εἶναι οἱ ἅγιοι ποὺ καθάρισαν τὴν ψυχή τους μὲ τὶς ἀρετὲς καὶ ποὺ μετέστρεψαν τελείως ὅλη τὴν νοερὴ κλίση τους πρὸς τὰ θεῖα, τῆς ἴδιας, ὅπως λέμε, τῆς καθολικῆς φύσης τῶν ὁρατῶν, ἀφοῦ μὲ τοὺς τρόπους, ποὺ ἀπὸ τὴ φύση τους συγκροτεῖται, ἄκουσαν νὰ φωνάζει σχεδὸν ξεκάθαρα τὸ τέλος αὐτῆς τῆς παρούσας εὐκοσμίας.

## 49

### Ἑρμηνεία φυσικὴ γιὰ τὸ ὅτι ἔχει ὁ κόσμος τέλος ὑποχρεωτικά.

Κοιτάζοντας, ὅσο καλύτερα μποροῦσαν, μ' ἐπιστήμη αὐτὸν τὸν παρόντα κόσμο καὶ τὰ σώματα μέσα σ' αὐτὸν μὲ ποικίλους τρόπους συναρμοσμένα μεταξύ τους, ἀφοῦ ἀνάπτυξαν μὲ σοφία τὸ λόγο ποὺ ἦταν συμπτηγμένος στὸ νόημά του, βρῆκαν ὅτι ἄλλα ἀπὸ αὐτὰ ἦταν αἰσθητὰ καὶ ἀντιληπτὰ καὶ καθολικὰ καὶ ὅτι ὅλα περιέχονταν σὲ ὅλα καὶ περιστρέφονταν μὲ τὴν ἀμοιβαία ἀλλαγὴ τῆς ὁποιασδήποτε ἰδιότητας εἶχε τὸ καθένα. Γιατὶ στὰ αἰσθητὰ περιέχονται κατὰ τὴ φύση τὰ αἰσθητικὰ καὶ τὰ αἰσθητὰ στὰ αἰσθητικὰ κατὰ τὴν αἴσθηση, ἐπειδὴ μποροῦν νὰ γίνουν ἀντιληπτά. Καὶ πάλι τὰ καθολικὰ περιέχονται κατὰ μεταβολὴ στὰ μερικὰ καὶ τὰ μερικὰ μεταβαλλόμενα κατὰ ἀνάλυση φθείρονται μέσα στὰ καθόλου[11]. Καὶ σὲ μερικὰ ἡ φθορὰ συμβαίνει μὲ τὴ γένεση τῶν ἄλλων. Γιατὶ ἡ σύνοδος τῶν μερικῶν τοῦ ἑνὸς μὲ τὸ ἄλλο προκαλώντας τὴ γένεση τοῦ ἑνὸς καὶ τοῦ ἄλλου εἶναι μὲ τὴν ἀλ-

*λυσιν τῆς συνδέσεως πρὸς τὰ καθόλου ἀνάλυσις τὴν φθορὰν ἐπεισάγουσα τῶν καθόλου ἐστὶ διαμονὴ καὶ γένεσις. Καὶ ταύτην εἶναι μαθόντες τοῦ αἰσθητοῦ κόσμου τὴν σύστασιν, τὴν εἰς ἄλληλα τῶν ἐν αὐτῷ σωμάτων ἐξ ὧν καὶ ἐν οἷς ὑφέστηκε δι᾽ ἀλλήλων φθορὰν καὶ ἀλλοίωσιν, ἀκολούθως διὰ τῆς κατὰ φύσιν ἀστάτου καὶ ἀλλοιωτῆς καὶ ἄλλοτε ἄλλως φερομένης τε καὶ περιτρεπομένης καθόλου τῶν ἐξ ὧν συνέστηκε σωμάτων ἰδιότητος τὴν ἐξ ἀνάγκης καθ᾽ εἱρμὸν γενησομένην αὐτοῦ συντέλειαν ἐπαιδεύθησαν οὐκ εἶναι δυνατόν, οὔτε μὴν λογικῆς συνέσεως ἀΐδιον φάναι τὸ μὴ ὡσαύτως ἔχον ἀεί, δίχα τροπῆς καὶ τῆς οἱασοῦν ἀλλοιώσεως, ἀλλὰ μυρίοις σκεδαννύμενον τρόποις καὶ περιτρεπόμενον, ὀρθῶς λογισάμενοι.*

## *Ν'*

### *Θεωρία σύντομος περὶ τοῦ μέλλοντος αἰῶνος, καὶ τί τὸ χάσμα ἐστὶ τὸ μεταξὺ Θεοῦ καὶ ἀνθρώπων, καὶ τί ὁ Λάζαρος καὶ ὁ κόλπος τοῦ πατριάρχου.*

*Ἐντεῦθεν τῶν ὁρωμένων ὑπεράνω γενόμενοι μεγαλοφυῶς τοῦ πάντως ἐσομένου τῶν ὅλων κατεστοχάσαντο πέρατος ἐν ᾧ τινι τῶν ὄντων οὐκέτι φέρον ἐστὶ καὶ φερόμενον, οὐδέ τις οὐδενὸς τὸ σύνολον κίνησις παγιότητος ἀρρήτου, τὴν τῶν φερομένων τε καὶ κινουμένων φοράν τε ὁρισαμένης καὶ κίνησιν. Πρὸς ὃ γενέσθαι κατὰ νοῦν ἐπιθυμήσαντες, ἔτι τὴν ὑπὸ φθορὰν περικείμενοι σάρκα ἐμφρόνως τὸ μεταξὺ Θεοῦ καὶ ἀνθρώπων χάσμα διέβησαν, σαρκὸς καὶ κόσμου κατὰ τὴν σχέσιν ἑκουσίως ἀπογενόμενοι. Χάσμα γὰρ ὡς ἀληθῶς φοβερόν τε καὶ μέγα μεταξὺ Θεοῦ καὶ ἀνθρώπων ἐστὶν ἡ πρὸς τὸ σῶμα καὶ τὸν κόσμον τοῦτον στοργὴ καὶ διάθεσις. Ὧν γενναίως τὴν στέρησιν χαίρων στέρξας ὁ Λάζαρος (ὡς δηλοῖ ἥ τε νόσος καὶ ἡ πενία, ἡ μὲν τὴν πρὸς τὸν κόσμον, ἡ δὲ τὴν πρὸς τὸ σῶμα ποιουμένη αὐτῷ ἀλλοτρίω-*

λοίωση φθορὰ τῶν καθόλου. Καὶ τῶν μερικῶν πάλι ἡ ἀνάλυση πρὸς τὸ καθόλου μὲ τὴ διάλυση τῆς σύνδεσης εἰσάγοντας τὴ φθορὰ εἶναι διαμονὴ καὶ γένεση τῶν καθόλου. Κι ἀφοῦ ἔμαθαν ὅτι αὐτὴ εἶναι ἡ σύσταση τοῦ αἰσθητοῦ κόσμου, ἡ φθορὰ καὶ ἡ ἀλλοίωση τοῦ ἑνὸς ἀπὸ τὸ ἄλλο τῶν σωμάτων ποὺ περιέχει, ἀπὸ τὰ ὁποῖα καὶ στὰ ὁποῖα ἔχει τὴν ὑπόστασή του, στὴ συνέχεια μὲ τὸ φυσικὸ ἄστατο καὶ μεταβαλλόμενο γνώρισμα καὶ ποὺ τώρα ἔτσι κι ἔπειτα ἀλλιῶς κινεῖται καὶ περιστρέφεται ὁλικὰ τῶν σωμάτων ἀπὸ τὰ ὁποῖα ἔχει τὴ σύστασή του, διδάχτηκαν ὅτι δὲν εἶναι δυνατὸ οὔτε ἔχει λογικὴ βάση νὰ χαρακτηρίσει κανεὶς ἀίδιο αὐτὸ ποὺ δὲν εἶναι πάντοτε τὸ ἴδιο, δίχως τροπὴ καὶ ὁποιαδήποτε μεταβολή, ἀλλὰ ποὺ σκορπίζει μὲ μύριους τρόπους, καὶ σκέφθηκαν ὀρθά.

## 50

### Σύντομη ἑρμηνεία γιὰ τὸν μελλοντικὸ αἰώνα. Τί σημαίνει τὸ χάσμα μεταξὺ Θεοῦ κι ἀνθρώπων, καὶ τί ὁ Λάζαρος καὶ ὁ κόλπος τοῦ πατριάρχη.

Ἀπὸ ἐδῶ ξεπερνώντας τὰ φαινόμενα συνέλαβαν στοὺς στοχασμούς τους τὸ πέρας τῶν πάντων ποὺ πρόκειται ὁπωσδήποτε νὰ ρθεῖ, ὅπου κανένα ἀπὸ τὰ ὄντα οὔτε κινεῖ πιὰ οὔτε κινεῖται, οὔτε ὑπάρχει κανενὸς γενικὰ κίνηση, ἀλλὰ μιὰ παγιότητα ἄρρητη ἔχει ἐγκλωβίσει τὴ φορὰ καὶ τὴν κίνηση ὅσων κινοῦν κι ὅσων κινοῦνται. Σ' αὐτὸ τὸ πέρας ἐπιθύμησαν νὰ φτάσουν καὶ ἐνῶ ἦταν ἀκόμα ντυμένοι μὲ τὴ σάρκα τῆς φθορᾶς διάβηκαν συνειδητὰ τὸ χάσμα μεταξὺ Θεοῦ κι ἀνθρώπων, ἐγκαταλείποντας μὲ τὴ θελησή τους τὶς σχέσεις τους μὲ τὴ σάρκα καὶ τὸν κόσμο. Γιατὶ εἶναι ἀληθινὰ χάσμα φοβερὸ καὶ μεγάλο ἀνάμεσα στὸ Θεὸ καὶ τὸν ἄνθρωπο ἡ στοργὴ καὶ ἡ διάθεση πρὸς τὸ σῶμα καὶ τὸν κόσμο αὐτό, τῶν ὁποίων τὴ στέρηση ὑπέμενε μὲ γενναιότητα καὶ χαρὰ ὁ Λάζαρος (κι αὐτὸ τὸ δηλώνει τόσο ἡ ἀσθένεια, ὅσο καὶ ἡ φτώχεια· ἡ μία ἀποξενώνοντάς τον ἀπὸ τὸν κόσμο, καὶ ἡ ἄλλη ἀπὸ τὸ σῶμα), κι ἀξιώ-

σιν) τὴν ἐν κόλποις Ἀβραὰμ κατηξιώθη λαβεῖν ἀνάπαυσιν, τὸν τούτοις προστετηκότα πλούσιον ἔξω ἀφεὶς τῆς ἀνέσεως, μηδὲν ἄλλο τῆς διὰ σαρκὸς ὠφεληθέντα ζωῆς, πλὴν τοῦ ἐπ' αὐτῇ ἀπεράντως κολάζεσθαι, ὡς οὔτε τὴν παροῦσαν ζωὴν ἔχοντα, ἣν ποθήσας μόνην ἠσπάζετο, ἀκράτητον φύσει κατὰ τὴν ρεῦσιν ὑπάρχουσαν, οὔτε τῆς μελλούσης μεταλαχεῖν δυνάμενον, πρὸς ἣν ἀργὸς παντάπασι διέμεινε καὶ ἀνέραστος, μόνοις ἐκείνοις συμφύεσθαι τοῖς αὐτὴν ὁλοσχερῶς ἀγαπήσασι πεφυκυίας, καὶ τοῦ πρὸς αὐτὴν εἵνεκα πόθου πάντα τὰ ἀλγεινὰ προθύμως μεθ' ἡδονῆς ὑπομείνασι.

Κόλπους δὲ Ἀβραὰμ ἀκούοντας τὸν ἐκ σπέρματος Ἀβραὰμ τὸν κατὰ σάρκα ἡμῖν ἐπιφανέντα νοήσομεν Θεόν, τὸν ὄντως πάντων χορηγικὸν καὶ πᾶσι τοῖς ἀξίοις τῆς χάριτος ἀναλόγως τῇ κατ' ἀρετὴν ἑκάστου ποιότητί τε καὶ ποσότητι, οἷόν τινας διαφόρους νομὰς ἀμερῶς ἑαυτὸν ἐπιμερίζοντα καὶ τοῖς μετέχουσιν οὐδ' ὁπωσοῦν συνδιατεμνόμενον, διὰ τὴν κατὰ φύσιν ἄτμητον ὀντότητα τῆς ἑνότητος, κἄμπαλιν διὰ τὴν διάφορον ἀξίαν τῶν μετεχόντων ταῖς μετοχαῖς παραδόξως καθ' ἕνωσιν ἄρρητον ἀφοριστικῶς ἐπιφαινόμενον (οἶδεν ὁ λόγος), πρὸς ὃν οὐδεὶς διαβῆναι δυνήσεται θρύψει χαίρων σαρκός, καὶ τῆς αὐτοῦ μακαρίας δόξης τῇ τοῦ κόσμου ἀπάτῃ πλέον ἡδόμενος, οὐδὲ στήσεται μετὰ τοῦ τὸν κόσμον νικήσαντος ὁ τῷ κόσμῳ ἡττηθεὶς καὶ ἐπ' αὐτῷ κακῶς εἰδὼς ἀγαλλόμενος. Οὐκ εἶναι γὰρ ἄξιον ἔκρινεν ἡ θεία δικαιοσύνη, τοὺς τῇ ζωῇ ταύτῃ τὰ κατὰ τὸν ἄνθρωπον περιγράφοντας, καὶ πλούτῳ καὶ ὑγείᾳ σώματος καὶ τοῖς ἄλλοις ἀξιώμασιν ἁβρυνομένους, καὶ τοῦτο μόνον μακάριον κρίνοντας, τὰ δὲ τῆς ψυχῆς ἀγαθὰ παρ' οὐδὲν τιθεμένους, τῶν θείων καὶ αἰωνίων μεταλαχεῖν ἀγαθῶν, ὧν οὐδ' ὅλως ἐφρόντισαν, διὰ τὴν πολλὴν περὶ τὰ ὑλικὰ σπουδὴν ἀγνοήσαντας

12. Λουκᾶ 16,23.

θηκε νὰ βρεῖ τὴν ἀνάπαυση στοὺς κόλπους τοῦ Ἀβραάμ, ἀφήνοντας ἔξω ἀπὸ τὴν ἀνάπαυση τὸν πλούσιο ποὺ καταδαπάνησε ὅλη τὴ ζωή του σ' αὐτά[12] καὶ δὲν ὠφελήθηκε σὲ τίποτε ἄλλο ἀπὸ τὴ ζωὴ τῆς σάρκας, ἐκτὸς ἀπὸ τὸν χωρὶς πέρας κολασμὸ ἐξαιτίας της. Γιατὶ οὔτε τὴν παρούσα ζωὴ εἶχε τὴν ὁποία μόνο ποθοῦσε κι ἀποδεχόταν, ἀφοῦ αὐτὴ ὡς ἀπὸ τὴ φύση της ρέοντας ἀδιάκοπα δὲν μπορεῖ νὰ κρατηθεῖ, οὔτε μποροῦσε ν' ἀποκτήσει ἔπειτα τὴ μελλοντική, πρὸς τὴν ὁποία στάθηκε πάντοτε ἀμελὴς καὶ ποτὲ δὲν τὴν ἀγάπησε, ἐνῶ αὐτὴ ἀπὸ τὴ φύση της πηγαίνει σ' ἐκείνους μόνο ποὺ τὴν ἀγάπησαν ὁλοκληρωτικὰ καὶ ἐξαιτίας τοῦ πόθου της ὑπέμειναν μὲ προθυμία καὶ χαρὰ ὅλα τὰ ὀδυνηρά.

Ἀκούγοντας «κόλπους τοῦ Ἀβραάμ», θὰ ἐννοήσομε τὸ Θεὸ ποὺ ἦρθε σ' ἐμᾶς κατὰ σάρκα ἀπὸ τὴ γενιὰ τοῦ Ἀβραάμ, αὐτὸν ποὺ πραγματικὰ χορηγεῖ τὰ πάντα σὲ ὅλους τοὺς ἄξιους τῆς χάριτος, ἀνάλογα μὲ τὴν ποιότητα καὶ τὴν ποσότητα καθενὸς στὴν ἀρετή, ἐπιμερίζοντας ἀμέριστα τὸν ἑαυτό του σὲ διάφορα χορηγήματα καὶ χωρὶς καθόλου νὰ χωρίζεται σὲ μέρη καὶ νὰ δίνει σ' ὅσους τὸν μετέχουν, ἐπειδὴ εἶναι ἀκομμάτιαστη ἀπὸ τὴ φύση της ἡ ὀντότητα τῆς ἑνότητας. Καὶ ἀντίθετα ἐξαιτίας τῆς διαφορετικῆς ἀξίας ἐκείνων ποὺ μετέχουν φανερώνεται στὶς μετοχὲς χωριστὰ μὲ τρόπο παράδοξο καὶ ἕνωση ἀνέκφραστη (τὸ γνωρίζει ὁ Λόγος), στὸν ὁποῖο κανένας δὲ θὰ μπορέσει νὰ περάσει ἀπολαμβάνοντας τὴν τροφὴ τῆς σάρκας καὶ δοκιμάζοντας μεγαλύτερη χαρὰ ἀπὸ τὴ μακάρια δόξα του μὲ τὴν ἀπάτη τοῦ κόσμου, κι οὔτε θὰ σταθεῖ δίπλα σ' αὐτὸν ποὺ νίκησε τὸν κόσμο, αὐτὸς ποὺ ἡττήθηκε ἀπὸ τὸν κόσμο καὶ δοκιμάζει κακῶς ἀγαλλίαση γι' αὐτόν. Γιατὶ ἡ θεία δικαιοσύνη ἔκρινε πὼς δὲν εἶναι δίκαιο, ὅσοι περικλείουν τὸν ἄνθρωπο στὴ ζωὴ αὐτὴ καὶ ἀπολαμβάνουν τὸν πλοῦτο καὶ τὴ σωματικὴ ὑγεία καὶ τ' ἄλλα ἀξιώματα καὶ μόνο αὐτὴ τὴν ἀπόλαυση θεωροῦν εὐτυχία, κρίνοντας ὡς μηδὲν τὰ ψυχικὰ ἀγαθά, νὰ καρπωθοῦν τὰ θεῖα κι αἰώνια ἀγαθά, γιὰ τὰ ὁποῖα δὲν φρόντισαν καθόλου, ἐξαιτίας τοῦ μεγάλου ἐνδιαφέροντός τους γιὰ τὰ ὑλικά, καὶ

*ὅσον πλούτου καὶ ὑγείας καὶ τῶν ἄλλων προσκαίρων ἀγαθῶν αἱ ἀρεταὶ ὑπερέχουσιν.*

## *ΝΑ'*

### *Θεωρία περὶ ἀρετῶν.*

*Μόναι γὰρ καὶ σὺν τοῖς ἄλλοις αἱ ἀρεταὶ μακάριον ποιοῦσι τὸν ἄνθρωπον. Μετὰ μὲν τῶν ἄλλων, κατὰ πλάτος, ὥς τις ἔφη τῶν τὰ θεῖα σοφῶν, μόναι δὲ καὶ καθ' ἑαυτάς, κατὰ περιγραφήν. Τῶν γὰρ ὄντων τὰ μὲν κατὰ περιγραφὴν νοεῖται, ὥς δίπηχυ, τὰ δὲ κατὰ πλάτος, ὡς σωρός. Σωροῦ γὰρ κἂν δύο μεδίμνους ἀφέλῃς, τὸ λειπόμενον μένει σωρός· καὶ τῆς δὲ κατὰ πλάτος μακαριότητος ἂν ἀφέλῃς τὰ τοῦ σώματος καὶ τῶν ἐκτὸς ἀγαθά, καταλίπῃς δὲ μόνας τὰς ἀρετάς, μένει καὶ οὕτως ἀνελλιπὲς τὸ μακάριον. Αὐτάρκης γὰρ καὶ καθ' ἑαυτὴν τῷ ἔχοντι πρὸς εὐδαιμονίαν ἡ ἀρετή. Πᾶς οὖν κακὸς ἄθλιος, κἂν πάντα συλλήβδην ἔχῃ τὰ λεγόμενα τῆς γῆς ἀγαθά, τῶν ἀρετῶν ἐστερημένος· καὶ πᾶς ἀγαθὸς μακάριος, κἂν πάντων ἐστέρηται τῶν ἐπὶ γῆς ἀγαθῶν, ἔχων τῆς ἀρετῆς τὴν λαμπρότητα, μεθ' ἧς Λάζαρος τὴν ἐν κόλποις Ἀβραὰμ ἀνάπαυσιν ἔχων ἀγάλλεται.*

## *ΝΒ'*

### *Ἄλλη θεωρία εἰς τό, «Ἐὰν σταυρωθῇς ὡς λῃστής».*

*Κἂν αὖθις λῃστής ἐστιν εὐγνώμων ὁ καταξιωθεὶς συσταυρωθῆναι Χριστῷ διὰ τῆς παντελοῦς καὶ ὁλοκλήρου τῶν παθῶν ἐκκρούσεως, καὶ δεξιῶς αὐτῷ συσταυρούμενος, τουτέστι μετὰ λόγου καὶ γνώσεως πᾶσαν διεξιὼν ἀρετήν, καὶ ἀπρόσκοπον πᾶσιν ἀνθρώποις τὸν βίον διατηρῶν, καὶ μηδεμίαν ἔχων τὸ παράπαν τῆς τοῦ λόγου πρᾳότητος ἀπᾴδουσαν δι' αὐστηρότητα κίνησιν, ἀγνώμων δὲ λῃστής ἐστιν ὁ δόξης ἕνεκεν ἢ λημμάτων*

ἀγνόησαν πόσο ὑπερέχουν οἱ ἀρετὲς ἀπὸ τὸν πλοῦτο καὶ τὴν ὑγεία καὶ τ' ἄλλα πρόσκαιρα ἀγαθά.

51

Ἑρμηνεία γιὰ τὶς ἀρετές.

Καὶ μόνες τους καὶ μαζὶ μὲ τὰ ἄλλα οἱ ἀρετὲς κάνουν εὐτυχισμένο τὸν ἄνθρωπο. Μαζὶ μὲ τὰ ἄλλα κατὰ πλάτος (ἔκταση), ὅπως εἶπε κάποιος ἀπὸ τοὺς σοφοὺς στὰ θεῖα, μόνες τους καὶ καθεαυτὲς κατὰ περιγραφή. Γιατὶ ἀπὸ τὰ ὄντα ἄλλα τὰ ἀντιλαμβανόμαστε κατὰ περιγραφή, ὅπως δίπηχο, καὶ ἄλλα κατὰ πλάτος, ὅπως σωρός. Ἀπὸ τὸ σωρὸ καὶ δυὸ μέδιμνους ν' ἀφαιρέσεις, ἐκεῖνο ποὺ ἀπομένει εἶναι πάλι σωρός. Κι ἀπὸ τὴν μακαριότητα κατὰ πλάτος ἂν ἀφαιρέσεις τὰ σωματικὰ καὶ τὰ ἐξωτερικὰ ἀγαθὰ κι ἀφήσεις τὶς ἀρετὲς μόνο, κι ἔτσι ἡ μακαριότητα μένει ἀνελλιπής. Γιατὶ ἡ ἀρετὴ γιὰ ὅποιον τὴν ἔχει καὶ καθεαυτὴν εἶναι αὐτάρκης γιὰ νὰ τὸν κάνει εὐτυχή. Κάθε κακὸς λοιπὸν εἶναι ἀξιολύπητος, κι ἂν ἀκόμα ἔχει ὅλα μαζὶ τὰ λεγόμενα ἀγαθὰ τῆς γῆς, στερεῖται ὅμως τὶς ἀρετές. Καὶ κάθε καλὸς εἶναι μακάριος, κι ἂν ἀκόμα ἔχει στερηθεῖ ὅλα τὰ ἐπίγεια ἀγαθά, ἂν ἔχει τὴ δόξα τῆς ἀρετῆς, μὲ τὴν ὁποία χαίρεται ὁ Λάζαρος ἔχοντας τὴν ἀνάπαυση μέσα στοὺς κόλπους τοῦ Ἀβραάμ.

52

Ἄλλη ἑρμηνεία τοῦ χωρίου, «Ἂν σταυρωθεῖς σὰν ληστής».

Καὶ πάλι ληστὴς εὐγνώμων εἶναι ἐκεῖνος ποὺ καταξιώθηκε νὰ συσταυρωθεῖ μὲ τὸ Χριστὸ μὲ τὴν πλήρη κι ὁλοκληρωτικὴ ἐκδίωξη τῶν παθῶν καὶ μὲ τὴ συσταύρωση στὰ δεξιά του, δηλαδὴ ἀσκώντας κάθε ἀρετὴ μὲ λόγο καὶ γνώση καὶ διατηρώντας τὴ ζωή του τέτοια, ὥστε νὰ μὴν δημιουργεῖ προσκόμματα σ' ὅλους τοὺς ἀνθρώπους, καὶ δὲν κάνει καμμιὰ ἀπολύτως κίνηση ποὺ μὲ τὴν αὐστηρότητά της νὰ μὴ ταιριάζει στὴν πράότητα

*ἁδροτέρων τοῖς φαινομένοις τρόποις ὑπούλως τὸν κατ' ἀρετὴν βίον ὑποκρινόμενος, καὶ ἕνα καὶ μόνον πρὸς τοὺς ἔξω τὸν κόλακα λόγον ἀντὶ πάσης ἀρετῆς τε καὶ γνώσεως μετερχόμενος, πρὸς δὲ τοὺς συνήθεις σκολιός τις τὴν γνώμην τῶν παντάπασιν ὢν καὶ δυσάντητος, ὃν δεῖ μάλα γε τὴν ὁδὸν τοῦ Θεοῦ βλασφημοῦντα μετὰ συνέσεως ἐπιστομίζειν. Ἴσως γαρ παύσεται τοῦ διαβάλλειν διὰ τῆς οἰκείας ἀναστροφῆς τὸν Λόγον, τῇ παραινέσει τοῦ ἐπιπλήσσοντος, ὥσπερ ἐπὶ τοῦ σταυροῦ πέπονθεν ὁ τὴν βλασφημίαν ἀδεῶς προσενέγκας λῃστής. Τὸ γὰρ μὴ ἀντιφθέξασθαι τῷ ἐπιπλήξαντι σημεῖον ἔχει τῆς τοῦ ῥηθέντος ἀποδοχῆς λόγου τὴν σιωπήν. Καθ' ἥντινα γοῦν τῶν εἰρημένων τῷ Χριστῷ συσταυρούμεθα, σπουδάσωμεν, ὡς ἐσμεν ἐνταῦθα, τὸν συσταυρούμενον ἡμῖν ἱλεώσασθαι Λόγον, καὶ τὴν ἀψευδῆ δέξασθαι κατὰ συνείδησιν καταρθεῖσαν τῶν πλησσόντων αὐτὴν νοημάτων τῆς ἀναπαύσεως ἐπαγγελίαν, εἴπερ ἡ σήμερον τὴν ἐνεστῶσαν τούτου τοῦ αἰῶνος ἡμέραν ἐνδείκνυται («σήμερον γάρ», φησίν, «ἔσῃ μετ' ἐμοῦ ἐν τῷ παραδείσῳ»), ἡ δὲ αὔριον τὴν τοῦ μέλλοντος, καθ' ἣν οὐδεμίαν μὲν ἄφεσιν ἁμαρτημάτων ἐκδέχεσθαι χρή, μόνην δὲ τῆς ἑκάστῳ πρεπούσης κατ' ἀξίαν ἀμοιβῆς τῶν βεβιωμένων ἀντίδοσιν.*

## *ΝΓ'*

***Ἄλλη θεωρία πρὸς τοὺς ἀποροῦντας περὶ τοῦ ῥητοῦ τοῦ ἐν τῷ λόγῳ τῶν Ἐγκαινίων τοῦ λέγοντος, «Ὑψηλῆς ὑψηλοτέρα, καὶ θαυμασίας θαυμασιωτέρα».***

***Καὶ αὖθις τὴν μὲν πρώτην Κυριακὴν τῆς μελλούσης φυσικῆς ἀναστάσεως καὶ ἀφθαρσίας εἶναι σύμβολον, τὴν δὲ δευτέραν τῆς κατὰ χάριν μελλούσης θεώσεως φέρειν εἰκόνα. Εἰ τοί-***

13. Λουκᾶ 23,43.

14. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΜΔ', *Εἰς τὴν Καινὴν Κυριακήν*, 5, ΕΠΕ

τοῦ Λόγου, ἐνῶ ἀχάριστος ληστὴς εἶναι ὅποιος γιὰ τὴ δόξα ἢ γιὰ κέρδη μεγαλύτερα ὑποκρίνεται ὕπουλα μ' ἐπιδεικτικὴ συμπεριφορὰ βίο ἀρετῆς, καὶ χρησιμοποιεῖ πρὸς τοὺς ἔξω ἕνα καὶ μόνο, τὸ λόγο τῆς κολακίας, ἀντὶ κάθε ἀρετῆς καὶ γνώσης, στοὺς γνωστούς του ὅμως εἶναι τελείως δύσκολος στὸ χρακτήρα καὶ ἀπλησίαστος· αὐτὸν πρέπει ὅταν βλασφημεῖ τὸ δρόμο τοῦ Θεοῦ νὰ τὸν ἀποστομώνεις μὲ σύνεση. Γιατὶ ἴσως σταματήσει νὰ διαβάλλει μὲ τὴν συμπεριφορά του τὸ Λόγο, μὲ τὴν παραίνεση ἐκείνου ποὺ τὸν ἐπιπλήττει, ὅπως ἔπαθε πάνω στὸ σταυρὸ ὁ ληστὴς ποὺ ξεστόμισε ἀπερίσκεπτα τὴ βλασφημία. Γιατὶ τὸ νὰ μὴν ἀντιμιλήσει κανένας σ' αὐτὸν ποὺ τὸν ἔχει ἐπιπλήξει, ἔχει τὴ σιωπὴ ὡς σημάδι τῆς ἀποδοχῆς τοῦ ἐπιπληκτικοῦ λόγου. Μὲ ὁποιον τρόπο λοιπὸν ἀπὸ αὐτοὺς ποὺ εἴπαμε συσταυρωνόμαστε μὲ τὸ Χριστό, ἂς φροντίσομε, ὅσο εἴμαστε ἐδῶ, νὰ ἐξιλεώσομε τὸ Λόγο ποὺ σταυρώνεται μαζί μας, κι ἂς δεχθοῦμε στὴ συνείδησή μας τὴν ἀψευδὴ ὑπόσχεση ποὺ ξεσηκώθηκε ἐναντίον τῶν νοημάτων τῆς ἀνάπαυσης ποὺ τὴ χτυποῦν, ἐφόσον ἡ σημερινὴ δηλώνει τὴν παρούσα ἡμέρα τούτου τοῦ αἰώνα (γιατὶ λέει· «σήμερα θὰ εἶσαι μαζί μου στὸν παράδεισο»[13], ἐνῶ ἡ αὐριανὴ τὴν ἡμέρα τοῦ μέλλοντος αἰώνα, κατὰ τὴν ὁποία δὲν πρέπει νὰ περιμένομε καμμιὰ ἄφεση ἁμαρτημάτων, ἀλλὰ μονάχα τὴν ἀντίδοση στὸν καθένα τῆς πρέπουσας ἀνάλογα μὲ τὴν ἀξία τους ἀμοιβῆς τῶν πράξεών τους.

## 53

### Ἄλλη ἐξήγηση πρὸς αὐτοὺς ποὺ ἀποροῦν γιὰ τὸ ρητὸ τοῦ λόγου τῶν ἐγκαινίων ποὺ λέει, «ὑψηλότερη ἀπὸ ὑψηλὴ καὶ θαυμαστότερη ἀπὸ θαυμαστή»[14].

Καὶ πάλι ἡ πρώτη Κυριακὴ εἶναι σύμβολο τῆς μέλλουσας φυσικῆς ἀνάστασης καὶ ἀφθαρσίας, ἐνῶ ἡ δεύτερη εἰκονίζει τὴ μελλοντικὴ κατὰ χάρη θέωση. Ἂν λοιπὸν ἀπὸ τὴν καθαρὴ ἀπὸ

---

Ἅπαντα Γρηγορίου Θεολόγου τ. 5, σ. 226,8.

*νυν τῆς μὲν καθαρευούσης κακῶν ἕξεως ἡ τῶν ἀγαθῶν ἀπόλαυσίς ἐστι τιμιωτέρα, τῆς δὲ κατ' ἀρετὴν ὑγιοῦς προαιρέσεως ἡ ἕξις τῆς κατὰ τὴν ἀληθῆ γνῶσιν τελειότητος, καὶ τῆς φυσικῆς ἀφθαρσίας ἡ ἐν χάριτι πρὸς τὸν Θεὸν κατὰ τὴν θέωσιν μεταποίησις, ὧν ἡ μὲν πρώτη Κυριακὴ φέρει τύπον, ἡ δὲ δευτέρα τυγχάνει σύμβολον, εἰκότως ὑψηλῆς ὑψηλοτέραν ἀγόμενος Πνεύματι τὴν καινὴν ὁ διδάσκαλος ἔφη Κυριακήν.*

## *ΝΔ'*

### *Θεωρία φυσική, δι' ἧς τὸν Θεὸν ἐκ τῶν κτισμάτων οἱ ἅγιοι ἐδιδάσκοντο.*

*Οὕτω μὲν οὖν τὴν κτίσιν κατανοήσαντες οἱ ἅγιοι καὶ τὴν εὐκοσμίαν αὐτῆς καὶ τὴν ἀναλογίαν καὶ τὴν χρείαν, ἣν ἕκαστον παρέχεται τῷ παντί, καὶ ὡς τέλεια πάντα σοφῶς τε καὶ προνοητικῶς καθ' ὃν δεδημιούργηνται λόγον δεδημιουργημένα, καὶ ὡς οὐχ οἷόν τε ἄλλως γε καλῶς ἔχειν τὰ γενόμενα παρ' ὃ νῦν ἔχει, προσθήκης ἢ ἀφαιρέσεως πρὸς τὸ καλῶς ἄλλως ἔχειν μὴ δεόμενα τὸν Δημιουργὸν ἐκ τῶν αὐτοῦ ποιημάτων ἐδιδάχθησαν· οὕτω δὲ τὴν διαμονήν, τήν τε τάξιν καὶ τὴν θέσιν τῶν γεγονότων, καὶ τὴν διεξαγωγήν, καθ' ἣν πάντα κατὰ τὸ οἰκεῖον ἕκαστα εἶδος ἕστηκεν ἀσύγχυτα καὶ παντὸς ἐλεύθερα φυρμοῦ, τήν τε τῶν ἄστρων φορὰν κατὰ τὸν αὐτὸν τρόπον γινομένην, μηδὲν μηδέποτε διαλλάττουσαν, καὶ τὸν κύκλον ἐνιαυτοῦ κατὰ τὴν τῶν αὐτῶν ἀπὸ τοῦ αὐτοῦ εἰς τὸν αὐτὸν τόπον ἀποκατάστασιν εὐτάκτως γινόμενον, τῶν τε νυκτῶν καὶ τῶν ἡμερῶν τὴν κατ' ἔτος ἰσότητα, παρὰ μέρος ἑκατέρας αὐξανομένης τε καὶ μειουμένης, οὔτε πλείονι οὔτε ἐλάττονι μέτρῳ τῆς αὐξήσεως αὐταῖς ἢ τῆς μειώσεως ἐπιγινομένης, προνοητὴν ἠπίστησαν εἶναι τῶν ὄντων, ὃν καὶ Θεὸν καὶ Δημιουργὸν τῶν ὅλων ἐπέγνωσαν.*

κακὰ ἕξη πολυτιμότερη εἶναι ἡ ἀπόλαυση τῶν ἀγαθῶν, κι ἀπὸ τὴν ἐνάρετη ὑγιὴ προαίρεση, ἡ ἕξη τῆς τελειότητας κατὰ τὴν ἀληθινὴ γνώση, κι ἀπὸ τὴ φυσικὴ ἀφθαρσία, ἡ μεταβολὴ κατὰ τὴ θέωση μὲ τὴ δύναμη τῆς χάριτος πρὸς τὸ Θεό, τῶν ὁποίων ἡ πρώτη Κυριακὴ ἀποτελεῖ τύπο, ἐνῶ ἡ δεύτερη εἶναι σύμβολο, δικαιολογημένα ὁ δάσκαλος, ὁδηγούμενος ἀπὸ τὸ Πνεῦμα, ὀνόμασε τὴν καινὴ Κυριακὴ «ὑψηλότερη ἀπὸ τὴν ὑψηλὴ».

## 54

### Φυσικὴ θεωρία, μέσω τῆς ὁποίας οἱ ἅγιοι διδάσκονταν γιὰ τὸ Θεὸ ἀπὸ τὰ κτίσματα.

Ἀφοῦ σχημάτισαν αὐτὴν τὴν ἀντίληψη οἱ ἅγιοι γιὰ τὴν κτίση καὶ γιὰ τὴν ἁρμονία της καὶ τὴν ἀναλογία καὶ τὴ χρησιμότητα ποὺ κάθε κτίσμα προσφέρει στὸ σύμπαν, καὶ ὅτι ὅλα εἶναι δημιουργημένα σοφὰ καὶ προνοητικά, σύμφωνα μὲ τὸν λόγο ποὺ ἔχουν δημιουργηθεῖ, καὶ ὅτι δὲν εἶναι δυνατὸ τὰ δημιουργήματα νὰ εἶναι μὲ ἄλλο τρόπο σὲ καλὴ κατάσταση, ἐπειδὴ δὲν ἔχουν ἀνάγκη ἀπὸ προσθήκη ἢ ἀφαίρεση γιὰ νὰ εἶναι σὲ καλὴ κατάσταση, διδάχθηκαν τὸ Δημιουργὸ ἀπὸ τὰ δημιουργήματά του. Καὶ ἔτσι ἀπὸ τὴν παραμονή, τὴν τάξη καὶ τὴ θέση τῶν κτισμάτων καὶ τὴ συμπεριφορά τους, σύμφωνα μὲ τὴν ὁποία ὅλα, ἀνάλογα μὲ τὸ εἶδος του καθένα, παραμένουν ἀσύγχυτα κι ἐλεύθερα ἀπὸ κάθε ἀνάμιξη, καὶ ἡ φορὰ τῶν ἄστρων ποὺ γίνεται μὲ τὸν ἴδιο τρόπο χωρὶς νὰ παραλλάσσει ποτὲ σὲ τίποτα, καὶ ὁ κύκλος τοῦ ἔτους ποὺ γίνεται μὲ πολλὴ τάξη κατὰ τὴν ἀποκατάσταση τῶν ἰδίων ἀπὸ κάποιο τόπο στὸν ἴδιο πάλι τόπο, καὶ ἡ ἰσότητα τῶν νυχτῶν καὶ τῶν ἡμερῶν μέσα στὸ ἔτος, ποὺ κατὰ ἕνα μέρος ἡ κάθε μιά τους αὔξάνει καὶ μειώνεται, χωρὶς ἡ αὔξηση καὶ ἡ μείωσή τους νὰ γίνεται μὲ περισσότερο ἢ λιγότερο μέτρο, ἔμαθαν ὅτι προνοητὴς τῶν ὄντων εἶναι αὐτὸς ποὺ τὸν γνώρισαν Θεὸ καὶ Δημιουργὸ τῶν ὅλων.

## *ΝΕ'*

### *Θεωρία φυσικὴ περὶ τοῦ ἀρχὴν ἔχειν τὸν κόσμον καὶ γένεσιν, καὶ πᾶν ἄλλο μετὰ Θεόν.*

*Τίς γὰρ τὸ κάλλος καὶ τὸ μέγεθος τῶν τοῦ Θεοῦ κτισμάτων θεώμενος οὐκ εὐθὺς αὐτὸν γενεσιουργὸν ἐννοήσει, ὡς ἀρχὴν καὶ αἰτίαν τῶν ὄντων καὶ Ποιητήν, καὶ πρὸς αὐτὸν μόνον ἀναδραμεῖται τῇ διανοίᾳ, ταῦτα ἀφεὶς κάτω, ὅτι μηδὲ πέφυκε τῆς διανοίας χωρεῖν τὴν ὅλην διάβασιν, λαβεῖν ποθῶν ἀμέσως ὃν διὰ μέσων τῶν ἔργων ἐγνώρισε, καὶ τὴν περὶ τοῦ ἄναρχον εἶναι τὸν κόσμον ἑαυτοῦ πλάνην ἑτοίμως ἀπώσεται, λογιζόμενος ἀληθῶς ὅτι πᾶν κινούμενον πάντως καὶ ἤρξατο τῆς κινήσεως. Πᾶσα δὲ κίνησις οὐκ ἄναρχος, ἐπειδὴ οὐδὲ ἀναίτιος. Ἀρχὴν γὰρ ἔχει τὸ κινοῦν, καὶ αἰτίαν ἔχει τὸ καλοῦν τε καὶ ἕλκον πρὸς ὃ καὶ κινεῖται τέλος. Εἰ δὲ πάσης κινήσεως παντὸς κινουμένου τὸ κινοῦν ἐστιν ἀρχή, καὶ τέλος ἡ πρὸς ἣν φέρεται τὸ κινούμενον αἰτία (οὐδὲν γὰρ ἀναιτίως κινεῖται), οὐδὲν δὲ τῶν ὄντων ἀκίνητον, εἰ μὴ τὸ πρώτως κινοῦν (τὸ γὰρ πρώτως κινοῦν πάντως ἀκίνητον, ὅτι καὶ ἄναρχον), οὐδὲν ἄρα τῶν ὄντων ἐστὶν ἄναρχον, ὅτι μὴ καὶ ἀκίνητον. Πάντα γὰρ κινεῖται τὰ ὁπωσοῦν ὄντα, δίχα τῆς μόνης καὶ ἀκινήτου καὶ ὑπὲρ πάντα αἰτίας, τὰ μὲν νοερά τε καὶ λογικά, γνωστικῶς τε καὶ ἐπιστημονικῶς, ὅτι μὴ αὐτογνῶσις ἢ αὐτοεπιστήμη ἐστίν. Οὔτε γὰρ οὐσία αὐτῶν ἡ γνῶσις αὐτῶν ἐστι καὶ ἡ ἐπιστήμη, ἀλλ' ἕξεις τῇ αὐτῶν οὐσίᾳ ἐπιθεωρουμέναι, ἐκ τῆς κατὰ νοῦν καὶ λόγον (τὰς συστατικὰς αὐτῶν λέγω δυνάμεις) ὀρθῆς κρίσεως ἐπιγενόμεναι.*

## *ΝS'*

### *Θεωρία περὶ συστολῆς καὶ διαστολῆς οὐσίας, ποιότητος*

## 55

### Θεωρία φυσικὴ γιὰ τὸ ὅτι ὁ κόσμος καὶ κάθε ἄλλο μετὰ τὸ Θεὸ ἔχει ἀρχὴ καὶ γένεση.

Ποιός παρατηρώντας τὴν ὀμορφιὰ καὶ τὸ μέγεθος τῶν δημιουργημάτων τοῦ Θεοῦ δὲ θὰ τὸν ἐννοήσει εὐθὺς ὡς δημιουργό, ὡς ἀρχὴ καὶ αἰτία τῶν ὄντων καὶ δημιουργό τους, καὶ δὲ θὰ ἀνατρέξει μὲ τὸ νοῦ του πρὸς αὐτὸν μόνο, ἀφήνοντάς τα αὐτὰ κάτω, ἐπειδὴ δὲν εἶναι στὴ φύση του νὰ χωρέσει ὅλη τὴν διαδικασία τῆς διάνοιας, ποθώντας νὰ συλλάβει ἀμέσως αὐτὸν ποὺ γνώρισε μέσω τῶν ἔργων του καὶ πρόθυμα θ' ἀποτινάξει τὴν πλάνη του ὅτι ὁ κόσμος εἶναι δίχως ἀρχή, κάνοντας τὸ συλλογισμὸ ὅτι κάθετι ποὺ κινεῖται ὁπωσδήποτε ἔλαβε ἀρχὴ στὴν κίνησή του. Καὶ κάθε κίνηση δὲν εἶναι χωρὶς ἀρχή, ἐπειδὴ δὲν εἶναι καὶ χωρὶς αἰτία. Γιατὶ ἀρχή του ἔχει αὐτὸ ποὺ τὸ κινεῖ (τὸ κινοῦν) καὶ αἰτία του ἔχει τὸ τέλος ποὺ τὸ καλεῖ καὶ τὸ ἕλκει καὶ πρὸς τὸ ὁποῖο κινεῖται. Ἂν λοιπὸν κάθε κίνησης παντὸς κινουμένου ἡ ἀρχὴ εἶναι αὐτὸ ποὺ τὸ κινεῖ καὶ τέλος ἡ αἰτία πρὸς τὴν ὁποία φέρεται αὐτὸ ποὺ κινεῖται (γιατὶ κανένα δὲν κινεῖται χωρὶς αἰτία), καὶ κανένα ἀπὸ τὰ ὄντα δὲν εἶναι ἀκίνητο, ἐκτὸς ἀπὸ τὸ πρῶτο (ἀρχικὰ) κινοῦν (γιατὶ αὐτὸ ποὺ κινεῖ ἀρχικὰ εἶναι ὁπωσδήποτε ἀκίνητο, ἐπειδὴ εἶναι καὶ ἄναρχο), ἄρα κανένα ἀπὸ τὰ ὄντα δὲν εἶναι χωρὶς ἀρχή, ἐπειδὴ δὲν εἶναι καὶ ἀκίνητο. Ὅλα ὅσα κατὰ κάποιο τρόπο ὑπάρχουν κινοῦνται, ἐκτὸς ἀπὸ τὴν μόνη καὶ ἀκίνητη καὶ πάνω ἀπὸ ὅλα αἰτία· τὰ νοερὰ καὶ λογικὰ κινοῦνται γνωστικὰ κι ἐπιστημονικά, ἐπειδὴ δὲν εἶναι αὐτογνώση ἢ αὐτοεπιστήμη. Γιατὶ δὲν εἶναι οὐσία τους ἡ γνώση καὶ ἡ ἐπιστήμη τους, ἀλλὰ εἶναι ἕξεις ποὺ χαρακτηρίζουν τὴν οὐσία τους, καὶ ποὺ εἶναι ἐπακόλουθο τῆς νοητικῆς καὶ λογικῆς (ἐννοῶ τὶς συστατικὲς δυνάμεις αὐτῶν) ὀρθῆς κρίσης.

## 56

### Ἑρμηνεία γιὰ τὴ συστολὴ καὶ διαστολὴ τῆς οὐσίας, τῆς

*τε καὶ ποσότητος, καθ' ἣν ἄναρχοι εἶναι οὐ δύνανται.*

*Ἀλλὰ καὶ αὐτὴ ἡ ἁπλῶς λεγομένη οὐσία οὐ μόνον ἡ τῶν ἐν γενέσει καὶ φθορᾷ κατὰ τὴν γένεσιν κινεῖται καὶ φθοράν, ἀλλὰ καὶ ἡ τῶν ὄντων ἁπάντων καὶ κεκίνηται καὶ κινεῖται τῷ κατὰ διαστολὴν καὶ συστολὴν λόγῳ τε καὶ τρόπῳ. Κινεῖται γὰρ ἀπὸ τοῦ γενικωτάτου γένους διὰ τῶν γενικωτέρων γενῶν εἰς τὰ εἴδη δι' ὧν καὶ εἰς ἃ διαιρεῖσθαι πέφυκε, προϊοῦσα μέχρι τῶν εἰδικωτάτων εἰδῶν οἷς περατοῦται ἡ κατ' αὐτὴν διαστολή, τὸ εἶναι αὐτῆς πρὸς τὰ κάτω περιγράφουσα, καὶ συνάγεται πάλιν ἀπὸ τῶν εἰδικωτάτων εἰδῶν διὰ τῶν γενικωτέρων ἀναποδίζουσα μέχρι τοῦ γενικωτάτου γένους, ᾧ περατοῦται ἡ κατ' αὐτὴν συστολή, πρὸς τὸ ἄνω τὸ εἶναι αὐτῆς ὁρίζουσα, καὶ λοιπὸν διχόθεν περιγραφομένη, ἄνωθέν τε λέγω καὶ κάτωθεν, ἀρχὴν καὶ τέλος ἔχουσα δείκνυται, τὸν τῆς ἀπειρίας οὐδ' ὅλως ἐπιδέξασθαι δυναμένη λόγον.*

*Ὡσαύτως δὲ καὶ ἡ ποσότης, οὐ μόνον ἡ τῶν ἐν γενέσει καὶ φθορᾷ παντὶ τρόπῳ ᾧ πέφυκε θεωρεῖσθαι κατ' αὔξησιν κινεῖται καὶ μείωσιν, ἀλλὰ καὶ ἡ πᾶσα καὶ πάντων τῷ κατ' ἄνεσιν καὶ ἐπίτασιν λόγῳ κινουμένη καὶ ταῖς κατὰ μέρος διαφοραῖς κατὰ διαστολὴν εἰδοποιουμένη περιγράφεται, τὸ ἄπειρον· χεῖσθαι οὐκ ἔχουσα, καὶ συνάγεται πάλιν ἀναποδίζουσα, τὸ κατ' αὐτάς, ἀλλ' οὐ τὸ συμφυὲς εἶδος ἀπολύουσα. Ὁμοίως δὲ καὶ ἡ ποιότης, οὐ μόνον ἡ τῶν ἐν γενέσει καὶ φθορᾷ κινεῖται κατ' ἀλλοίωσιν, ἀλλὰ καὶ ἡ πᾶσα καὶ πάντων, τῷ τρεπτῷ τε καὶ σκεδαστῷ τῆς κατ' αὐτὴν διαφορᾶς κινουμένη, διαστολὴν καὶ συστολὴν ἐπιδέχεται. Οὐδεὶς δὲ τὸ πεφυκὸς σκεδάννυσθαί τε καὶ συνάγεσθαι λόγῳ ἢ ἐνεργείᾳ εἴποι ἂν εὐφρονῶν ἀκίνητον εἶναι παντάπασιν. Εἰ δὲ μὴ ἀκίνητον, οὐδὲ ἄναρχον· εἰ δὲ μὴ ἄναρχον, οὐδὲ ἀγένητον δηλονότι, ἀλλ' ὥσπερ οἶδεν ἠργμένον κινήσεως τὸ κινούμενον, οὕτω καὶ τῆς πρὸς τὸ εἶναι γενέσεως*

---

**15. Γένος γενικότατο εἶναι ἡ οὐσία, εἶδος εἰδικότατο εἶναι 'τόδε τὸ ὄν'.**

ποιότητας καὶ τῆς ποσότητας, σύμφωνα μὲ τὴν ὁποία δὲν μποροῦν νὰ εἶναι χωρὶς ἀρχή.

Ἀλλὰ καὶ αὐτὴ ἡ ἁπλῶς λεγόμενη οὐσία δὲν κινεῖται μὲ γένεση καὶ φθορά ἡ οὐσία μόνο ἐκείνων ποὺ βρίσκονται μέσα στὴ γένεση καὶ τὴ φθορά, ἀλλὰ καὶ ἡ οὐσία ὅλων τῶν ὄντων καὶ ἔχει κινηθεῖ καὶ κινεῖται σύμφωνα μὲ τὸ λόγο καὶ τὸν τρόπο τῆς διαστολῆς καὶ τῆς συστολῆς. Κινεῖται δηλαδὴ ἀπὸ τὸ γενικότατο γένος[15] κατεβαίνοντας ἀπὸ τὰ γενικότερα γένη στὰ εἴδη μὲ τὰ ὁποῖα καὶ στὰ ὁποῖα διαιρεῖται ἀπὸ τὴ φύση της, προχωρώντας ὡς τὰ εἰδικότατα εἴδη στὰ ὁποῖα περατώνεται ἡ διαστολὴ τῆς οὐσίας, περιορίζοντας τὸ εἶναι της πρὸς τὰ κάτω. Καὶ ἀπὸ τὰ εἰδικότατα εἴδη συνάγεται πάλι μὲ ἀντίστροφη πορεία διαμέσου τῶν γενικότερων εἰδῶν ὡς τὸ γενικότατο εἶδος στὸ ὁποῖο περατώνεται ἡ συστολή της περιορίζοντας τὸ εἶναι της πρὸς τὰ ἄνω. Περιγράφεται λοιπὸν καὶ ἀπὸ τὰ δύο μέρη, ἐννοῶ καὶ ἀπὸ ἄνω καὶ ἀπὸ κάτω καὶ ἀποδεικνύεται νὰ ἔχει ἀρχὴ καὶ τέλος, ἀδυνατώντας ἐντελῶς νὰ δεχτεῖ τὸ λόγο τῆς ἀπειρίας.

Τὸ ἴδιο καὶ ἡ ποιότητα, ὄχι μόνο ὅσων γεννιοῦνται καὶ φθείρονται μποροῦμε μὲ ὁποιοδήποτε τρόπο νὰ διαπιστώσομε ὅτι κινεῖται κατὰ αὔξηση καὶ μείωση, ἀλλὰ καὶ ἡ κάθε οὐσία ὅλων τῶν ὄντων κινεῖται κατὰ τὸ λόγο τῆς ἄνεσης καὶ τῆς ἔκτασης, καὶ διαφοροποιεῖται κατὰ μέρος μὲ τὴ διαστολὴ στὰ διάφορα εἴδη καὶ ἔτσι περιγράφεται, μὴ ἔχοντας τὴ δυνατότητα νὰ ἁπλώνεται στὸ ἄπειρο. Καὶ συνάγεται πάλι μὲ τὴν ἀντίστροφη πορεία ὡς πρὸς αὐτὲς χωρὶς νὰ χάνει τὸ συμφυὲς εἶδος. Ὅμοια καὶ ἡ ποιότητα· δὲν εἶναι μόνο ἡ ποιότητα ὅσων γεννιοῦνται καὶ φθείρονται ποὺ κινεῖται καὶ ἀλλοιώνεται, ἀλλὰ καὶ κάθε οὐσία ὅλων τῶν ὄντων πού, καθὼς κινεῖται μὲ τὴ μεταβολὴ καὶ τὸ ἅπλωμα, δέχεται τὴ διαστολὴ καὶ τὴ συστολή. Καὶ βέβαια κανένας ποὺ ὀρθοφρονεῖ δὲ θὰ ἔλεγε πὼς αὐτὸ ποὺ ἀπὸ τὴ φύση του ἁπλώνεται καὶ μαζεύεται μὲ τὸ λόγο ἢ μὲ τὴν ἐνέργεια εἶναι τελείως ἀκίνητο. Κι ἂν δὲν εἶναι ἀκίνητο, δὲν εἶναι οὔτε ἄναρχο· κι ἂν δὲν εἶναι ἄναρχο, εἶναι φανερὸ δὲν εἶναι οὔτε ἀγέννητο. Ἀλλὰ ὅπως γνωρίζει ὅτι τὸ κινούμενο ἔχει ἀρ-

*ἦρχθαι τὸ γεγενημένον ἐπίσταται, καὶ ἐκ τοῦ μόνου καὶ ἑνὸς ἀγενήτου τε καὶ ἀκινήτου τὸ εἶναί τε καὶ τὸ κινεῖσθαι λαβόν. Τὸ δὲ κατὰ τὴν τοῦ εἶναι γένεσιν ἠργμένον οὐδαμῶς ἄναρχον εἶναι δύναται.*

*ΝΖ'*

*Ἀπόδειξις τοῦ, «Πᾶν ὁτιοῦν ἄνευ Θεοῦ πάντως ἐν τόπῳ, καὶ διὰ τοῦτο ἐξ ἀνάγκης καὶ ἐν χρόνῳ, καὶ ὅτι τὸ ἐν τόπῳ πάντως κατὰ χρόνον καὶ ἦρκται τοῦ εἶναι.*

*Ἵνα δὲ ἐάσω λέγειν ὅτι καὶ αὐτὸ τὸ εἶναι τῶν ὄντων, τὸ πῶς εἶναι ἔχον, ἀλλ' οὐχ ἁπλῶς, ὅπερ ἐστὶ πρῶτον εἶδος περιγραφῆς, ἰσχυρόν τε καὶ μέγα πρὸς ἀπόδειξιν τοῦ ἦρχθαι κατ' οὐσίαν καὶ γένεσιν τὰ ὄντα, τίς ἀγνοεῖ ὅτι παντὸς τοῦ ὁπωσοῦν ὄντος, πλὴν τοῦ θείου καὶ μόνου, τοῦ καὶ ὑπὲρ αὐτὸ τὸ εἶναι κυρίως ὑπάρχοντος, προεπινοεῖται τὸ ποῦ, ᾧ πάντῃ τε καὶ πάντως ἐξ ἀνάγκης συνεπινοεῖται τὸ πότε. Οὐ γὰρ τοῦ ποτὲ διωρισμένον κατὰ στέρησιν δυνατόν ἐστιν ἐπινοῆται τὸ ποῦ (τῶν γὰρ ἅμα ταῦτά ἐστιν, ἐπειδὴ καὶ τῶν οὐκ ἄνευ τυγχάνουσιν) ἢ δὲ τοῦ ποῦ τὸ ποτέ, ᾧ συνεπινοεῖσθαι πέφυκεν, οὐδαμῶς διώρισται κατὰ στέρησιν. Ὑπὸ τὸ ποῦ δὲ πάντα, ὡς ἐν τόπῳ ὄντα, δείκνυται. Οὐ γὰρ ὑπὲρ τὸ πᾶν αὐτὸ τὸ πᾶν τοῦ παντὸς (τοῦτο γάρ πως καὶ ἄλογον καὶ ἀδύνατον αὐτὸ τὸ πᾶν ὑπὲρ τὸ ἑαυτοῦ πᾶν εἶναι θεσπίζειν), ἀλλ' ὑφ' ἑαυτοῦ ἐν ἑαυτῷ τὴν περιγραφὴν ἔχον, μετὰ τὴν πάντα περιγράφουσαν τοῦ παναιτίου ἄπειρον δύναμιν, αὐτὸ τὸ πέρας ἑαυτοῦ τὸ ἐξώτερον. Ὅπερ καὶ τόπος ἐστὶ τοῦ παντός, καθὼς καὶ ὁρίζονταί τινες τὸν τόπον λέγοντες, Τόπος ἐστὶν ἡ ἔξω τοῦ παντὸς περιφέρεια, ἢ ἡ ἔξω τοῦ παντὸς*

χίσει νὰ κινεῖται, ἔτσι καὶ γιὰ τὸ εἶναι του γνωρίζει αὐτὸ ποὺ δημιουργήθηκε ὅτι ἔχει στὴ δημιουργία του ἀρχὴ καὶ ὅτι ἔλαβε τὴν ὕπαρξη καὶ τὴν κίνηση ἀπὸ τὸ μόνο καὶ τὸ ἕνα ἀδημιούργητο καὶ ἀκίνητο. Κι αὐτὸ ποὺ ἔχει ἀρχὴ στὴ γένεση τοῦ εἶναι του, δὲν μπορεῖ βέβαια καθόλου νὰ εἶναι δίχως ἀρχή.

## 57

### Ἀπόδειξη ὅτι «κάθε τι, ἐκτὸς ἀπὸ τὸ Θεό, βρίσκεται ὁπωσδήποτε σὲ τόπο καὶ γι' αὐτὸ ἐξ ἀνάγκης εἶναι καὶ σὲ χρόνο, καὶ ἐκεῖνο ποὺ βρίσκεται σὲ τόπο, ὁπωσδήποπτε ἔχει ἀρχίσει νὰ ὑπάρχει χρονικά.

Γιὰ νὰ μὴν πῶ ὅτι καὶ τὸ ἴδιο τὸ εἶναι τῶν ὄντων ποὺ διακρίνενται ὄχι ἀπὸ τὴ γενικὴ ἀλλὰ ἀπὸ τὴ συγκεκριμένη ὕπαρξη, ποὺ εἶναι τὸ πρῶτο εἶδος τῆς περιγραφῆς, εἶναι ἰσχυρὸ καὶ μεγάλο τεκμήριο γιὰ ν' ἀποδειχθεῖ ὅτι τὰ ὄντα ἔχουν ἀρχὴ στὴν οὐσία καὶ τὴ γένεσή τους, ποιός δὲ γνωρίζει ὅτι κάθετι ποὺ ὑπάρχει μὲ κάποιο τρόπο, ἐκτὸς ἀπὸ τὸ θεῖο καὶ τὸ μόνο, ποὺ ἡ ὕπαρξή του εἶναι πάνω ἀπὸ τὸ ἴδιο τὸ εἶναι, προϋποθέτει τὸ ποῦ, καὶ σὲ κάθε περίπτωση κι ὁπωσδήποτε συνεπινοεῖται ὑποχρεωτικὰ καὶ τὸ πότε. Γιατὶ δὲν εἶναι δυνατὸ νὰ σκεφτοῦμε τὸ ποῦ χωρισμένο κατὰ στέρηση ἀπὸ τὸ ποτὲ (γιατὶ αὐτά εἶναι ἀπὸ τὰ ταυτόχρονα, ἐπειδὴ εἶναι κι ἀπὸ τά ἀπαραίτητα), ἢ καθόλου δὲν χωρίστηκε κατὰ στέρηση ἀπὸ τὸ ποῦ τὸ ποτέ, μὲ τὸ ὁποῖο ἀπὸ τὴ φύση του συνεπινοεῖται. Ὅλα ἐμφανίζονται κάτω ἀπὸ τὸ ποῦ, ἐπειδὴ βρίσκονται σὲ τόπο. Γιατὶ τὸ πᾶν δὲν ὑπερβαίνει τὸ πᾶν τοῦ σύμπαντος (αὐτὸ εἶναι καὶ κάπως ἄλογο καὶ ἀδύνατο νὰ θεσπίσομε ὅτι τὸ πᾶν ξεπερνᾶ τὸ ἴδιο του τὸ πᾶν), ἀλλὰ ἔχει τὸ ἴδιο τὴν περιγραφή του μέσα στὸν ἑαυτό του, ἔπειτα ἀπὸ τὴν ἄπειρη δύναμη τοῦ παναίτιου ποὺ περιγράφει τὰ πάντα καὶ ποὺ εἶναι τὸ ἴδιο τὸ ἐξωτερικότερο πέρας τοῦ ἑαυτοῦ του. Αὐτὸ εἶναι καὶ ὁ τόπος τοῦ σύμπαντος, ὅπως ὁρίζουν μερικοὶ τὸν τόπο λέγοντας ὅτι «τόπος εἶναι ἡ ἐξωτερικὴ περιφέρεια τοῦ σύμπα-

*θέσις, ἢ τὸ πέρας τοῦ περιέχοντος ἐν ᾧ περιέχεται τὸ περιεχόμενον.*

*Καὶ ὑπὸ τὸ ποτέ, ὡς ἐν χρόνῳ πάντως ὄντα, συναποδειχθήσεται, ἐπειδὴ μὴ ἁπλῶς, ἀλλὰ πῶς τὸ εἶναι ἔχουσι, πάντα ὅσα μετὰ Θεὸν τὸ εἶναι ἔχει. Καὶ διὰ τοῦτο οὐκ ἄναρχα. Πᾶν γὰρ ὅπερ καθ' ὁτιοῦν τὸν τοῦ πῶς ἐπιδέχεται λόγον, κἂν εἰ ἔστιν, ἀλλ' οὐκ ἦν. Ὅθεν τὸ Θεῖον εἶναι λέγοντες οὐ τὸ πῶς εἶναι λέγομεν· καὶ διὰ τοῦτο καὶ τὸ «ἔστι» καὶ τὸ «ἦν» ἁπλῶς καὶ ἀορίστως καὶ ἀπολελυμένως ἐπ' αὐτοῦ λέγομεν. Ἀνεπίδεκτον γὰρ παντὸς λόγου καὶ νοήματος τὸ Θεῖόν ἐστι, καθ' ὃ οὔτε κατηγοροῦντες αὐτοῦ τὸ εἶναι λέγομεν αὐτὸ εἶναι. Ἐξ αὐτοῦ γὰρ τὸ εἶναι, ἀλλ' οὐκ αὐτὸ τὸ εἶναι. Ὑπὲρ γάρ ἐστι καὶ αὐτοῦ τοῦ εἶναι, τοῦ τε πῶς καὶ ἁπλῶς λεγομένου τε καὶ νοουμένου. Εἰ δὲ πῶς, ἀλλ' οὐχ ἁπλῶς, ἔχει τὰ ὄντα τὸ εἶναι, ὥσπερ ὑπὸ τὸ ποῦ εἶναι διὰ τὴν θέσιν καὶ τὸ πέρας τῶν ἐπ' αὐτοῖς κατὰ φύσιν λόγων, καὶ ὑπὸ τὸ ποτὲ πάντως εἶναι διὰ τὴν ἀρχὴν ἐπιδέξεται.*

## *ΝΗ'*

### *Ἀπόδειξις τοῦ μὴ δύνασθαι ἄπειρον εἶναι, καὶ διὰ τοῦτο οὔτε ἄναρχον πᾶν, εἴ τι κατὰ τὴν ἐν πλήθει ποσότητα ἔχει τὸ εἶναι.*

*Καὶ πάλιν, εἰ ἡ πάντων οὐσία πολλῶν ὄντων τῶν πάντων ἄπειρος εἶναι οὐ δύναται (πέρας γὰρ ἔχει αὐτῶν τῶν πολλῶν ὄντων τὴν ἐν πλήθει ποσότητα περιγράφουσαν αὐτῆς τόν τε τοῦ εἶναι καὶ τοῦ πῶς εἶναι λόγον, οὐ γὰρ ἄφετος ἡ τῶν πάντων οὐσία), οὐδὲ ἡ τοῦ καθ' ἕκαστον δῆλον ὑπόστασις ἔσται δίχα πε-*

---

**16. Τὸ Θεῖο ὑπάρχει γενικά· ἡ συγκεκριμένη ὕπαρξη, τὸ πῶς, ἀνήκει στὰ μετὰ τὸ Θεό. Ὁ Θεὸς εἶναι πάνω κι ἀπ' αὐτὸ τὸ 'εἶναι'.**

ντος», ἢ ἡ θέση ἔξω ἀπὸ τὸ πᾶν ἢ τὸ πέρας τοῦ περιέχοντος ὅπου περιέχεται τὸ περιεχόμενο.

Μαζὶ μ' αὐτὸ θὰ ἀποδειχθεῖ ὅτι εἶναι καὶ μέσα στὸ ποτέ, γιατὶ τὰ ὄντα εἶναι ὁπωσδήποτε μέσα στὸ χρόνο, ἐπειδὴ ὅλα ὅσα εἶναι μετὰ τὸ Θεὸ δὲν ἔχουν τὸ εἶναι ἁπλῶς, ἀλλὰ κατὰ κάποιο τρόπο, καὶ γι' αὐτὸ δὲν εἶναι χωρὶς ἀρχή. Γιατὶ κάθετι ποὺ ἐπιδέχεται κατὰ ὁποιοδήποτε τρόπο τὸ λόγο τοῦ «πῶς», ἀκόμα κι ἂν ὑπάρχει τώρα, κάποτε δὲν ὑπῆρχε. Γι' αὐτὸ ὅταν λέμε ὅτι τὸ Θεῖο ὑπάρχει, δὲ λέμε μὲ ποιό τρόπο ὑπάρχει[16]. Καὶ γι' αὐτὸ καὶ τὸ «εἶναι» καὶ τὸ «ἦταν» τὰ λέμε γι' αὐτὸ γενικὰ κι ἀόριστα καὶ ἀπόλυτα. Γιατὶ τὸ Θεῖο δὲν ἐπιδέχεται ὁποιοδήποτε λόγο καὶ νόημα, καὶ γ' αὐτὸ δὲν λέμε ὅτι τὸ Θεῖο ὑπάρχει ἀποδίδοντάς το ὡς κατηγόρημα τὸ εἶναι. Ἀπὸ αὐτὸ δηλαδὴ πηγάζει τὸ εἶναι, ἀλλὰ δὲν εἶναι αὐτὸ τὸ εἶναι. Γιατὶ εἶναι πάνω κι ἀπὸ τὸ ἴδιο τὸ εἶναι, εἴτε τὸ συγκεκριμένο εἶναι (πῶς) λέμε καὶ ἐννοοῦμε εἴτε τὸ γενικό. Κι ἂν τὰ ὄντα ἔχουν τὸ συγκεκριμένο εἶναι (εἶναι πῶς) κι ὄχι τὸ γενικὸ εἶναι (ἁπλῶς εἶναι), ὅπως δέχονται τὸν προσδιορισμὸ τῆς ὕπαρξης σὲ τόπο (εἶναι ποῦ) ἐξαιτίας τῆς θέσης καὶ τοῦ πέρατος τῶν φυσικῶν τους λόγων, ἔτσι ἐξαιτίας τῆς ἀρχῆς τους θὰ δεχτοῦν ὁπωσδήποτε καὶ τὸν προδιορισμὸ τῆς ὕπαρξης σὲ χρόνο (εἶναι ποτέ).

## 58

### Ἀπόδειξη ὅτι δὲν μπορεῖ νὰ εἶναι ἄπειρο καὶ γι' αὐτὸ οὔτε καὶ ἄναρχο ὅποιο τυχὸν ἔχει τὸ εἶναι στὴν ἀριθμητικὴ ποσότητα[17].

Καὶ πάλι ἂν ἡ οὐσία τῶν πάντων, ἐπειδὴ τὰ ὄντα εἶναι πολλά, δὲν μπορεῖ νὰ εἶναι ἄπειρη (γιατὶ ὡς πέρας της ἔχει αὐτῶν τῶν πολλῶν ὄντων τὸ πλῆθος καὶ τὴν ποσότητα ποὺ περιγράφει τόσο τὸ λόγο τοῦ εἶναι ὅσο καὶ τὸ λόγο τοῦ συγκεκριμένου εἶναι, γιατὶ ἡ οὐσία τῶν ὄντων δὲν εἶναι ἀπόλυτη), οὔτε τοῦ καθε-

17. Ὁ Μάξιμος εἶναι σαφὴς καὶ κατηγορηματικός· ὅ,τι μετριέται ποιοτικὰ εἶναι πεπερασμένο καὶ περιορισμένο. Τὸ σύμπαν ἔχει ὅρια.

*ριγραφῆς, ἀλλήλαις τῷ ἀριθμῷ καὶ τῇ οὐσίᾳ κατὰ λόγον περιγεραμμέναι. Εἰ δὲ περιγραφῆς οὐδὲν τῶν ὄντων ἐλεύθερον, πάντα τὰ ὄντα δηλονότι ἀναλόγως ἑαυτοῖς καὶ τὸ ποτὲ εἶναι καὶ τὸ «ποῦ εἶναι» εἴληφε. Τούτων γὰρ ἄνευ τὸ παράπαν οὐδὲν εἶναι δυνήσεται, οὐκ οὐσία, οὐ ποσότης, οὐ ποιότης, οὐ σχέσις, οὐ ποίησις, οὐ πάθος, οὐ κίνησις, οὐχ ἕξις, οὐχ ἕτερόν τι τῶν οἷς τὸ πᾶν περικλείουσιν οἱ περὶ ταῦτα δεινοί. Οὐδὲν οὖν τῶν ὄντων ἄναρχον, ᾧ τι ἕτερον προεπινοεῖσθαι, οὐδὲ ἀπερίγραφον ᾧ τι ἕτερον συνεπινοεῖσθαι δύναται. Εἰ δὲ τῶν ὄντων οὐδὲν ἄναρχον ἢ ἀπερίγραφον, ὡς ἔδειξε ἀκολούθως τῇ φύσει τῶν ὄντων ἑπόμενος ὁ λόγος, ἦν πάντως ποτὲ ὅτε τι τῶν ὄντων οὐκ ἦν· εἰ δὲ οὐκ ἦν, πάντως γέγονεν, εἴπερ οὐκ ἦν. Οὐ γὰρ ἄμφω ἐνδέχεται καὶ εἶναι καὶ γίνεσθαι χωρὶς τροπῆς καὶ ἀλλοιώσεως. Εἰ γὰρ ἦν καὶ γέγονεν, ἐτράπη, εἰς ὅπερ οὐκ ἦν μεταχωρῆσαν κατὰ τὴν γένεσιν, ἢ ἠλλοιώθη, προσθήκην οὗ ἐστέρητο κάλλους ἐπιδεξάμενον. Πᾶν δὲ τρεπόμενον ἢ ἀλλοιούμενον ἢ ἐλλιπὲς εἴδους, αὐτοτελὲς εἶναι οὐ δύναται. Τὸ δὲ μὴ ὂν αὐτοτελές, ἑτέρου πάντως προσδεηθήσεται, τοῦ παρέχοντος αὐτῷ τὴν τελειότητα, καὶ ἔστι τέλειον μὲν τὸ τοιοῦτον, ἀλλ' οὐκ αὐτοτελές, διὰ τὸ μὴ φύσει, μεθέξει δὲ τὸ τέλειον ἔχειν. Τὸ δὲ ἑτέρου προσδεόμενον πρὸς τελείωσιν καὶ πρὸς αὐτὸ τὸ εἶναι πολλῷ μᾶλλον προσδεηθήσεται.*

*Εἰ γὰρ εἴδους κρείττων, ὥς φασιν, ἡ οὐσία καθέστηκε, την δὲ ἑαυτῷ παρασχεῖν ἢ ἁπλῶς ἔχειν δεδύνηται ἐκεῖνο τὸ ταὐ- ὅπερ αὐτοὶ φάναι βούλονται, πῶς πρὸς τὸ ἔχειν ἁπλῶς ἢ παρασχεῖν ἑαυτῷ τὸ ἧττον, φημὶ δὲ τὸ εἶδος, οὐκ ἐπήρκεσε; Εἰ δὲ πρὸς τὸ παρασχεῖν ἑαυτῷ τὸ ἧττον, ἢ ἁπλῶς ἔχειν ἐκεῖνο τὸ ὄν, ὅπερ εἴ τε οὐσίαν, εἴ τε ὕλην καλεῖν βούλονται οἱ τὸ ἄναρχον τοῖς μετὰ Θεὸν καὶ ἐκ Θεοῦ προσάπτειν τολμῶντες (οὐ γὰρ περὶ τούτου διαφερόμεθα) οὐκ ἐπήρκεσε, πῶς τὸ κρεῖττον, αὐτὸ τὸ εἶναί*

νὸς ἡ ὑπόσταση προφανῶς δὲ θὰ εἶναι χωρὶς περιγραφή, ἀλλὰ περιγράφονται μεταξύ τους κατὰ λόγο ἀπὸ τὸν ἀριθμὸ καὶ τὴν οὐσία. Κι ἂν κανένα ἀπὸ τὰ ὄντα δὲν εἶναι ἐλεύθερο ἀπὸ περιγραφή, τότε εἶναι φανερὸ ὅλα τὰ ὄντα ἀνάλογα μὲ τὸν ἑαυτό τους ἔχουν λάβει καὶ τὸ εἶναι σὲ χρόνο καὶ τὸ εἶναι σὲ τόπο. Χωρὶς αὐτὰ δὲν εἶναι δυνατὸ νὰ ὑπάρξει τίποτε ἀπολύτως οὔτε οὐσία οὔτε ποσότητα οὔτε ποιότητα, σχέση, ποίηση, πάθος, κίνηση, ἕξη, οὔτε κανένα ἄλλο ἀπὸ αὐτὰ μὲ τὰ ὁποῖα περικλείουν τὸ πᾶν οἱ δεινοὶ στὰ θέματα αὐτά. Κανένα λοιπὸν ἀπὸ τὰ ὄντα δὲν εἶναι χωρὶς ἀρχή, στὸ ὁποῖο προϋποτίθεται κάποιο ἄλλο, οὔτε εἶναι ἀπεριόριστο, ὅπως ἔδειξε ὁ λόγος ἀκολουθώντας τὴ φύση τῶν ὄντων, ἀλλὰ ὑπῆρχε κάποτε χρόνος κατὰ τὸν ὁποῖο κάποιο ὂν δὲν ὑπῆρχε. Κι ἂν δὲν ὑπῆρχε, ὁπωσδήποτε ἔχει γίνει, ἀφοῦ βέβαια δὲν ὑπῆρχε. Γιατὶ δὲν δέχεται καὶ τὰ δύο, καὶ τὸ εἶναι καὶ τὸ γίνεσθαι χωρὶς μεταβολὴ καὶ ἀλλοίωση. Ἂν λοιπὸν ἦταν καὶ ἔχει γίνει μεταβλήθηκε, ἀφοῦ μετακινήθηκε κατὰ τὴ γένεση σ' αὐτὸ ποὺ δὲν ἦταν, ἢ ἀλλοιώθηκε, ἀφοῦ δέχθηκε προσθήκη ὀμορφιᾶς ποὺ δὲν εἶχε. Καὶ κάθε τι ποὺ μεταβάλλεται ἢ ἀλλοιώνεται ἢ τοῦ λείπει ἡ μορφή, δὲν μπορεῖ νὰ εἶναι αὐτοτελές. Κι ὅποιο δὲν εἶναι αὐτοτελές, θὰ ἔχει τὴν ἀνάγκη κάποιου ἄλλου, ποὺ τοῦ παρέχει τὴν τελειότητα καὶ αὐτὸ εἶναι τέλειο ὄχι ὅμως καὶ αὐτοτελές, ἐπειδὴ δὲν ἔχει ἀπὸ τὴ φύση του τὴν τελειότητα, ἀλλὰ ἀπὸ μέθεξη. Κι ὅποιο ἔχει ἀνάγκη ἀπὸ κάποιο ἄλλο γιὰ τὴν τελείωσή του, πολὺ περισσότερο θὰ τὸ χρειαστεῖ καὶ γιὰ τὸ ἴδιο του τὸ εἶναι.

Ἂν δηλαδή, ὅπως λένε, ἡ οὐσία εἶναι ἀνώτερη ἀπὸ τὸ εἶδος, κι αὐτὴν μπορεῖ νὰ τὴν παράσχει στὸν ἑαυτό του ἢ ἁπλῶς νὰ τὴν ἔχει ἐκεῖνο τὸ ὂν ποὺ αὐτοὶ θέλουν νὰ καλοῦνε, πῶς δὲν ἔφτασε νὰ ἔχει ἁπλῶς ἢ νὰ παράσχει στὸν ἑαυτό του τὸ κατώτερο, ἐννοῶ τὸ εἶδος; Κι ἂν δὲν ἔφτασε νὰ προσφέρει στὸν ἑαυτό του τὸ κατώτερο ἢ ἁπλῶς νὰ ἔχει ἐκεῖνο τὸ ὄν, ποὺ εἴτε οὐσία εἴτε ὕλη θέλουν νὰ τὸ καλοῦν αὐτοὶ ποὺ τολμοῦν νὰ προσάπτουν στὰ ἔπειτα ἀπὸ τὸ Θεὸ τὸ ἄναρχο (δὲν εἶναι σ' αὐτὸ ἡ διαφορά μας), πῶς τὸ ἀνώτερο, τὸ ἴδιο τὸ εἶναι λέγω, μπόρεσε

*φημι, ἢ ἁπλῶς ἢ παρ' ἑαυτοῦ ἔχειν δεδύνηται, τὸ πρὸς τὸ ἔχειν
τὸ ἧττον ἀδυνατῆσαν; Εἰ δὲ παρ' ἑαυτῆς ἢ ἁπλῶς ἔχειν τὸ ἧττον
40 οὐδαμῶς ἡ ὕλη δεδύνηται, πολλῷ μᾶλλον αὐτὸ τὸ εἶναι ἁπλῶς,
ἢ πῶς παρ' ἑαυτῆς ἔχειν οὐ δυνηθήσεται. Ἆρ' οὖν ἡ πρὸς τὸ
ἔχειν, ὡς δέδεικται, τὸ ἧττον, λέγω δὲ τὸ εἶδος, ἀτονήσασα οὐδὲ
τὸ κρεῖττον, αὐτὸ τὸ εἶναί φημι, κἂν ὁπωσοῦν ἔχειν δυνηθείη
ποτέ. Εἰ δὲ τοῦτο, πάντως ἐκ Θεοῦ τὸ εἶναι τοῖς οὖσι καὶ τὸ εἶδος
42 δεδώρηται, ἐπείπερ εἰσίν· εἰ δὲ ἐκ Θεοῦ πᾶσα οὐσία καὶ ὕλη καὶ
εἶδος ἅπαν ἐστίν, οὐδεὶς ἂν μὴ πάντῃ σώφρονος λογισμοῦ ἐστερημένος εἰπεῖν ἀνάσχοιντο ἄναρχον ἢ ἀγένητον τὴν ὕλην, Θεὸν εἰδὼς τῶν ὄντων ποιητὴν καὶ δημιουργόν.*

## *ΝΘ'*

*Ἀπόδειξις ὅτι πᾶν κινούμενον, ἢ ἄλλῳ διαφόρῳ κατὰ τὴν οὐσίαν ἐξ ἀϊδίου συνθεωρούμενον, ἄπειρον εἶναι οὐ δύναται, καὶ ὅτι ἡ δυὰς οὔτε ἀρχή ἐστιν, οὔτε ἄναρχος, καὶ ὅτι ἡ μονὰς μόνη κυρίως ἀρχὴ καὶ ἄναρχος.*

*Καὶ πάλιν, εἰ ἦν, ὥς τινές φασιν, ἡ ὕλη, οὐ γέγονε δηλονότι, εἰ δὲ μὴ γέγονεν, οὐδὲ κινεῖται, εἰ δὲ μὴ κινεῖται, οὔτε τοῦ εἶναι ἤρξατο, εἰ δὲ τοῦ εἶναι μὴ ἤρξατο, πάντως ἄναρχον, εἰ δὲ ἄναρχον, καὶ ἄπειρον, εἰ δὲ ἄπειρον, πάντως καὶ ἀκίνητον (ἀκίνητον γὰρ πάντως τὸ ἄπειρον, οὐ γὰρ ἔχει ποῦ κινηθῆναι τὸ μὴ ὁριζόμενον), εἰ δὲ τοῦτο, δύο πάντως τὰ ἄπειρα καὶ ἄναρχα καὶ ἀκίνητα, Θεὸς καὶ ὕλη, ὅπερ εἶναι ἀμήχανον. Δυὰς γὰρ οὔτε ἄπειρος, οὔτε ἄναρχος, οὔτε ἀκίνητος, οὔτε μὴν ἀρχὴ καθόλου τινὸς εἶναι δυνήσεται, καθ' ἕνωσίν τε καὶ διαίρεσιν περιγραφομένη, καθ' ἕνωσιν μὲν ὡς ὕπαρξιν ἔχουσα τῶν μονάδων τὴν σύνθεσιν, ὑφ' ὧν ὡς μερῶν περιέχεται καὶ εἰς ἃς ὡς μέρη τέ-*

νὰ τὸ ἔχει ἢ ἁπλῶς ἢ ἀπὸ τὸν ἑαυτό του, τὴ στιγμὴ ποὺ στάθηκε ἀνίκανο νὰ ἔχει τὸ κατώτερο; Κι ἂν καθόλου δὲν μπόρεσε ἡ ὕλη νὰ ἔχει ἀπὸ τὸν ἑαυτό της ἢ ἁπλῶς τὸ κατώτερο, πολὺ περισσότερο τὸ ἴδιο τὸ ἁπλῶς εἶναι ἢ τὸ εἶναι μὲ κάποιο τρόπο δὲ θὰ μπορέσει νὰ ἔχει ἀπὸ τὸν ἑαυτό της. Ἐπομένως αὐτὴ ποὺ δὲν ἔχει τὴ δύναμη, ὅπως ἀποδείχθηκε, νὰ ἔχει τὸ κατώτερο, ἐννοῶ τὸ εἶδος, οὔτε τὸ ἀνώτερο, καὶ ἐννοῶ τὸ ἴδιο τὸ εἶναι, θὰ μπορέσει μὲ κανένα τρόπο νὰ ἔχει ποτέ. Κι ἂν εἶναι ἔτσι, ὁπωσδήποτε ἀπὸ τὸ Θεὸ ἔχει δωρηθεῖ στὰ ὄντα τὸ εἶναι καὶ τὸ εἶδος, ἀφοῦ ὑπάρχουν. Κι ἂν κάθε οὐσία προέρχεται ἀπὸ τὸ Θεό, καὶ ἡ ὕλη καὶ κάθε εἶδος, κανένας δὲ θὰ τολμοῦσε νὰ πεῖ, ἂν δὲν ἔπασχε τελείως ἀπὸ ἔλλειψη ὀρθοφροσύνης, ὅτι ἡ ὕλη εἶναι χωρὶς ἀρχὴ καὶ γένεση, γνωρίζοντας ὅτι ὁ Θεὸς εἶναι ποιητὴς καὶ δημιουργὸς τῶν ὄντων.

## 59

Ἀπόδειξη ὅτι κάθε κινούμενο, ἢ ποὺ συνθεωρεῖται αἰώνια μὲ ἕνα ἄλλο διαφορετικὸ κατὰ τὴν οὐσία, δὲν μπορεῖ νὰ εἶναι ἄπειρο καὶ ὅτι ἡ δυάδα οὔτε ἀρχὴ εἶναι οὔτε χωρὶς ἀρχή, καὶ ὅτι ἡ μονάδα εἶναι κυρίως μόνη ἀρχὴ καὶ ἄναρχη.

Καὶ πάλι, ἂν ὑπῆρχε, ὅπως λένε μερικοί, ἡ ὕλη, εἶναι φανερὸ ὅτι δὲν ἔγινε, κι ἂν δὲν ἔχει γίνει, οὔτε καὶ κινεῖται, κι ἂν δὲν κινεῖται, οὔτε κι ἄρχισε νὰ ὑπάρχει, κι ἂν δὲν ἄρχισε νὰ ὑπάρχει, εἶναι ὁπωσδήποτε χωρὶς ἀρχή, κι ἂν εἶναι χωρὶς ἀρχή, εἶναι καὶ ἄπειρη, κι ἂν εἶναι ἄπειρη, εἶναι ὁπωσδήποτε ἀκίνητη (γιατὶ τὸ ἄπειρο εἶναι ὁπωσδήποτε ἀκίνητο, γιατὶ αὐτὸ ποὺ δὲν ὁρίζεται, δὲν ἔχει ποῦ νὰ κινηθεῖ), κι ἂν εἶναι ἔτσι, εἶναι ὁπωσδήποτε δύο ἄπειρα καὶ ἄναρχα καὶ ἀκίνητα, ὁ Θεὸς καὶ ἡ ὕλη, πράγμα ποὺ εἶναι ἀδύνατο. Γιατὶ ἡ δυάδα δὲν εἶναι οὔτε ἄπειρη, οὔτε ἄναρχη, οὔτε ἀκίνητη, κι ἀποκλείεται τελείως νὰ μπορέσει ποτὲ νὰ γίνει ἀρχὴ κάποιου, γιατὶ περιγράφεται κατὰ ἕνωση καὶ κατὰ διαίρεση· κατὰ ἕνωση, ἐπειδὴ ὡς ὕπαρξή της ἔχει τὴ σύνθεση τῶν μονάδων, ἀπὸ τὶς ὁποῖες ὡς μέρη τους ἀποτελεῖται

*μνεσθαι δύναται (οὐδὲν δὲ διαιρετὸν ἢ διαιρούμενον, ἢ σύνθετον ἢ συντιθέμενον, κατὰ φύσιν ἢ θέσιν ἢ ἄλλον τινὰ ἐπινοηθῆναι δυνάμενον τρόπον, ἀλλ' οὐδὲ αὐτὴ ἡ ἁπλῶς λεγομένη διαίρεσις ἢ σύνθεσις, ἄπειρον εἶναι δυνήσεται, ὅτι μὴ καὶ ἁπλοῦν καὶ μόνον, καὶ μὴ ἀριθμητὸν ἢ ἀριθμούμενον ἢ συναριθμούμενον, ἢ πάσης ἁπλῶς ἐλεύθερον τῆς οἱασδήποτε σχέσεως· πάντα γὰρ ταῦτα ἐν σχέσει θεωρεῖται, τὸ δὲ ἄπειρον ἄσχετον, οὐ γὰρ ἔχει τι κατὰ σχέσιν συνημμένον παντάπασι), κατὰ διαίρεσιν δὲ ὡς ἀριθμῷ κινουμένη, ἐξ οὗπερ ἤρξατό τε καὶ ὑφ' οὗ περιέχεται, ἐπείπερ οὐ φύσει τὸ εἶναι καὶ ἄσχετον ἔχει. Ἀριθμῷ γὰρ πᾶσα δυὰς καὶ πᾶσα μονὰς εἰς μέρος αὐτῆς συντελοῦσα εἶναι καθέστηκε, καθ' ὃν ἀλλήλων αἱ κατ' αὐτὴν μονάδες, ἀφαιροῦνται τὸ ἀπερίγραφον.*

*Οὐδεὶς δὲ μεμοιραμένος καὶ ὁπωσοῦν τοῦ λογίζεσθαι εἴποι ἂν ἄπειρον εἶναι ᾧ ἐξ ἀϊδίου συνθεωρεῖταί τι ἢ συνεπιθεωρεῖται κατ' οὐσίαν διάφορον, εἰδὼς διαπεσεῖσθαι πάντως αὐτῷ τὸν περὶ τοῦ ἀπείρου λόγον οὕτω φρονοῦντι. Τὸ γὰρ ἄπειρον κατὰ πάντα καὶ λόγον καὶ τρόπον ἐστὶν ἄπειρον, κατ' οὐσίαν, κατὰ δύναμιν, κατ' ἐνέργειαν, κατ' ἄμφω τὰ πέρατα, τὸ ἄνω τε λέγω καὶ τὸ κάτω, τουτέστι κατὰ τὴν ἀρχὴν καὶ τὸ τέλος. Ἀχώρητον γὰρ κατὰ τὴν οὐσίαν, καὶ ἀπερινόητον κατὰ τὴν δύναμιν, καὶ κατὰ τὴν ἐνέργειαν ἀπερίγραφον, καὶ ἄναρχον ἄνωθεν, καὶ ἀτελεύτητον κάτωθέν ἐστι τὸ ἄπειρον, καὶ ἁπλῶς εἰπεῖν ἀληθέστερον, κατὰ πάντα ἀόριστον, ὡς οὐδενὸς τὸ παράπαν καθ' ἕνα τῶν ἀπηριθμημένων τρόπων συνεπινοηθῆναι αὐτῷ δυναμένου. Καθ' ὃν γὰρ ἂν εἴποιμεν λόγον ἢ τρόπον δύνασθαί τι ἕτερον αὐτῷ κατ' οὐσίαν διάφορον παραβάλλεσθαι, τὸν ὅλον τῆς ὅλης ἀπειρίας αὐτῷ συναφαιρούμεθα λόγον. Εἰ δὲ ἄπειρόν τι εἶναι οὐ δύναται ᾧ ἐξ ἀϊδίου συνυπάρχει ἕτερόν τι κατ' οὐσίαν διάφορον, ἄπειρον εἶναι οὐδαμῶς ἐνδέχεται δυάδα. Αἱ γὰρ κατ' αὐτὴν μονάδες ἀλλήλαις κατὰ παράθεσιν συνυπάρ-*

καὶ στὶς ὁποῖες ὡς μέρη τους μπορεῖ νὰ διαιρεθεῖ (κανένα ποὺ εἶναι διαιρετὸ ἢ ποὺ διαιρεῖται ἢ σύνθετο ἢ ποὺ συντίθεται κατὰ φύση ἢ θέση ἢ κατὰ κάποιο ἄλλο τρόπο ποὺ μπορεῖ νὰ ἐπινοηθεῖ, ἀλλ' οὔτε κι αὐτὴ ἡ λεγομένη ἁπλῶς διαίρεση ἢ σύνθεση, θὰ μπορέσει νὰ εἶναι κάτι ἄπειρο, ἂν ὄχι κι ἁπλὸ καὶ μόνο, ὄχι ἀριθμητὸ ἢ ποὺ ἀριθμεῖται ἢ ποὺ συναριθμεῖται, ἢ ἐλεύθερο γενικὰ ἀπὸ ὁποιαδήποτε σχέση· γιατὶ ὅλα αὐτὰ θεωροῦνται σὲ κάποια σχέση, ἐνῶ τὸ ἄπειρο εἶναι ἔξω ἀπὸ σχέση, γιατὶ δὲν ἔχει τίποτε δεμένο μαζί του κατὰ κάποια σχέση)· κατὰ διαίρεση, ἐπειδὴ κινεῖται μὲ ἀριθμό, ἀπὸ τὸν ὁποῖο ἔκανε ἀρχὴ καὶ ὁ ὁποῖος τὴν περιέχει, ἐπειδὴ δὲν ἔχει ἀπὸ τὴ φύση της ἄσχετο τὸ εἶναι της. Γιατὶ κάθε δυάδα καὶ κάθε μονάδα ποὺ ἀποτελεῖ μέρος της ἔχει τὴν ὕπαρξή της στὸν ἀριθμό, σύμφωνα μὲ τὸν ὁποῖο ἀπὸ τὶς μονάδες ποὺ τὴν ἀποτελοῦν ἀφαιρεῖται τὸ ἀπερίγραφο.

Κανένας ποὺ ἔχει στὴ μοίρα του σ' ἕνα βαθμὸ καὶ τὴ λογικὴ ἱκανότητα δὲ θὰ ἔλεγε ὅτι εἶναι ἄπειρο αὐτὸ στὸ ὁποῖο ἀπὸ πάντα συνθεωρεῖται ἢ συνεπιθεωρεῖται κάτι διάφορο κατὰ τὴν οὐσία, ἐπειδὴ γνωρίζει ὅτι ὁπωσδήποτε θὰ πέσει ὁ λόγος του γιὰ τὸ ἄπειρο, ἂν σκέφτεται ἔτσι. Γιατὶ τὸ ἄπειρο μὲ κάθε λόγο καὶ τρόπο εἶναι ἄπειρο κατὰ τὴν οὐσία, τὴ δύναμη, τὴν ἐνέργεια, κατὰ τὰ δύο πέρατά του, τὸ ἄνω καὶ τὸ κάτω, δηλαδὴ κατὰ τὴν ἀρχὴ καὶ τὸ τέλος. Γιατὶ τὸ ἄπειρο εἶναι ἀχώρητο κατὰ τὴν οὐσία του, ἀπερινόητο κατὰ τὴ δύναμή του, καὶ ἀπερίγραφο κατὰ τὴν ἐνέργεια, ἄναρχο ἀπὸ ἄνω καὶ ἀτελεύτητο πρὸς τὰ κάτω, καὶ γενικά, γιὰ νὰ μιλήσω ἀληθινότερα, εἶναι ἀόριστο καθ' ὅλα, ἐπειδὴ τίποτε ἀπολύτως δὲν μπορεῖ νὰ συνεπινοηθεῖ μαζί του σύμφωνα μὲ κάποιον ἀπὸ τοὺς τρόπους ποὺ ἀριθμήσαμε. Γιατὶ μὲ ὁποιο λόγο ἢ τρόπο κι ἂν ποῦμε ὅτι μπορεῖ ἕνα ἄλλο διάφορο στὴν οὐσία νὰ τεθεῖ κοντά του, ταυτόχρονα τοῦ ἀφαιροῦμε ὅλο τὸ λόγο ὅλης τῆς ἀπειρίας του. Κι ἂν δὲν μπορεῖ κάτι νὰ εἶναι ἄπειρο, στὸ ὁποῖο συνυπάρχει ἀπὸ πάντα κάτι διάφορο στὴν οὐσία, δὲν εἶναι ποτὲ δυνατὸ νὰ εἶναι ἡ δυάδα ἄπειρο. Γιατὶ οἱ μονάδες της, ἐπειδὴ συνυπάρχουν ἡ μία δίπλα

*χουσαι ἀλλήλας ὁρίζουσιν, οὐδετέρας τὴν ἑτέραν ἀορίστως ὁρᾶσθαι συγχωρούσης, παρακειμένην, ἀλλ' οὐχ ὑπερβαίνουσαν ἐχούσης, καὶ τὸν τῆς ἀπειρίας εἰκότως ἀλλήλων συναφαιροῦνται λόγον.*

*Εἰ δὲ ἄπειρον, ὡς δέδεικται, μὴ ἐνδέχεται εἶναι δυάδα, οὔτε ἄναρχον δηλονότι, ἀρχὴ γὰρ πάσης δυάδος μονάς· εἰ δὲ μὴ ἄναρχον οὐδὲ ἀκίνητον, κινεῖται γὰρ τῷ ἀριθμῷ ἐκ μονάδων κατ' ἕνωσιν, καὶ εἰς αὐτὰς κατὰ διαίρεσιν τὸ εἶναι λαμβάνουσα· εἰ δὲ μὴ ἀκίνητον, οὐδὲ ἄλλου τινὸς ἀρχὴν εἶναι. Τὸ γὰρ κινούμενον οὐκ ἀρχή, ἀλλ' ἐξ ἀρχῆς, δηλαδὴ τοῦ κινοῦντος. Μονὰς δὲ μόνη κυρίως ἀκίνητος, ὅτι μήτε ἀριθμός ἐστι, μήτε ἀριθμητὸν ἢ ἀριθμούμενον (οὔτε γὰρ μέρος ἢ ὅλον ἢ σχέσις ἐστὶν ἡ μονάς), καὶ κυρίως ἄναρχος, ὅτι μηδέτερον ἑαυτῆς ἔχει πρεσβύτερον, ἐξ οὗ κινουμένη δέχεται τὸ εἶναι μονάς, καὶ ἄπειρον κυρίως, ὅτι μηδὲν ἔχει συνυπάρχον ἢ συναριθμούμενον, καὶ ἀρχὴ κυρίως, ὅτι παντὸς καὶ ἀριθμοῦ καὶ ἀριθμουμένου καὶ ἀριθμητοῦ αἰτία τυγχάνει, ὡς πάσης σχέσεως καὶ παντὸς μέρους καὶ ὅλου ἐξῃρημένη, καὶ κυρίως καὶ ἀληθῶς, πρώτως τε καὶ μόνως καὶ ἁπλῶς, ἀλλ' οὔπως, πρώτη τε μονὰς ὑπάρχουσα καὶ μόνη. Καὶ τοῦτο λέγοντες οὐκ αὐτὴν ὡς ἔστι σημαίνομεν τὴν μακαρίαν θεότητα, ἀπείρως κατὰ πάντα καὶ λόγον καὶ τρόπον καὶ νῷ καὶ λόγῳ παντὶ καὶ ὀνόματι ἀπρόσιτον οὖσαν παντελῶς καὶ ἀπροσπέλαστον, ἀλλ' ἑαυτοῖς ὅρον τῆς εἰς αὐτὴν πίστεως παρέχομεν βάσιμον καὶ ἡμῖν ἐφικτόν τε καὶ πρόσφορον.*

*Οὐ γὰρ ὡς παραστατικὸν πάντως τοῦτο, φημὶ δὲ τὸ τῆς μονάδος ὄνομα, τῆς θείας καὶ μακαρίας οὐσίας ὁ θεῖος διαγορεύει ὁ λόγος, ἀλλ' ὡς ἐνδεικτικὸν τῆς παντελοῦς αὐτῆς ἁπλότητος τῆς ἐπέκεινα πάσης ποσότητός τε καὶ ποιότητος, καὶ τῆς οἱασδήποτε σχέσεως, ἵνα γνῶμεν ὅτι μὴ ὅλον τί ἐστιν ὡς ἐκ μερῶν τινων, μηδέ τι μερος ἐστὶν ἐξ ὅλου τινός. Ὑπεράνω γὰρ πάσης διαιρέσεώς τε καὶ συνθέσεως καὶ μέρους καὶ ὅλου ἡ θε-*

στὴν ἄλλη, ἀλληλοπεριορίζονται καὶ δὲν ἐπιτρέπει ἡ μία νὰ φαίνεται ὡς ἀόριστη ἡ ἄλλη, ποὺ εἶναι δίπλα της ἀλλὰ ποὺ δὲν τὴν ξεπερνᾶ, καὶ δικαιολογημένα ἀφαιρεῖ ἡ μία τὸ λόγο τῆς ἀπειρίας ἀπὸ τὴν ἄλλη.

Ἂν τώρα, ὅπως δείξαμε, δὲν εἶναι δυνατὸ νὰ εἶναι ἄπειρη ἡ δυάδα, δὲν εἶναι προφανῶς οὔτε ἄναρχη, γιατὶ κάθε δυάδα ἔχει ἀρχὴ τὴ μονάδα. Κι ἂν δὲν εἶναι ἄναρχη, δὲν εἶναι οὔτε ἀκίνητη, γιατὶ κινεῖται μὲ τὸν ἀριθμὸ ἀνάλογα μὲ τὴν ἕνωση τῶν μονάδων καὶ σ' αὐτὲς κατὰ διαίρεση ἔχει τὸ εἶναι της. Κι ἂν δὲν εἶναι ἀκίνητη, δὲν εἶναι βέβαια οὔτε κανενὸς ἄλλου ἀρχή. Τὸ κινούμενο δὲν εἶναι ἀρχὴ ἀλλὰ κινεῖται ἀπὸ κάποια ἀρχή, δηλαδὴ ἀπὸ αὐτὸ ποὺ τὸ κινεῖ. Μόνη ἡ μονάδα εἶναι κυρίως ἀκίνητη, γιατὶ οὔτε ἀριθμὸς εἶναι, οὔτε μπορεῖ ν' ἀριθμηθεῖ, οὔτε ἀριθμεῖται (γιατὶ οὔτε εἶναι ἡ μονάδα μέρος ἢ ὅλο ἢ σχέση)· καὶ μόνη κυρίως ἄναρχη, γιατὶ δὲν ἔχει κανένα πρεσβύτερο ἀπὸ τὸν ἑαυτό της, ἀπὸ τὸ ὁποῖο κινούμενη δέχεται τὸ νὰ εἶναι μονάδα· καὶ εἶναι ἄπειρη κυρίως, γιατὶ δὲν ἔχει τίποτε νὰ συνυπάρχει ἢ νὰ συναριθμεῖται μαζί της· καὶ εἶναι καὶ ἀρχὴ κυρίως, γιατὶ κάθε ἀριθμοῦ καὶ ἀριθμούμενου καὶ ἀριθμητοῦ τυχαίνει αἰτία, ἐπειδὴ εἶναι ἔξω ἀπὸ κάθε σχέση, κάθε μέρος καὶ κάθε ὅλο καὶ εἶναι κύρια κι ἀληθινὰ καὶ ἀρχικὰ καὶ μοναδικὰ καὶ ἁπλὰ κι ὄχι μὲ κάποιο τρόπο (πῶς) μονάδα πρώτη καὶ μόνη. Καὶ λέγοντάς το αὐτὸ δὲ φανερώνομε ὅπως εἶναι πραγματικὰ τὴν ἴδια τὴ μακάρια θεότητα, ποὺ εἶναι ἄπειρα ἀπρόσιτη κι ἀπροσπέλαστη μὲ κάθε τρόπο καὶ λόγο καὶ μὲ τὸ νοῦ καὶ μὲ κάθε λόγο καὶ ὄνομα, ἀλλὰ δίνομε στὸν ἑαυτό μας ἕναν ὁρισμὸ ἀπὸ πίστη βάσιμο, ἐφικτὸ σ' ἐμᾶς καὶ πρόσφορο.

Γιατὶ ὁ θεῖος Λόγος δὲν προβάλλει ὁπωσδήποτε τὸ ὄνομα τῆς μονάδας ὡς παραστατικὸ τῆς θείας καὶ μακάριας οὐσίας, ἀλλὰ ὡς ἐνδεικτικὸ τῆς πλήρους ἁπλότητάς της, τῆς πέρα ἀπὸ κάθε ποσότητα καὶ ποιότητα καὶ τὴν ὁποια σχέση, γιὰ νὰ ἐννοήσομε ὅτι δὲν εἶναι ἕνα ὅλο ποὺ ἀποτελεῖται ἀπὸ κάποια μέρη, οὔτε ἕνα μέρος ἀπὸ κάποιο ὅλο. Γιατὶ ἡ θεότητα εἶναι πάνω ἀπὸ κάθε διαίρεση καὶ σύνθεση καὶ μέρος καὶ ὅλο, ἐπει-

ότης, ὅτι ἄποσον, καὶ πάσης τῆς κατὰ θέσιν ὑπάρξεως καὶ τῆς πῶς εἶναι αὐτὴν ὁριζομένης ἐννοίας ἀπῳκισμένη, ὅτι ἄποιον, καὶ τῆς πρὸς ἄλλο πᾶν πάσης συναφείας τε καὶ οἰκειότητος ἐλευθέρα καὶ ἄφετος, ἄσχετον γάρ, τὸ πρὸ αὐτῆς ἢ μετ' αὐτῆς ἢ μετ' αὐτὴν οὐκ ἔχουσα, ὡς πάντων ἐπέκεινα, καὶ μηδενὶ τῶν ὄντων κατ' οὐδένα λόγον ἢ τρόπον συντεταγμένη.

Καὶ τοῦτο τυχὸν ἐννοήσας ὁ μέγας καὶ θεῖος Διονύσιός φησι· «Διὸ καὶ μονὰς ὑμνουμένη καὶ τριάς, ἡ ὑπὲρ πάντα θεότης, οὐκ ἔστιν οὔτε μονάς, οὔτε τριάς, ἢ πρὸς ἡμῶν ἢ ἄλλου τινὸς διεγνωσμένη, ἀλλ' ἵνα καὶ τὸ ὑπερηνωμένον αὐτῆς καὶ τὸ θεογόνον ἀληθῶς ὑμνήσωμεν, τῇ τριαδικῇ καὶ ἑνιαίᾳ θεωνυμίᾳ τὴν ὑπερώνυμον ὠνομάσαμεν, καὶ τοῖς οὖσι τὴν ὑπερούσιον». Οὐδαμῶς οὖν τις δυάδα ἢ πλῆθος ἄναρχον, ἢ ἀρχὴν τὸ σύνολόν τινος εἶναι λέγειν δυνήσεται, ζῆν εὐσεβῶς δι' ἀληθείας βεβουλημένος. Εἷς γὰρ διὰ πάσης τῆς κατὰ λόγον καὶ νοῦν θεωρητικῆς δυνάμεως καὶ ἐπιστήμης αὐτῷ Θεὸς ἀναφανήσεται, πάσης ἀπειρίας ὑπάρχων ἐπέκεινα, καὶ μηδενὶ καθόλου τῶν ὄντων καθ' ὁτιοῦν, πλὴν τοῦ διὰ πίστεως μόνον γινώσκεσθαι, καὶ τοῦτο ἐκ τῶν αὐτοῦ ποιημάτων ὅτι ἐστίν, οὐχ ὅτι ποτέ ἐστι διεγνωσμένος, καὶ παντὸς αἰῶνος καὶ χρόνου καὶ πάντων τῶν ἐν αἰῶνι καὶ χρόνῳ ποιητής τε καὶ δημιουργός, οὐδὲν τὸ παράπαν ἐξ ἀϊδίου καθ' ὀντιναοῦν τρόπον αὐτῷ συνεπινοῶν, εἰδὼς ὅτι μηδέτερον τῶν ἅμα κατὰ τὴν ὕπαρξιν ἀλλήλοις ἐξ ἀϊδίου συνόντων εἶναι δύναται τοῦ ἑτέρου ποιητικόν. Ἀσυλλόγιστον γὰρ τοῦτο παντάπασι καὶ ἀνέκδεκτον, καὶ τοῖς νοῦν ἔχουσι καταγέλαστον ἐπὶ τῶν ἐχόντων ἅμα τὸ εἶναι ποιεῖσθαι ἄλλο ἄλλου ποιητικόν. Ἀλλ' ἐκ Θεοῦ τοῦ ἀεὶ ὄντος τὰ πάντα ἐκ τοῦ μὴ ὄντος γενέσθαι παντελῶς τε καὶ ὁλικῶς, ἀλλ' οὐ μερικῶς τε καὶ ἀτελῶς, ὡς ἐξ αἰτίας ἀπειρογνώστου καὶ ἀπειροδυνάμου σο-

18. ΔΙΟΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ, *Περὶ θείων ὀνομάτων*, κεφ. 13 Φιλοκαλία 3, σ. 224–226.

δὴ εἶναι κάτι ἄποσο καὶ πέρα ἀπὸ κάθε θετικὴ ὕπαρξη καὶ κάθε ἔννοια ποὺ ὁρίζει ἕνα τρόπο ὕπαρξης (εἶναι πῶς), κι ἐπειδὴ εἶναι κάτι ἄποσο κι ἐλεύθερο καὶ ἀνεξάρτητο ἀπὸ κάθε συνάφεια καὶ οἰκειότητα, γιατὶ εἶναι κάτι ἄσχετο καὶ δὲν ἔχει τίποτε ἄλλο πρὶν ἀπὸ αὐτὴν ἢ μαζὶ μὲ αὐτὴν ἢ ἔπειτ' ἀπὸ αὐτήν, ἐπειδὴ εἶναι πέρα ἀπὸ ὅλα, καὶ μὲ κανένα ἀπὸ τὰ ὄντα δὲν εἶναι δεμένη μαζί του μὲ κανένα λόγο καὶ τρόπο.

Αὐτὸ ἴσως σκέφτηκε ὁ μεγάλος καὶ θεῖος Διονύσιος καὶ λέει· «γι' αὐτὸ ἂν καὶ ὑμνεῖται ὡς μονάδα καὶ ὡς τριάδα ἡ πάνω ἀπὸ ὅλα θεότητα, οὔτε μονάδα εἶναι οὔτε τριάδα, ὅπως τὴν ἔχομε ἐννοήσει ἐμεῖς ἢ κάποιος ἄλλος, ἀλλὰ γιὰ νὰ ὑμνήσομε ἀληθινὰ τὴν ἑνότητά της τὴν πάνω ἀπὸ καθε ἑνότητα καὶ τὴ θεογόνο δύναμή της ὀνομάσαμε τὴν πάνω ἀπὸ ὄνομα θεότητα μὲ τὸ θεῖο ὄνομα τῆς τριάδας καὶ τῆς μονάδας καὶ τὴν ὑπερούσια θεότητα μὲ τὸ ὄνομα τῶν ὄντων»[18]. Καθόλου λοιπὸν δὲν θὰ μπορέσει κανένας νὰ πεῖ ὅτι ἡ δυάδα ἢ τὸ πλῆθος εἶναι χωρὶς ἀρχὴ ἢ γενικὰ ὅτι εἶναι ἀρχὴ κάποιου, ἂν ἔχει ἀποφασίσει νὰ ζεῖ μὲ ἀληθινὴ εὐσέβεια. Γιατὶ θὰ τοῦ ἐμφανιστεῖ διαμέσου ὅλης τῆς λογικῆς καὶ διανοητικῆς θεωρητικῆς δύναμης καὶ ἐπιστήμης ἕνας Θεός, ποὺ εἶναι πέρα ἀπὸ κάθε ἀπειρία καὶ σὲ κανένα ἀπολύτως ἀπὸ τὰ ὄντα μὲ ὁποιοδήποτε τρόπο δὲ γίνεται γνωστός, παρὰ μόνο μὲ τὴν πίστη, καὶ αὐτὸ γίνεται γνωστὸ ἀπὸ τὰ δημιουργήματά του, ὅτι δηλαδὴ ὑπάρχει, ὄχι τί ἀκριβῶς εἶναι, καὶ κάθε αἰώνα καὶ κάθε χρόνου κι ὅλων ὅσα εἶναι μέσα στὴν αἰωνιότητα καὶ τὸ χρόνο εἶναι ποιητὴς καὶ δημιουργός, χωρὶς νὰ σκέφτεται ὅτι ὑπάρχει αἰώνια μαζί του τίποτε ἀπολύτως καὶ μὲ ὁποιοδήποτε τρόπο, ἐπειδὴ γνωρίζει ὅτι δὲν μπορεῖ κανένα ἀπὸ δύο ποὺ συνυπάρχουν καὶ εἶναι μαζὶ αἰώνια νὰ δημιουργήσει τὸ ἄλλο. Αὐτὸ δὲ στέκει στὴ λογικὴ μὲ κανένα τρόπο καὶ οὔτε γίνεται, καὶ εἶναι πολὺ γελοῖο γιὰ ὅσους ἔχουν νοῦ γι' αὐτὰ ποὺ ἔχουν τὸ εἶναι ἀπὸ κοινοῦ νὰ κάνουν τὸ ἕνα νὰ δημιουργεῖ τὸ ἄλλο. Ἀλλὰ πρέπει νὰ δεχθεῖ ὅτι ὅλα τὰ δημιούργησε ὁ Θεὸς ὁ αἰώνιος ἀπὸ τὸ μηδὲν τελειωμένα καὶ ὁλοκληρωτικά, ὄχι μερικὰ καὶ ἀτελείωτα, ἐπειδὴ δημιουργήθη-

*φῶς παρηγμένα, δέξηται, καὶ «ἐν αὐτῷ συνεστηκέναι τὰ πάντα, ὡς ἐν παντοκρατορικῷ πυθμένι φρουρούμενά τε καὶ διακρατούμενα, καὶ εἰς αὐτὸν τὰ πάντα ἐπιστρέφεσθαι, καθάπερ εἰς οἰκεῖον ἕκαστα πέρας», ὥς πού φησιν ὁ μέγας Ἀρεοπαγίτης Διονύσιος.*

### *Ξ'*

### *Θεωρία ἀποδεικτικὴ τοῦ εἶναι κατὰ φύσιν ἐπὶ πάντων τὴν τοῦ Θεοῦ πρόνοιαν.*

*Καὶ προνοητὴν αὐτὸν εἶναι πεισθήσεται τῶν ὄντων, δι' ὧν καὶ Θεός ἐστιν ἐδιδάχθη, δίκαιον εἶναι κρίνων καὶ εὔλογον, μὴ ἄλλον εἶναι φύλακα καὶ ἐπιμελητὴν τῶν ὄντων ἢ μόνον τὸν τῶν ὄντων δημιουργόν. Αὐτὴ γὰρ ἡ τῶν ὄντων διαμονὴ καὶ ἡ τάξις καὶ ἡ θέσις καὶ ἡ κίνησις, καὶ ἡ ἐν ἀλλήλοις τῶν ἄκρων διὰ τῶν μέσων συνοχή, μηδὲν κατὰ τὴν ἐναντιότητα λυμαινομένων ἀλλήλοις, ἥ τε τῶν μερῶν πρὸς τὰ ὅλα σύννευσις, καὶ τῶν ὅλων πρὸς τὰ μέρη δι' ὅλου ἕνωσις, καὶ αὐτῶν πρὸς ἄλληλα τῶν μερῶν ἡ ἄμικτος διάκρισις κατὰ τὴν ἰδιάζουσαν ἑκάστου διαφοράν, καὶ ἀσύγχυτος ἕνωσις κατὰ τὴν ἀπαράλλακτον ἐν ὅλοις ταυτότητα, καὶ ἡ πάντων πρὸς πάντα, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγω, σύγκρισίς τε καὶ διάκρισις, καὶ ἡ πάντων καὶ ἑκάστου κατ' εἶδος διαδοχὴ ἀεὶ φυλαττομένη, μηδενὸς τὸ παράπαν τοῦ οἰκείου τῆς φύσεως λόγου παραφθειρομένου καὶ πρὸς ἄλλο συγχεομένου τε καὶ συγχέοντος, δείκνυσι σαφῶς τὰ πάντα τῇ προνοίᾳ συνέχεσθαι τοῦ πεποιηκότος Θεοῦ. Οὐ γὰρ οἷόν τέ ἐστιν ἀγαθὸν ὄντα τὸν Θεὸν μὴ καὶ εὐεργετικὸν πάντως εἶναι, μηδὲ εὐεργετικὸν ὄντα μὴ καὶ προνοητικὸν πάντως εἶναι, καὶ διὰ τοῦτο τῶν ὄντων θεοπρεπῶς ἐπιμελούμενον σοφῶς αὐτοῖς ὥσπερ τὸ εἶναι καὶ τὴν κηδεμονίαν χαρίζεσθαι. Πρόνοια γάρ ἐστι, κατὰ τοὺς θεοφόρους Πατέρας, ἡ ἐκ Θεοῦ εἰς τὰ ὄντα γινομένη ἐπιμέλεια. Ὁρίζονται δὲ αὐτὴν καὶ οὕτως, Πρόνοιά ἐστι βούλησις Θεοῦ, δι' ἣν πάντα τὰ ὄντα τὴν πρόσφορον διεξαγω-*

19. ΔΙΟΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ, *Περὶ θείων ὀνομάτων*, 4, Φιλοκαλία 3, σ. 98.

καν σοφὰ ἀπὸ αἰτία μὲ ἄπειρη γνώση καὶ ἄπειρη δύναμη καὶ «σ' αὐτὸν ὑπἄρχουν τὰ πάντα καὶ φρουροῦνται σ' αὐτὸν καὶ συντηροῦνται σὰν σὲ πυθμένα ποὺ συγκρατεῖ τὰ πἄντα, καὶ σ' αὐτὸν κατευθύνονται τὰ πἄντα», σὰν στὸ δικό του πέρας τὸ καθένα, ὅπως λέει κάπου ὁ μέγας Διονύσιος ὁ 'Αρεοπαγίτης[19].

## 60

### Θεωρία ποὺ ἀποδεικνύει ὅτι ἡ πρόνοια τοῦ Θεοῦ ἁπλώνεται κατὰ φύση σὲ ὅλα.

Θὰ πεισθεῖ ἀκόμα πὼς εἶναι προνοητὴς τῶν ὄντων, ἀπὸ τὰ ὁποῖα διδἄχθηκε πὼς εἶναι καὶ Θεός, κρίνοντας δίκαιο καὶ εὔλογο νὰ μὴν εἶναι ἄλλος φύλακας καὶ ἐπιμελητὴς τῶν ὄντων, παρἄ μόνο ὁ δημιουργὸς τῶν ὄντων. Γιατὶ αὐτὴ ἀκριβῶς ἡ παραμονὴ καὶ ἡ τάξη καὶ ἡ θέση καὶ ἡ κίνηση καὶ ἡ συνοχὴ τῶν ἄκρων ἀπὸ τὰ ἐνδιάμεσα, ποὺ δὲν προκαλεῖ καμμιὰ βλάβη τὸ ἕνα στὸ ἄλλο ἀπὸ ἐναντιότητα, καὶ ἡ συναίνεση τῶν μερῶν πρὸς τἄ σύνολα, καὶ ἡ ὁλικὴ ἕνωση τῶν συνόλων μὲ τὰ μέρη, καὶ τῶν ἴδιων τῶν μερῶν ἡ καθαρὴ διάκριση σύμφωνα μὲ τὴν ἰδιάζουσα στὸ καθένα διαφορά, καὶ ἡ ἀσύγχυτη ἕνωση σύμφωνα μὲ τὴν ἀμετάβλητη σὲ ὅλα ταυτότητά τους, καὶ γιὰ νὰ νὰ μιλῶ γιὰ τὸ καθένα χωριστά, ἡ σύγκριση καὶ ἡ διάκριση ὅλων πρὸς ὅλα καὶ ἡ διαδοχὴ ὅλων καὶ καθενὸς κατὰ εἶδος ποὺ φυλάγεται πάντα χωρὶς καθόλου νὰ παραφθείρεται ὁ οἰκεῖος λόγος τῆς φύσης καθενὸς καὶ νὰ συγχέεται καὶ νὰ συγχέει πρὸς ἕνα ἄλλο, δείχνουν ὁλοκάθαρα ὅτι τὰ πάντα τὰ συγκρατεῖ ὁ Θεὸς ποὺ τὰ δημιούργησε. Γιατὶ δὲν εἶναι δυνατό, ἀφοῦ ὁ Θεὸς εἶναι ἀγαθός, νὰ μὴν εἶναι ὁπωσδήποτε καὶ εὐεργετικός, καὶ πάλι ἐνῶ εἶναι εὐεργετικὸς νὰ μὴν εἶναι ὁπωσδήποτε καὶ προνοητικός, καὶ γι' αὐτό, ἀφοῦ φροντίζει σοφὰ ὅπως ἁρμόζει στὸ Θεὸ τὰ ὄντα, νὰ μὴ χαρίζει σ' αὐτὰ ὅπως τὸ εἶναι τους καὶ τὴν κηδεμονία του. Γιατὶ πρόνοια κατὰ τοὺς θεοφόρους πατέρες εἶναι ἡ φροντίδα τοῦ Θεοῦ γιὰ τὰ ὄντα, καὶ τὴν ὁρίζουν ὡς ἑξῆς· 'Πρόνοια εἶναι ἡ βούληση τοῦ Θεοῦ ποὺ χάρη σ' αὐτὴν ὅλα τὰ ὄντα παίρνουν τὴν πρόσφορη πορεία τους'. Κι ἂν εἶναι θέληση

*γὴν λαμβάνει. Εἰ δὲ Θεοῦ βούλησίς ἐστιν, ἵνα αὐτοῖς τῶν διδασκάλων χρήσωμαι τοῖς λόγοις, πᾶσα ἀνάγκη κατὰ τὸν ὀρθὸν λόγον γίνεσθαι τὰ γινόμενα, τὴν κρείττω μὴ ἐπιδεχόμενα τάξιν, αὐτὸν οὖν εἶναι προνοητὴν ἐκ παντὸς τρόπου εἰπεῖν ἐναχθήσεται ὁ τὴν ἀλήθειαν ὁδηγὸν ἔχειν ἑλόμενος, ὃν καὶ ποιητὴν ἔγνω τῶν ὄντων ἀληθῶς, ἢ τοῦ πεποιηκότος τὰ ὄντα, εἴπερ κἀν τοῖς ζῴοις, ὅταν ταῖς κατὰ λόγον ἐφόδοις τοῖς οὖσιν ἐμβαλόντες ἡμῶν τὸ νοερὸν εὑρίσκομεν ἔμφασιν, οὐκ ἀγενῶς τὰ ὑπὲρ λόγον εἰκάζουσαν.*

*Ἐκεῖνά τε γὰρ ὁρῶντες κατὰ γένος τῶν ἐξ αὐτῶν φυσικῶς ἐπιμελούμενα, θαρροῦντες καὶ ἡμεῖς τὸν περὶ τοῦ προνοητὴν μονώτατον εἶναι τὸν Θεὸν πάντων τῶν ὄντων μετ' εὐσεβοῦς παρρησίας εὐσεβῶς ἑαυτοῖς λόγον διοριζόμεθα, καὶ οὐ τῶν μέν, τῶν δὲ οὔ, καθάπερ τινὲς τῶν τὰ ἔξω φιλοσοφησάντων, ἀλλὰ πάντων ὁμοῦ, κατὰ μίαν τῆς ἀγαθότητος καὶ ἀπαράλλακτον βούλησιν, τῶν τε καθόλου καὶ τῶν καθ' ἕκαστον, εἰδότες ὡς τῶν κατὰ μέρος πάντων τῷ μὴ προνοίας τυγχάνειν καὶ φυλακῆς τῆς πρεπούσης διαφθειρομένων καὶ τὰ καθόλου συνδιαφθαρήσεται (ἐκ γὰρ τῶν κατὰ μέρος τὰ καθόλου συνίστασθαι πέφυκε), τὴν περὶ τούτου λογικὴν ἀπόδειξιν, διὰ τῆς εὐλόγου ἀντιστροφῆς πρὸς τὴν ἀλήθειαν ὀρθῶς ποδηγοῦσαν, ἑαυτοῖς προβαλλόμενοι. Εἰ γὰρ τὰ καθόλου ἐν τοῖς κατὰ μέρος ὑφέστηκεν, οὐδαμῶς τὸ παράπαν τὸν τοῦ καθ' αὐτὰ εἶναί τε καὶ ὑφεστάναι λόγον ἐπιδεχόμενα τῶν κατὰ μέρος διαφθειρομένων, παντί που δῆλόν ἐστιν ὡς οὐδὲ τὰ καθόλου στήσεται. Τὰ μέρη γὰρ ἐν ταῖς ὁλότησι, καὶ αἱ ὁλότητες ἐν τοῖς μέρεσι καὶ εἰσὶ καὶ ὑφεστήκασι. Καὶ οὐδεὶς ἀντερεῖ λόγος· πλὴν ὅτι ὑπὸ τῆς ἀληθείας ὥσπερ δεσμούμενοι ἄκοντες καὶ αὐτοὶ τῆς προνοίας τὴν δύναμιν ἐξαγγέλλουσι καὶ διὰ πάντων διήκειν κατασκευάζουσι δι' ὧν αὐτοῖς κατεσπούδασαν. Λέγοντες γὰρ ὑπὸ τῆς προνοίας ἄγεσθαι μόνα τὰ καθόλου, λελήθασιν ἑαυτοὺς καὶ τῶν κατὰ μέρος εἶναι πρόνοιαν λέγοντες, ἐξ ἀνάγκης πρὸς τὴν ἀλήθειαν, ἣν φεύγειν σπουδάζουσιν, ὑπαγόμενοι. Εἰ γὰρ χάριν διαμονῆς τὰ κα-*

τοῦ Θεοῦ, γιὰ νὰ χρησιμοποιήσω τὰ ἴδια τὰ λόγια τῶν δασκάλων, εἶναι ἀπολυτη ἀνάγκη νὰ γίνονται ὑποχρεωτικὰ ὅσα γίνονται κατὰ τὸν ὀρθὸ λόγο καὶ νὰ μὴν ἐπιδέχονται καλύτερη διεξαγωγή, καὶ ὅποιος διάλεξε νὰ ἔχει ὁδηγό του τὴν ἀλήθεια, θὰ ὁδηγηθεῖ μὲ κάθε τρόπο νὰ πεῖ ὅτι εἶναι καὶ προνοητὴς αὐτὸς ἴδιος ποὺ τὸν γνώρισε ἀληθινὰ καὶ ποιητὴ τῶν ὄντων ἢ ὅτι τὰ ὄντα εἶναι ἔργα τοῦ δημιουργοῦ, ἐφόσον βέβαια ἀκόμα καὶ στὰ ζῶα μὲ τὶς λογικὲς ἐφόδους τοῦ νοῦ μας στὰ ὄντα βρίσκομε εἰκόνα ποὺ ἀπεικονίζει ὄχι ἄσχημα τὰ πάνω ἀπὸ τὸ λόγο.

Ὅταν δηλαδὴ βλέπομε κι ἐκεῖνα νὰ φροντίζουν φυσικὰ κατὰ γένος τὰ μικρά τους, τολμοῦμε νὰ διατυπώσομε κι ἐμεῖς εὐσεβῶς τὸ λόγο μ' εὐσεβὴ παρρησία ὅτι ὁ μοναδικὸς προνοητὴς ὅλων τῶν ὄντων εἶναι ὁ Θεός. Καὶ δὲν εἶναι προνοητὴς κάποιων ὄντων, ἐνῶ ἄλλων δὲν εἶναι, ὅπως λένε μερικοὶ ἀπὸ τοὺς μὴ Χριστιανοὺς φιλοσόφους, ἀλλὰ ὅλων τῶν ὄντων μαζί, μὲ μία καὶ ἀπαράλλαχτη βούληση τῆς ἀγαθότητάς του, ὅλων γενικὰ καὶ καθενὸς χωριστά, καί, γνωρίζοντας ὅτι ὅλα τὰ ἐπιμέρους καταστρέφονται ἂν δὲν ἔχουν τὴν πρέπουσα πρόνοια καὶ διαφυλαξη καὶ μαζί τους θὰ καταστραφοῦν καὶ τὰ καθόλου (γιατὶ τὰ καθόλου συνίστανται ἀπὸ τὰ μερικὰ) πρόβαλλαν στὸν ἑαυτό τους τὴ λογικὴ ἀπόδειξη γι' αὐτὸ ποὺ μὲ τὴν εὔλογη ἀντιστροφὴ ὁδηγοῦσε ὀρθὰ πρὸς τὴν ἀλήθεια. Ἂν δηλαδὴ τὰ καθόλου ὑπάρχουν στὰ μερικά, χωρὶς καθόλου καὶ μὲ κανέναν τρόπο νὰ δέχονται τὸ λόγο νὰ εἶναι καὶ νὰ ὑπάρχουν καθεαυτά, ὅταν τὰ μερικὰ φθείρονται, εἶναι φανερὸ στὸν καθένα ὅτι οὔτε τὰ καθόλου θὰ σταθοῦν. Γιατὶ τὰ μέρη εἶναι καὶ ὑπάρχουν στὶς ὁλότητες καὶ οἱ ὁλότητες στὰ μέρη. Καὶ κανένας λόγος ἀντίθετος δὲ θὰ σταθεῖ, παρὰ μόνο ὅτι κι αὐτοὶ σὰν δεσμῶτες τῆς ἀλήθειας, χωρὶς νὰ θέλουν κι αὐτοὶ ἐξαγγέλλουν τὴ δύναμη τῆς πρόνοιας κι ἀποδεικνύουν ὅτι περνᾶ διὰ μέσου ὅλων μὲ ὅσα ἐναντίον τοῦ ἑαυτοῦ τους βιάστηκαν νὰ ποῦν. Ὅταν δηλαδὴ λένε ὅτι ἡ πρόνοια κυβερνᾶ μόνο τὰ καθόλου, ξεχνοῦν ὅτι λένε πὼς ὑπάρχει πρόνοια καὶ τῶν ἐπιμέρους, ὑποτασσόμενοι στὴν ἀνάγκη τῆς ἀλήθειας ποὺ προσπαθοῦν ν' ἀποφύγουν. Ἂν δηλαδὴ ἰσχυρίζο-

*θόλου προνοίας ἀξιοῦσθαί φασι, ταύτης πολλῷ πρότερον ἀξιοῦσθαι τὰ κατὰ μέρος εἰσάγουσιν, ἐν οἷς ἡ τῶν καθόλου διαμονὴ καὶ ὑπόστασις. Συνεισάγεται γὰρ ἀλλήλοις ταῦτα διὰ τὴν κατὰ φύσιν ἀδιάλυτον πρὸς ἀλλήλοις σχέσιν, καὶ θατέρου πρὸς διαμονὴν συντηρουμένου, μηδὲ τὸ ἕτερον ταύτης εἶναι τῆς φυλακῆς ἀλλότριον, καὶ ἑνὸς πάλιν τῆς πρὸς διαμονὴν φυλακῆς διαπίπτοντες μηδὲ τὸ ἄλλο ταύτης τυγχάνειν λέγει ἀκόλουθον.*

*Ἄλλως τε δὲ κατὰ τρεῖς τρόπους τὸ μὴ πάντων τῶν ὄντων προνοεῖν τὸν Θεὸν λέγεται. Ἢ γὰρ ἀγνοεῖν αὐτὸν λέγουσι τῆς προνοίας τὴν μέθοδον, ἢ μὴ βούλεσθαι, ἢ μὴ δύνασθαι. Ἀλλὰ μὴν κατὰ τὰς κοινὰς πάντων ἐννοίας ἀγαθὸς ὢν καὶ ὑπεράγαθος ὁ Θεὸς ἀεὶ πάντως τὰ καλὰ βούλεται καὶ πᾶσι, καὶ σοφὸς ὑπάρχων καὶ ὑπέρσοφος, μᾶλλον δὲ πάσης σοφίας πηγή, γινώσκει πάντως τὰ συμφέροντα, καὶ δυνατὸς ὤν, μᾶλλον δὲ ἀπειροδύναμος, ἐνεργεῖ πάντως θεοπρεπῶς ἐν πᾶσι τὰ ἐγνωσμένα αὐτῷ καὶ βεβουλημένα καλῶς καὶ συμφέροντα, ὡς ἀγαθὸς καὶ σοφὸς καὶ δυνατός, διικνούμενος διὰ πάντων τῶν τε ὁρατῶν καὶ τῶν ἀοράτων, καὶ τῶν καθόλου καὶ τῶν μερικῶν, καὶ τῶν μικρῶν καὶ τῶν μεγάλων, καὶ παντων τῶν κατὰ πᾶσαν τὴν οἱανοῦν οὐσίαν τὸ εἶναι ἐχόντων, μηδὲν ὑφιεὶς τῆς κατὰ τὴν ἀγαθότητα καὶ τὴν σοφίαν καὶ τὴν δύναμιν ἀπειρίας, καὶ πάντα κατὰ τὸν ἑκάστων τοῦ εἶναι λόγον πρός τε ἑαυτὰ καὶ ἄλληλα κατὰ τὴν ἀδιάλυτον πάντων σχετικὴν ἁρμονίαν τε καὶ διαμονὴν συντηρῶν.*

*Τί δέ, αὐτὴν καθ' ἑαυτὴν οὐ κατανοοῦμεν τὴν φύσιν περὶ τοῦ εἶναι τὴν ἐπὶ πάντα τοῦ Θεοῦ πρόνοιαν σαφῶς οὖσαν διδάσκαλον; Τεκμήριον γὰρ οὐ μικρὸν τοῦ φυσικῶς ἡμῖν ἐνεσπάρθαι τὴν τῆς προνοίας γνῶσιν ἡ φύσις αὐτὴ δίδωσιν, ὁπηνίκα ἂν ἡμᾶς ἀδιδάκτως ὥσπερ ὠθοῦσα πρὸς τὸν Θεὸν διὰ τῶν εὐχῶν ἐν ταῖς ἐξαίφνης περιστάσεσιν ἐκεῖθεν ζητεῖν τὴν σωτηρίαν παρασκευάζει. Ὑπ' ἀνάγκης γὰρ ἄφνω συλληφθέντες ἀπροαιρέτως, πρίν τινα καὶ σκέψασθαι, τὸν Θεὸν ἐπιβοώμεθα, ὡς ἂν*

20. Σχετικὸ τὸ γνωστὸ ὡς τρίλημα τοῦ γερμανοῦ φιλόσοφου Leibniz γιὰ τὸ ὅτι ὁ κόσμος εἶναι ἄριστος.

νται ὅτι γιὰ χάρη τῆς διατήρησής τους τὰ καθόλου ἀξίζουν τὴν πρόνοια, διδάσκουν ὅτι πολὺ περισσότερο τὴν ἀξίζουν τὰ ἐπιμέρους, στὰ ὁποῖα ὑπάρχει ἡ διατήρηση καὶ ἡ ὑπόσταση τῶν καθόλου. Γιατὶ συνεισάγονται αὐτὰ τὸ ἕνα μαζὶ μὲ τὸ ἄλλο ἐξαιτίας τῆς φυσικῆς ἀδιάλυτης σχέσης μεταξύ τους κι ὅταν τὸ ἕνα φυλάγεται γιὰ νὰ διατηρηθεῖ, οὔτε τὸ ἄλλο εἶναι ἄσχετο ἀπὸ τὴ φύλαξη αὐτή, κι ὅταν πάλι τὸ ἕνα χάνει αὐτὴ τὴ φύλαξη γιὰ τὴ διατήρησή του, εἶναι ἀνακόλουθο νὰ λέμε ὅτι οὔτε τὸ ἄλλο τὴν ἔχει.

Ἐξάλλου κατὰ τρεῖς τρόπους λέγεται ὅτι ὁ Θεὸς δὲν προνοεῖ γιὰ ὅλα τὰ ὄντα. Ἢ ἀγνοεῖ, λένε, τὴ μέθοδο τῆς πρόνοιας ἢ δὲ θέλει ἢ δὲν μπορεῖ[20]. Ἀλλὰ ὡστόσο σύμφωνα μὲ τὴν κοινὴ ἀντίληψη ὅλων, ἀφοῦ ὁ Θεὸς εἶναι ἀγαθὸς καὶ ὑπεράγαθος θέλει ὁπωσδήποτε πάντοτε τὰ καλὰ γιὰ ὅλους· κι ἀφοῦ εἶναι σοφὸς καὶ ὑπέρσοφος, ἢ καλύτερα πηγὴ κάθε σοφίας, γνωρίζει ὁπωσδήποτε τὰ ὠφέλιμα· κι ἀφοῦ εἶναι δυνατός, ἢ καλύτερα ἀπειροδύναμος, ἐνεργεῖ μὲ κάθε τρόπο σὲ ὅλα θεοπρεπῶς, ὅλα ὅσα γνωρίζει καὶ θέλει καλὰ καὶ ὠφέλιμα, ὡς ἀγαθὸς καὶ σοφὸς καὶ δυνατός, περνώντας ἀνάμεσα ἀπὸ ὅλα ὁρατὰ κι ἀόρατα, τὰ καθόλου καὶ τὰ μερικά, τὰ μικρὰ καὶ τὰ μεγάλα, κι ἀπὸ ὅλα γενικὰ ποὺ ἔχουν τὸ κατὰ ὁποιαδήποτε οὐσία εἶναι τους, χωρὶς νὰ μειώνεται καθόλου ἡ ἀπειρία του ὡς πρὸς τὴν ἀγαθότητα καὶ τὴ σοφία καὶ τὴ δύναμη, καὶ συντηρώντας τὰ πάντα σύμφωνα μὲ τὸ λόγο τοῦ εἶναι καθενὸς σὲ σχέση μὲ τὸν ἑαυτό τους καὶ μεταξύ τους σὲ μιὰ ἀδιάλυτη ἁρμονικὴ σχέση ὅλων καὶ διατήρηση.

Ἀλλὰ τί; Δὲν κατανοοῦμε αὐτὴν καθ' ἑαυτὴ τὴ φύση ποὺ διδάσκει μὲ σαφήνεια ὅτι ἡ πρόνοια τοῦ Θεοῦ ἁπλώνεται σὲ ὅλα; Ὄχι μικρὴ ἀπόδειξη γιὰ τὸ ὅτι ἔχει ἐνσπαρεῖ φυσικὰ μέσα μας ἡ γνώση τῆς πρόνοιας μᾶς δίνει ἡ ἴδια ἡ φύση, κάθε φορὰ ποὺ χωρὶς προηγούμενη διδασκαλία, σὰ νὰ μᾶς ὠθεῖ πρὸς τὸ Θεό, καὶ μᾶς κάνει μὲ τὶς προσευχές μας στὶς ἀπρόοπτες περιστάσεις νὰ ζητοῦμε ἀπὸ ἐκεῖ τὴ σωτηρία μας. Πιασμένοι δηλαδὴ ξαφνικὰ ἀπὸ τὴν ἀνάγκη χωρὶς νὰ θέλομε, προτοῦ σκε-

*τῆς προνοίας αὐτῆς πρὸς ἑαυτὴν καὶ λογισμῶν χωρὶς ἑλκούσης ἡμᾶς, καὶ τὸ τάχος τῆς ἐν ἡμῖν νοερᾶς νικώσης δυνάμεως, καὶ πάντων ἰσχυροτέραν τὴν θείαν προδεικνυούσης βοήθειαν. Οὐκ ἂν δὲ ἡμᾶς ἦγεν ἀπροαιρέτως ἡ φύσις ἐπὶ τὸ μὴ φύσιν ἔχον γίνεσθαι. Πᾶν δὲ τὸ ὁτῳοῦν φυσικῶς ἑπόμενον, ὡς πᾶσιν ἄδηλον, ἰσχυρὰν ἔχει καὶ ἀκαταμάχητον κατὰ τὴν ἀπόδειξιν τῆς ἀληθείας τὴν δύναμιν. Εἰ δὲ ὅτι ἀκατάληπτος ἡμῖν τῆς τῶν κατὰ μέρος προνοίας ὁ λόγος, ὥσπερ οὖν καὶ ἔστι καὶ τό, «ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι οἱ ὁδοὶ αὐτοῦ», διὰ τοῦτο φαῖεν μηδὲ πρόνοιαν εἶναι, οὐκ ὀρθῶς ἐροῦσι κατὰ τὸν ἐμὸν λόγον.*

*Εἰ γὰρ πολλή τίς ἐστιν ἡ διαφορὰ καὶ ἀκατάληπτος τῶν ἀνθρώπων ἑκάστου πρὸς ἕκαστον καὶ ἡ πρὸς ἑαυτὸν ἑκάστου ἐναλλαγή, ἔν τε βίοις καὶ ἤθεσι καὶ γνώμαις καὶ προαιρέσεσι καὶ ἐπιθυμίαις, ἐπιστήμαις τε καὶ χρείαις καὶ ἐπιτηδεύμασι καὶ αὐτοῖς τοῖς κατὰ ψυχὴν λογισμοῖς ἀπείροις οὖσι σχεδόν, καὶ πᾶσι τοῖς καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἐπισυμβαίνουσι συμμεταβαλλομένου (ἀγχίστροφον γὰρ τοῦτο τὸ ζῷον ὁ ἄνθρωπος, ὀξέως τοῖς καιροῖς καὶ ταῖς χρείαις συμμεταβαλλόμενον), ἀνάγκη πᾶσα καὶ τὴν πρόνοιαν, προγνωστικῶς πάντα συνειληφυῖαν κατὰ περιγραφὴν τὰ καθ' ἕκαστα, διάφορόν τε καὶ ποικίλην φαίνεσθαι καὶ πολυσχιδῆ, καὶ τῇ τῶν πεπληθυσμένων ἀκαταληψίᾳ συνεκτεινομένην ἑκάστῳ προσφόρως καθ' ἕκαστον καὶ πρᾶγμα καὶ νόημα, μέχρι καὶ τῶν ψιλῶν κινημάτων τῶν κατὰ ψυχὴν καὶ σῶμα συνισταμένων, ἁρμόζεσθαι.*

*Εἰ οὖν τῶν κατὰ μέρος ἀκατάληπτός ἐστιν ἡ διαφορά, καὶ τῆς ἁρμοζούσης αὐτοῖς εἰκότως προνοίας ἄπειρος ὁ λόγος, ἀλλ' οὐκ, ἐπειδὴ ἄπειρός τε καὶ ἄγνωστος ἡμῖν τῆς τῶν κατὰ μέρος προνοίας ὁ λόγος τυγχάνει, τὴν ἰδίαν ἄγνοιαν ἀναίρεσιν ποιεῖσθαι τῆς πανσόφου τῶν ὄντων κηδεμονίας ὀφείλομεν, πάντα δὲ ἁπλῶς καὶ ἀνεξετάστως, θεοπρεπῶς τε καὶ συμφερόντως, τὰ*

21. Ρωμ. 11,33.

φτοῦμε κανένα ἄλλο, ἐπικαλούμαστε τὸ Θεό, ὡσὰν ἡ ἴδια ἡ πρόνοια νὰ μᾶς ἕλκει κοντά της χωρὶς σκέψη μας, νικώντας καὶ τὴν ταχύτητα τῆς κινητικῆς νοητικῆς δύναμής μας καὶ δείχνοντας ἀπὸ πρὶν ὅτι ἡ θεία βοήθεια εἶναι ἰσχυρότερη ἀπὸ ὅλα. Καὶ ἀσφαλῶς ἡ φύση μας δὲ θὰ μᾶς ὁδηγοῦσε χωρὶς νὰ τὸ θέλομε σ' αὐτὸ ποὺ δὲν ἔχει φύση. Καὶ κάθετι ποὺ ἀκολουθεῖ φυσικὰ ἕνα ὁποιοδήποτε, ἐπειδὴ εἶναι ἄδηλο σὲ ὅλους, ἔχει ἰσχυρὴ καὶ ἀκαταμάχητη δύναμη γιὰ τὴν ἀπόδειξη τῆς ἀλήθειας. Ἂν ὅμως, ἐπειδὴ εἶναι ἀκατάληπτος σ' ἐμᾶς ὁ λόγος τῆς πρόνοιας γιὰ τὰ ἐπὶ μέρους, ὅπως καὶ εἶναι σύμφωνα μὲ τό, «πόσο ἀνεξερεύνητα εἶναι τὰ κρίματά του καὶ ἀνεξιχνίαστοι οἱ δρόμοι του»[21], καὶ γι' αὐτὸ λένε πὼς οὔτε πρόνοια ὑπάρχει, δὲ θὰ μιλήσουν σωστὰ κατὰ τὴ γνώμη μου.

Γιατί, ἂν ἡ διαφορὰ τῶν ἀνθρώπων εἶναι μεγάλη τοῦ καθενὸς ἀπὸ τὸν ἄλλο καὶ ἡ παραλλαγὴ τοῦ καθενὸς πρὸς τὸν ἑαυτό του στοὺς βίους, στὰ ἤθη, στὶς γνῶμες, στὶς προαιρέσεις, στὶς ἐπιθυμίες, στὶς ἐπιστῆμες, στὶς ἀνάγκες, στὶς ἀσχολίες καὶ σ' αὐτοὺς τοὺς λογισμοὺς τῆς ψυχῆς μας ποὺ εἶναι σχεδὸν ἄπειροι, καὶ καθὼς συμμεταβάλλεται μὲ ὅλα ὅσα κάθε ὥρα καὶ μέρα συμβαίνουν (γιατὶ αὐτὸ τὸ ζῶο, ὁ ἄνθρωπος, εἶναι εὐμετάβολο καὶ ἀμέσως συμμεταβάλλεται ὅταν μεταβάλλονται οἱ καιροὶ καὶ οἱ περιστάσεις), εἶναι ἀπόλυτη ἀνάγκη καὶ ἡ πρόνοια, ποὺ προγνωρίζοντας ἔχει συλλάβει περιληπτικῶς τὰ καθέκαστα, νὰ φαίνεται διαφορετικὴ καὶ ποικίλη καὶ πολλαπλή, καὶ ποὺ συνεπεκτεινόμενη ἀπὸ τὴν ἀκαταληψία ἐκείνων ποὺ ἀποτελοῦν μεγάλο πλῆθος, προσαρμόζεται πρόσφορα στὸ καθένα, σὲ καθε πράγμα καὶ νόημα, μέχρι καὶ τὰ ἐλαφρὰ κινήματα ποὺ συμβαίνουν στὴν ψυχὴ καὶ τὸ σῶμα.

Ἂν λοιπὸν εἶναι ἀκατανόητη ἡ διαφορὰ τῶν ἐπὶ μέρους καὶ ἄπειρος δικαιολογημένα ὁ λόγος τῆς πρόνοιας ποὺ ἁρμόζει σ' αὐτά, ἀλλ' ὅμως, ἐπειδὴ τυχαίνει ἄπειρος καὶ ἄγνωστος σ' ἐμᾶς ὁ λόγος τῆς πρόνοιας τῶν ἐπὶ μέρους, δὲν πρέπει νὰ μεταβάλλομε τὴν ἄγνοιά μας σὲ ἀναίρεση τῆς πάνσοφης κηδεμονίας τῶν ὄντων, ἀλλ' ὀφείλομε ἁπλὰ καὶ ἀνεξέταστα καὶ ὅπως ἁρμό-

*τῆς προνοίας ἐφυμνεῖν ἔργα καὶ ἀποδέχεσθαι, καὶ καλῶς γίνεσθαι τὰ γινόμενα πιστεύειν, κἂν ἡμῖν ὁ λόγος ἐστὶν ἀνέφικτος. Πάντα δὲ λέγων τὰ τῆς προνοίας φημί, οὐ γὰρ τὰ κακῶς ὑφ' ἡμῶν κατὰ τὸν τοῦ ἐφ' ἡμῖν λόγον γινόμενα· ταῦτα γὰρ τοῦ κατὰ τὴν πρόνοιαν λόγου παντελῶς ἀλλότρια. Τὸν μὲν οὖν σημαινόμενον τρόπον περὶ τῆς τῶν ἁγίων κατὰ τὸν λόγον καὶ τὴν θεωρίαν δυνάμεώς τε καὶ χάριτος ὑπὸ τοῦ μεγάλου τούτου διδασκάλου κατὰ τὸ δυνατὸν στοχαστικῶς, ἀλλ' οὐκ ἀποφαντικῶς (πολλῷ γὰρ ἀπολείπεται τῷ μέτρῳ τῆς κατ' αὐτὸν ἀληθείας ὁ ἡμέτερος νοῦς), διὰ τῶν εἰρημένων ὑποδραμὼν τῷ λόγῳ, καὶ ὥσπερ ἰχνηλατήσας, τοιόνδε καθ' ὑπόνοιαν μόνον φημί.*

## *ΞΑ'*

### *Θεωρία διάφορος τῆς διαβαθείσης ὑπὸ τῶν ἁγίων ὑλικῆς δυάδος, καὶ τίς ἡ ἐν τῇ Τριάδι νοουμένη ἑνότης.*

*Διὰ δὲ τοῦ ὑπὲρ τὴν ὑλικὴν δυάδα γενέσθαι, διὰ τὴν ἐν τῇ Τριάδι νοουμένην ἑνότητα, τὸ ὑπὲρ τὴν ὕλην γενέσθαι καὶ τὸ εἶδος, ἐξ ὧν τὰ σώματα, τοὺς ἁγίους λέγειν ὑπονοῶ αὐτόν, ἢ τὴν σάρκα καὶ τὴν ὕλην, ὥσπερ διασχόντας ἔφη Θεῷ συγγενέσθαι καὶ τῷ ἀκραιφνεστάτῳ κραθῆναι φωτὶ καταξιωθῆναι, τουτέστι τὴν πρὸς τὴν σάρκα τῆς ψυχῆς σχέσιν, καὶ διὰ τῆς σαρκὸς πρὸς τὴν ὕλην, ἢ καθόλου εἰπεῖν, πάσης τῆς αἰσθητικῆς οὐσίας πρὸς τὴν αἰσθητὴν ἀποθεμένους φυσικὴν οἰκειότητα, τῆς δὲ θείας μόνης γνησίως ἐπιλαβομένους ἐφέσεως, διὰ τήν, ὡς ἔφην, νοουμένην ἐν τῇ Τριάδι ἑνότητα. Μέσην γὰρ κειμένην Θεοῦ καὶ ὕλης τὴν ψυχὴν ἐγνωκότες, καὶ τὰς πρὸς ἄμφω ἑνοποιοὺς δυνάμεις ἔχουσαν, τὸν νοῦν λέγω πρὸς τὸν Θεὸν καὶ πρὸς τὴ ὕλην τὴν αἴσθησιν, τὴν μὲν αἴσθησιν μετὰ τῶν αἰσθητῶν παντελῶς ἀπετινάξαντο, κατὰ τὴν ἐν διαθέσει σχετικὴν ἐνέργειαν, κατὰ δὲ τὸν νοῦν μονώτατον ἀρρήτως αὐτὴν τῷ Θεῷ προσῳκείωσαν,*

ζει στὸ Θεὸ κι ὅπως συμφέρει νὰ ὑμνολογοῦμε ὅλα τὰ ἔργα τῆς πρόνοιας καὶ νὰ τ' ἀποδεχόμαστε καὶ νὰ πιστεύομε ὅτι ὅσα γίνονται καλὰ γίνονται, ἔστω κι ἂν δὲν μποροῦμε νὰ πλησιάσομε τὸ λόγο. Καὶ λέγοντας ὅλα ἐννοῶ τὰ ἔργα τῆς πρόνοιας, ὄχι ὅσα ἐμεῖς πράττομε φαῦλα, ποὺ γίνονται σύμφωνα μὲ τὴν ἐλεύθερη θέλησή μας· γιατὶ αὐτὰ εἶναι τελείως ξένα πρός τό λόγο τῆς πρόνοιας. Τὸν τρόπο λοιπὸν ποὺ ὑποδηλώνει ὁ μέγαλος αὐτὸς δάσκαλος γιὰ τὴ δύναμη καὶ τὴ χάρη τῶν ἁγίων στὸ λόγο καὶ στὴ θεωρία, ὅσο μοῦ ἦταν δυνατὸ μὲ ὑποθέσεις καὶ συλλογισμοὺς καὶ ὄχι μὲ αὐθεντικὲς διατυπώσεις (γιατὶ ὁ δικός μου νοῦς ὑστερεῖ πολὺ ἀπὸ τό μέτρο τῆς ἀλήθειας του), ἀκολούθησα τὸ λόγο του μὲ ὅσα εἶπα, καί, σὰ νὰ ἀκολούθησα ἴχνη, λέγω, ὑποθέτοντας, τόσα μόνο.

## 61

### Ἑρμηνεία διαφορετικὴ γιὰ τὴν ὑλικὴ δυάδα ποὺ ξεπέρασαν οἱ ἅγιοι, καὶ ποιά εἶναι ἡ ἑνότητα ποὺ ἐννοοῦμε μέσα στὴν Τριάδα.

Μὲ τὸ ὅτι ξεπέρασαν οἱ ἅγιοι τὴν ὑλικὴ δυάδα, χάρη στὴ νοητὴ ἑνότητα τῆς Τριάδας, ὑποθέτω ὅτι αὐτὸς ἐννοεῖ ὅτι ξεπέρασαν τὴν ὕλη καὶ τὸ εἶδος, ἀπὸ τὰ ὁποῖα ἀποτελοῦνται τὰ σώματα, ἢ τὴ σάρκα καὶ τὴν ὕλη, τὶς ὁποῖες εἶπε ὅτι διέσχισαν κι ἑνώθηκαν μὲ τὸ Θεὸ καὶ ἀξιώθηκαν ν' ἀναμιχθοῦν μὲ τὸ καθαρότατο φῶς, δηλαδὴ τὴ σχέση τῆς ψυχῆς πρὸς τὴ σάρκα καὶ μέσω τῆς σάρκας πρὸς τὴν ὕλη· ἤ, γιὰ νὰ μιλήσω γενικά, ἀφοῦ ἀπέθεσαν τὴ φυσικὴ οἰκειότητα ὅλης τῆς αἰσθανόμενης οὐσίας πρὸς τὴν αἰσθητὴ κι ἐγκολπώθηκαν γνήσια τὸ θεῖο πόθο μόνο, ἐξαιτίας τῆς νοούμενης, ὅπως εἶπα, ἑνότητας μέσα στὴν Τριάδα. Κι ἐπειδὴ ἀντιλήφθηκαν ὅτι ἡ ψυχὴ κεῖται στὸ μέσο Θεοῦ καὶ ὕλης κι ὅτι ἔχει καὶ πρὸς τὰ δύο δυνάμεις ἑνοποιητικές, τὸ νοῦ πρὸς τὸ Θεὸ καὶ τὴν αἴσθηση πρὸς τὴν ὕλη, ἀποτίναξαν τελείως τὴν αἴσθηση μαζὶ μὲ τὰ αἰσθητὰ σύμφωνα μὲ τὴ σχετικὴ ἐνέργεια τῆς διάθεσης, καὶ τὴν προσοικείωσαν ἄρρητα μὲ τὸ Θεὸ ἀποκλειστικὰ μέσω τοῦ νοῦ, καὶ βλέποντας νὰ ἔχει ἑνωθεῖ

*πρὸς ὃν ὅλον ἀγνώστως ἑνωθεῖσαν ὅλην ὡς ἀρχετύπου εἰκόνα κατὰ νοῦν καὶ λόγον καὶ πνεῦμα, ὡς ἐφικτὸν καθ' ὁμοίωσιν ἔχουσαν τὸ ἐμφερὲς θεασάμενοι, τὴν ἐν τῇ Τριάδι νοουμένην ἑνότητα μυστικῶς ἐδιδάχθησαν.*

*Τυχὸν δὲ καὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ὑλικὴν δυάδα προσηγόρευσεν ὁ διδάσκαλος, διὰ τὸ προσύλους καὶ τοῦ παθητικοῦ τῆς ψυχῆς μέρους αὐτὰς εἶναι δυνάμεις, καὶ πρὸς τὸν λόγον στασιαζούσας, καὶ εἰς πολλὰ σκεδάσαι τὸν νοῦν δυναμένας, εἰ μὴ ἐξ ἀρχῆς ἐπιστημόνως ἄγχων ἑαυτῷ ὑποζεύξειεν. Ὧν εἴ τις κρατήσειε καὶ ἐφ' ἃ δεῖ πρεπόντως φέρεσθαι πείσειε, δουλικῶς ὑπεζευγμένας τῇ δυναστείᾳ τοῦ λόγου, ἢ καὶ παντελῶς αὐτὰς ἀπολιπὼν ἀπολίποι, καὶ μόνος τῆς ἀρρεποῦς κατ' ἀγάπην γνωστικῆς διὰ λόγου καὶ θεωρίας ἔχεται θέλξεως, καὶ πρὸς μίαν καὶ μόνην ἐκ τῶν πολλῶν καθαράν τε καὶ ἁπλῆν καὶ ἀδιαίρετον τῆς κατ' ἔφεσιν ἀρρενωτάτης δυνάμεως κίνησιν συνεστάλη, καθ' ἣν περὶ Θεὸν ἀκαταλήκτως ἐν ταυτότητι τῆς κατ' ἔφεσιν ἀεικινησίας ἑαυτῷ φιλοσόφως ἐπήξατο τὴν μονιμότητα, μακάριος ὄντως ἐστὶ τῆς ἀληθοῦς τε καὶ μακαρίας τυχὼν οὐ μόνον ἑνώσεως τῆς πρὸς τὴν ἁγίαν Τριάδα, ἀλλὰ καὶ ἑνότητος τῆς ἐν τῇ ἁγίᾳ Τριάδι νοουμένης, ὡς ἁπλοῦς καὶ ἀδιαίρετος καὶ μονοειδὴς κατὰ τὴν δύναμιν πρὸς τὴν ἁπλῆν καὶ ἀδιαίρετον κατὰ τὴ οὐσίαν γεγενημένος, καὶ κατὰ τὴν ἕξιν τῶν ἀρετῶν τὴν ὡσαύτως ἔχουσαν ἀγαθότητα κατὰ τὸ ἐφικτὸν ἐκμιμούμενος, καὶ τὴν ἰδιότητα τῶν κατὰ φύσιν μεριστῶν δυνάμεων διὰ τὴν τοῦ ἑνωθέντος Θεοῦ χάριν ἀποθέμενος.*

## *ΞΒ'*

***Ἐξήγησις περὶ τοῦ παθητικοῦ τῆς ψυχῆς, καὶ τῶν αὐτοῦ καθολικῶν διαιρέσεών τε καὶ ὑποδιαιρέσεων.***

***Διαιρεῖται γάρ, ὥς φασι, τὸ παθητικὸν τῆς ψυχῆς εἴς τε τὸ ἐπιπειθὲς λόγῳ, καὶ τὸ μὴ πειθόμενον λόγῳ. Καὶ τὸ μὲν λόγῳ***

---

**22. Τὸ μυστήριο τῆς Τριάδας δὲν φεύγει ἀπὸ τὴ σκέψη τοῦ Μαξίμου.**

μ' ὅλον αὐτὸν καὶ μὲ τρόπο ἄγνωστον ὅλη ὡς εἰκόνα τοῦ ἀρχέτυπου, ὡς πρὸς τὸ νοῦ, τὸ λόγο καὶ τὸ πνεῦμα, καὶ νὰ εἶναι κατὰ τὸ δυνατὸν παράλληλη κατὰ τὴν ὁμοίωση, διδάχθηκαν μυστικὰ τὴν ἑνότητα ποὺ νοεῖται στὴν Τριάδα[22].

Ἴσως ὁ δάσκαλος χαρακτήρισε ὑλικὴ διάδα καὶ τὸ θυμὸ μαζὶ μὲ τὴν ἐπιθυμία, ἐπειδὴ αὐτὲς εἶναι δυνάμεις πρόσυλες καὶ τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς, καὶ ἐπειδὴ στασιάζουν κατὰ τοῦ λόγου καὶ μποροῦν νὰ διασκορπίσουν τὸ νοῦ σὲ πολλά, ἂν δὲν τὶς ὑποτάξει κανεὶς στὸν ἑαυτό του καταπνίγοντάς τις μὲ γνώση ἀπὸ τὴν ἀρχή. Αὐτὲς ἂν τὶς νικήσει κάποιος καὶ τὶς πείσει νὰ κινοῦνται πρὸς στὰ δέοντα ὅπως πρέπει, καὶ τὶς ἀφήσει δεμένες δυλικὰ στὸ ζυγὸ τῆς δυναστείας τοῦ Λόγου ἢ καὶ τὶς ἐγκαταλείψει τελείως, καὶ αὐτὸς μόνος διακατέχεται ἀπὸ τὴ γνωστικὴ μὲ λόγο καὶ θεωρία θέλξη ποὺ μένει ἀκλόνητη στὸ κλίμα τῆς ἀγάπης, καὶ περιορίστηκε σὲ μιὰ καὶ μόνη ἀπὸ τὶς πολλὲς κίνηση, καθαρὴ κι ἁπλὴ κι ἀδιαίρετη, τῆς ἀρρενωπότατης δύναμης τῆς ἐπιθυμίας μας, σύμφωνα μὲ τὴν ὁποία θεμέλιωσε φιλοσοφημένα τὴ μονιμότητά του ἀκατάληκτη σὲ ταυτότητα μὲ τὴν ἀεικινησία τῆς ἐπιθυμίας, τότε αὐτὸς εἶναι ἀληθινὰ μακάριος, ἐπειδὴ ἔχει ἐπιτύχει τὴν ἀληθινὴ καὶ μακάρια ὄχι μόνο ἕνωσή του πρὸς τὴν ἁγία Τριάδα, ἀλλὰ καὶ τὴν ἑνότητα ποὺ νοοῦμε μέσα στὴν ἁγία Τριάδα, ἐπειδὴ θὰ ἔχει γίνει ἁπλὸς καὶ ἀδιαίρετος καὶ μονοειδὴς κατὰ τὴ δύναμη πρὸς τὴν ἁπλὴ καὶ ἀδιαίρετη κατὰ τὴν οὐσία, καὶ κατὰ τὴν ἕξη μιμούμενος ὅσο εἶναι δυνατὸν τὴν ἀπαράλλακτη πάντα ἀγαθότητα τῶν ἀρετῶν καὶ ἀποθέτοντας τὴν ἰδιότητα τῶν φυσικῶν μεριστῶν δυνάμεων μὲ τὴ χάρη τοῦ ἑνωμένου Θεοῦ.

## 62

**Ἐξήγηση γιὰ τὸ παθητικὸ τῆς ψυχῆς καὶ γιὰ τὶς γενικὲς διαιρέσεις καὶ ὑποδιαιρέσεις.**

**Διαιρεῖται λοιπόν, λένε, τὸ παθητικὸ τῆς ψυχῆς σ' αὐτὸ ποὺ πείθεται στὸ λόγο καὶ σ' αὐτὸ ποὺ δὲν πείθεται. Κι αὐτὸ**

*μὴ πειθόμενον διαιροῦσιν εἰς τὸ θρεπτικόν, ὃ καλοῦσι φυσικόν, καὶ εἰς τὸ φυσικόν, ὃ καλοῦσι ζωτικόν, ὧν οὐδέτερον λόγῳ πειθόμενον ἄγεται· οὐκ ἐπιπειθὲς δὲ λόγῳ καλεῖται, ἐπειδὴ μὴ πέφυκεν ἄγεσθαι λόγῳ. Τὸ γὰρ αὐξάνειν ἢ ὑγιαίνειν ἢ ζῆν, οὐκ ἔστιν ἐν ἡμῖν. Τὸ δὲ ἐπιπειθὲς λόγῳ διαιρεῖται εἰς δύο, τό τε ἐπιθυμητικὸν καὶ τὸ θυμικόν. Ἐπιπειθὲς δὲ λόγῳ καλοῦσιν αὐτό, διότι λόγῳ πέφυκεν ἐν τοῖς σπουδαίοις ἄγεσθαί τε καὶ ὑποτάσσεσθαι. Πάλιν δὲ τὸ ἐπιθυμητικὸν διαιροῦσιν εἰς ἡδονὴν καὶ λύπην. Ἐπιτυγχάνουσα γὰρ ἐπιθυμία ἡδονὴν ἐργάζεται, ἀποτυγχάνουσα δὲ λύπην. Καὶ πάλιν καθ' ἕτερον τρόπον φασὶ τὴν ἐπιθυμίαν διαιρουμένην τέσσαρα σὺν ἑαυτῇ τὰ πάντα εἴδη ποιεῖν, ἐπιθυμίαν, ἡδονήν, φόβον, καὶ λύπην. Καὶ ἐπειδὴ τῶν ὄντων τὰ μέν ἐστιν ἀγαθά, τὰ δὲ φαῦλα, ταῦτα δὲ ἢ παρόντα ἢ μέλλοντά ἐστι, προσδοκώμενον μὲν ἀγαθὸν ἐπιθυμίαν ἐκάλεσε, παρὸν δὲ ἡδονήν, καὶ πάλιν προσδοκώμενον κακὸν φόβον, παρὸν δὲ λύπην, ὡς εἶναί τε καὶ θεωρεῖσθαι περὶ μὲν τὰ καλά, εἴτε τὰ ὄντως ὄντα, εἴτε τὰ νομιζόμενα, τὴν ἡδονὴν καὶ τὴν ἐπιθυμίαν, περὶ δε τὰ φαῦλα τὴν λύπην καὶ τὸν φόβον.*

*Πάλιν δὲ τὴν λύπην διαιροῦσιν εἰς τέσσαρα, εἰς ἄχος, εἰς ἄχθος, εἰς φθόνον, εἰς ἔλεον. Καὶ τὸ μὲν ἄχος εἶναί φασι λύπην ἀφωνίαν ἐμποιοῦσαν οἷς ἂν ἐγγένηται, διὰ τὴν εἰς βάθος πάροδον τοῦ λογιστικοῦ· τὸ δὲ ἄχθος λύπην βαροῦσάν τε καὶ διοχλοῦσαν ἐπ' ἀβουλήτοις συμβάσεσι· τὸν δὲ φθόνον λύπην ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· τὸ δὲ ἔλεος λύπην ἐπ' ἀλλοτρίοις κακοῖς. Κακὸν δὲ πᾶσαν λύπην ἔφασαν τῇ ἑαυτῆς φύσει. Κἂν γὰρ ὁ σπουδαῖος ἐπ' ἀλλοτρίοις λυπῆται κακοῖς, ὡς ἐλεήμων, ἀλλ' οὐ προηγουμένως κατὰ πρόθεσιν, ἀλλ' ἐφεπομένως κατὰ περίστασιν. Ὁ δὲ θεωρητικὸς κἀν τούτοις ἀπαθὴς διαμένει, συνάψας ἑαυτὸν τῷ Θεῷ, καὶ τῶν τῇδε παρόντων ἀλλοτριώσας.*

*Τὸν δὲ φόβον πάλιν διαιροῦσιν εἰς ἕξ, εἰς ὄκνον, εἰς αἰδῶ, εἰς αἰσχύνην, εἰς κατάπληξιν, εἰς ἔκπληξιν, εἰς ἀγωνίαν. Καὶ*

πού δὲν ὑπακούει στὸ λόγο τὸ διαιροῦν στὸ θρεπτικό, πού τὸ καλοῦν φυσικό, καὶ στὸ φυσικὸ πού τὸ καλοῦν ζωτικό, ἀπὸ τὰ ὁποῖα κανένα δὲν ὁδηγεῖται ὑπακούοντας στὸ λόγο. Καλεῖται ὄχι ὑπάκουο στὸ λόγο, ἐπειδὴ δὲν ἔχει στὴ φύση του νὰ ὁδηγεῖται ἀπὸ τὸ λόγο. Τὸ ὅτι μεγαλώνομε δηλαδὴ ἢ εἴμαστε ὑγιεῖς ἢ ζοῦμε δὲν ἐξαρτᾶται ἀπὸ ἐμᾶς. Αὐτὸ πάλι πού ὑπακούει στὸ λόγο διαιρεῖται σὲ δύο, τὸ ἐπιθυμητικὸ καὶ τὸ συναισθηματικό. Τὸ ὀνομάζουν ὑπάκουο στὸ λόγο, γιατὶ εἶναι στὴ φύση του στὰ σπουδαῖα θέματα καὶ νὰ ὁδηγεῖται ἀπὸ τὸ λόγο καὶ νὰ ὑποτάσσεται σ' αὐτόν. Καὶ πάλι τὸ ἐπιθυμητικὸ τὸ διαιροῦν σὲ ἡδονὴ καὶ λύπη. Γιατὶ μιὰ ἐπιθυμία ὅταν πετυχαίνει προκαλεῖ ἡδονή, ἐνῶ ὅταν ἀποτυγχάνει λύπη. Καὶ πάλι λένε ἂν ἡ ἐπιθυμία διαιρεθεῖ δίνει μαζὶ μὲ τὴν ἴδια τέσσαρα συνολικὰ εἴδη, ἐπιθυμία, ἡδονή, φόβο καὶ λύπη. Κι ἐπειδὴ ἄλλα ἀπὸ τὰ ὄντα εἶναι ἀγαθὰ κι ἄλλα φαῦλα, κι αὐτὰ εἶναι ἢ παρόντα ἢ μελλοντικά, τὸ προδοκώμενο ἀγαθὸ τὸ κάλεσαν ἐπιθυμία, ἐνῶ τὸ παρὸν ἡδονή, καὶ πάλι τὸ προσδοκώμενο καλὸ τὸ κάλεσαν φόβο καὶ τὸ παρὸν λύπη, καὶ ἔτσι ὑπάρχουν καὶ θεωροῦνται αὐτὰ στὰ καλά, εἴτε αὐτὰ εἶναι πραγματικὰ εἴτε νομιζόμενα, ἡ ἡδονὴ καὶ ἡ ἐπιθυμία, ἐνῶ στὰ φαῦλα ἡ λύπη καὶ ὁ φόβος.

Τὴ λύπη πάλι τὴ διαιροῦν σὲ τέσσερα, σὲ ἄγχος, ἄχθος, φθόνο, ἔλεος. Καὶ γιὰ τὸ ἄγχος λένε πὼς εἶναι λύπη πού προκαλεῖ ἀφωνία σ' ὁποιοὺς τὸ νιώσουν, ἐπειδὴ τὸ λογικὸ περνᾶ στὸ βάθος. Τὸ ἄχθος τὸ λένε λύπη που καταθλίβει κι ἐνοχλεῖ γιὰ συμβάντα ἔξω ἀπ' τὴ θέλησή μας. Τὸ φθόνο τὸν λένε λύπη γιὰ τὰ ξένα ἀγαθά, καὶ τὸ ἔλεος λύπη γιὰ τὰ ξένα κακά. Κακὸ εἶπαν πὼς εἶναι κάθε λύπη ἀπὸ τὴ φύση της. Κι ἂν ὁ εὐγενὴς λυπᾶται γιὰ τὴν ξένη δυστυχἰα, τὸ κάνει ὡς ἐλεήμων, κι ὄχι ἀπὸ προηγούμενα μὲ πρόθεσή του, ἀλλὰ ἔπειτα ἀπὸ κάποιο περιστατικό. Ὁ θεωρητικὸς ὅμως μένει καὶ σ' αὐτὰ ἀνεπηρέαστος, ἐπειδὴ ἕνωσε τὸν ἑαυτό του μὲ τὸ Θεὸ καὶ τὸν ἀποξένωσε ἀπὸ τὰ ἐδῶ παρόντα.

Τὸ φόβο πάλι τὸν διαιροῦνε σὲ ἕξι· στὸν ὄκνο, τὴν αἰδώ, τὴν αἰσχύνη, τὴν κατάπληξη καὶ τὴν ἀγωνία. Καὶ ὁ ὄκνος λένε

*τὸν μὲν ὄκνον εἶναί φασι, φόβον μελλούσης ἐνεργείας, τὴν αἰδῶ δὲ φόβον ἐπὶ προσδοκίᾳ ψόγου, τὴν δὲ αἰσχύνην φόβον ἐπ' αἰσχρῷ πεπραγμένῳ, τὴν δὲ κατάπληξιν φόβον ἐκ μεγάλης φαντασίας, τὴν δὲ ἔκπληξιν φόβον ἐκ μεγάλων ἀκουσμάτων τὴν αἴσθησιν ἀφαιρούμενον, τὴν ἀγωνίαν δὲ φόβον διαπτώσεως, τουτέστιν ἀποτυχίας. Φοβούμενοι γὰρ ἀποτυχεῖν ἀγωνιῶμεν. Καλοῦσι δέ τινες αὐτὴν καὶ δειλίαν.*

*Τὸν δὲ θυμὸν πάλιν εἶναι λέγουσι ζέσιν τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. Διαιροῦσι δὲ καὶ τοῦτον εἰς τρία, εἰς ὀργήν, ἣν τινες ἐκάλεσαν χολὴν καὶ χόλον, καὶ εἰς μῆνιν καὶ εἰς κότον. Καὶ τὴν μὲν ὀργὴν εἶναί φασι θυμὸν πρὸς ἐνέργειαν ἀρχὴν καὶ κίνησιν ἔχοντα, ἢ θυμὸν ἐνεργούμενον· τὴν δὲ χολὴν τὴν δι' ἄλλου ἄμυναν τοῦ λυπήσαντος· τὸν δὲ χόλον τὴν δι' ἑαυτοῦ τοῦ λυπηθέντος ἐπεξέλευσιν εἰς τὸν λυπήσαντα· τὴν δὲ μῆνιν θυμὸν εἰς παλαίωσιν (εἴρηται δὲ παρὰ τὸ μένειν καὶ τῇ μνήμῃ παρακατέχεσθαι), τὸν δὲ κότον θυμὸν ἐπιτηροῦντα καιρὸν εἰς τιμωρίαν· εἴρηται δὲ παρὰ τὸ κεῖσθαι καὶ οὗτος. Διαιροῦσι δὲ καὶ τούτων ἕκαστον εἰς ἄλλα πολλά, ἅπερ, εἰ βουληθείη τις δι' ἀκριβοῦς ἐξετάσεως παραδοῦναι γραφῇ, πολὺν ἀθροίσει λόγον καὶ χρόνον δαπανήσει, ὡς μηδὲ ἀνεκτὸν εἶναι τοῖς ἐντυγχάνουσι διὰ τὸ πλῆθος.*

*Μέγα οὖν καὶ θαυμαστὸν ὄντως ἐστὶ καὶ πολλῆς δεόμενον προσοχῆς τε καὶ σπουδῆς, καὶ πρὸ τούτων τῆς θείας ἐπικουρίας, τὸ δυνηθῆναι πρῶτον μὲν τῆς ὑλικῆς δυάδος τῶν ἐμφύτων κρατῆσαι δυνάμεων, θυμοῦ λέγω καὶ ἐπιθυμίας, καὶ τοῦ κατ' αὐτὰς μερισμοῦ, καὶ μακάριος ὃς ἄγειν ἑτοίμως ταύτας ὅποι τῷ λόγῳ δοκεῖ δεδύνηται, μέχρις ἂν τοῖς πρακτικοῖς διὰ τῆς ἠθικῆς φιλοσοφίας τῶν προτέρων καθαίρηται λογισμῶν.*

εἶναι φόβος γιὰ μελλοντικὴ ἐνέργεια, ἡ αἰδὼς φόβος ἀπὸ τὴν προσδοκία κατηγορίας, ἡ αἰσχύνη φόβος γιὰ κάτι αἰσχρὸ ποὺ ἔχει πραχθεῖ, ἡ κατάπληξη φόβος ἀπὸ μεγάλη φαντασία, ἡ ἔκπληξη φόβος ποὺ ἀπὸ μεγάλες φῆμες ἀφαιρεῖ τὴν αἴσθηση, καὶ ἡ ἀγωνία φόβος γιὰ λάθος, δηλαδὴ ἀποτυχία· γιατί, φοβούμενοι μήπως ἀποτύχομε, ἀγωνιοῦμε. Μερικοὶ καλοῦν τὴν ἀγωνία καὶ δειλία.

Ὁ θυμὸς πάλι λένε πὼς εἶνα βρασμὸς τοῦ αἵματος γύρω ἀπὸ τὴν καρδιὰ ἀπὸ ὄρεξη νά προκληθεῖ ἀντιλύπηση. Καὶ τὸ θυμὸ τὸν διαιροῦν σὲ τρία· σὲ ὀργή, τὴν ὁποία μερικοὶ κάλεσαν χολὴ καὶ χόλο, σὲ μῆνι καὶ σὲ κότο. Καὶ ὅσο γιὰ τὴν ὀργή, λένε πὼς εἶναι θυμὸς γιὰ δράση, ποὺ ἔχει ἀρχὴ καὶ κίνηση, ἢ θυμὸς ἐνεργούμενος· χολὴ λένε τὴν ἀπόκρουση μὲ κάποιο ἄλλο ἐκείνου ποὺ μᾶς λύπησε· χόλο, τὴν ἀντιμετώπιση ἀπὸ τὸν ἴδιο ἐκεῖνον ποὺ λυπήθηκε ἐκείνου ποὺ προκάλεσε τὴ λύπη· μῆνιν, τὸ θυμὸ ποὺ ἔχει παλιώσει (ἡ λέξη ἐτυμολογεῖται ἀπὸ τὸ ρῆμα μένω καὶ ἀπὸ τὸ ὅτι κατέχεται μέσα στὴ μνήμη)· κότο, τὸ θυμὸ ποὺ καιροφυλακτεῖ γιὰ νὰ ἐκδικηθεῖ· παράγεται κι αὐτὸς ἀπὸ τὸ «κεῖται». Ἀλλὰ καὶ τὸ καθένα ἀπὸ αὐτὰ τὸ διαιροῦν σὲ πολλά, τὰ ὁποῖα, ἂν θέλει κανένας νὰ τὰ παραδώσει γράφοντάς τα μὲ λεπτομερὴ ἀνάλυση, θὰ συναθροίσει πολλὰ λόγια καὶ θὰ δαπανήσει χρόνο, ὥστε γιὰ τὸ μάκρος του οὔτε κὰν νὰ τὸν ἀνέχονται ὅσοι τὸν διαβάζουν.

Εἶναι λοιπὸν μεγάλο κι ἀξιοθαύμαστο πραγματικὰ καὶ χρειάζεται πολλὴ προσοχὴ καὶ πολλὲς μελέτες καὶ πρὶν ἀπὸ αὐτὰ χρειάζεται τὴ θεία βοήθεια, τὸ νὰ μπορέσει κανένας νὰ ὑποτάξει πρῶτα τὶς ἔμφυτες δυνάμεις τῆς ὑλικῆς δυάδας, ἐννοῶ τὸ θυμὸ καὶ τὴν ἐπιθυμία, καὶ τὸ μερισμὸ ποὺ αὐτὲς προκαλοῦν, καὶ εἶναι μακάριος ὅποιος εἶναι σὲ θέση νὰ τὶς ὁδηγεῖ εὔκολα μὲ τὸ λόγο ὅπου νομίζει, ὥσπου νὰ καθαρθεῖ ἀπὸ τοὺς πρακτικοὺς μέσω τῆς ἠθικῆς φιλοσοφίας ἀπὸ τοὺς προηγούμενους λογισμούς.

## ΞΓ'

*Θεωρία ἐκ τῆς Γραφῆς περὶ τοῦ μὴ δεῖν τὸν γνωστικὸν τῷ τῆς φύσεως νόμῳ τὸν τῆς σοφίας λόγον συνάπτειν, καὶ τίς ἡ προσθήκη τοῦ ἄλφα στοιχείου εἰς τὸ ὄνομα τοῦ Ἀβραάμ.*

*Ἔπειτα δὲ καὶ ὑπὲρ αὐτὰς γενέσθαι καὶ παντελῶς ἀπώσασθαι, ὡς τὴν Ἄγαρ καὶ τὸν Ἰσμαήλ, ὁ Ἀβραὰμ ἐκεῖνος ὁ μέγας, τοῦ λογιστικοῦ ἤδη περὶ τὰ θεῖα κατὰ τὸν Ἰσαὰκ ἐκεῖνον γυμνασθῆναι δυναμένου θεάματα, ὑπὸ τῆς κατὰ τὴν γνῶσιν φερομένης θείας φωνῆς διδασκόμενος, μὴ δύνασθαι τὸ κατὰ νοῦν θεῖον τῆς ἐλευθέρας κατὰ πνεῦμα γνώσεως γέννημα, τῷ δουλικῷ τῆς σαρκὸς ἐπισυνημμένον σπέρματι, τῆς μακαρίας τυχεῖν ἐπαγγελίας, ἥτις ἐστὶν ἡ κατ' ἐλπίδας προκειμένη τοῖς ἀγαπῶσι τὸν Κύριον τῆς θεώσεως χάρις, ἣν ἤδη τυπικῶς ὑπῆρχε προειληφώς, τῷ περὶ μονάδος λόγῳ διὰ πίστεως μυστικῶς συναφθείς, καθ' ὃν ἑνοειδὴς γενόμενος, μᾶλλον δὲ ἐκ πολλῶν εἷς, μόνος πρὸς μόνον δι' ὅλου τὸν Θεὸν μεγαλοπρεπῶς συνήχθη, μηδένα τὸ παράπαν τῆς οἱασοῦν περί τι ἄλλο τῶν σκεδαστῶν γνώσεως τύπον ἑαυτῷ συνεπιφερόμενος, ὅπερ οἶμαι δηλοῦν τὴν τοῦ δοθέντος εἰς προσθήκην τοῦ ὀνόματος ἄλφα γράμματος δύναμιν. Διὸ καὶ πατὴρ τῶν διὰ πίστεως προσαγομένων Θεῷ κατὰ στέρησιν πάντων τῶν μετὰ Θεὸν ἐχρημάτισεν, ὡς τοὺς αὐτοὺς κατὰ πίστιν ἐν πνεύματι τύπους τῷ πατρὶ τῶν τέκνων ἐμφερῶς ἔχειν δυναμένων.*

## ΞΔ'

***Θεωρία εἰς τὸν Μωϋσῆν περὶ τῶν ἀφαιρουμένων ὑποδημάτων.***

*Τοῦτο τυχὸν ἐν ἀρχῇ τῆς γνωστικῆς ἀγωγῆς καὶ ὁ μέγας Μωϋσῆς ἐκεῖνος διδασκόμενος ὑπὸ τῆς θείας φωνῆς ἐπαιδεύετο, ἡνίκα προσῆγεν ἰδεῖν τὸ ἐν τῇ βάτῳ μυστικῶς φανταζόμε-*

23. Ἡ δούλη σάρκα πρέπει νὰ ὑπερβαθεῖ, γιὰ νὰ ἐπιτευχθεῖ ἡ χάρη τῆς θεώσης.

24. Γεν. 17,5.

## 63

Θεωρία ἀπὸ τὴ Γραφὴ γιὰ τὸ ὅτι δὲν πρέπει ὁ μυστικὸς νὰ συνάπτει τὸ λόγο τῆς σοφίας μὲ τὸ νόμο τῆς φύσης, καὶ ποιά εἶναι ἡ προσθήκη τοῦ στοιχείου ἄλφα στὸ ὄνομα τοῦ Ἀβραάμ.

Κι ἔπειτα νὰ ξεπεράσει κι αὐτὲς καὶ νὰ τὶς ἀπωθήσει τελείως, ὅπως τὴν Ἄγαρ καὶ τὸν Ἰσμαὴλ ὁ μέγας ἐκεῖνος Ἀβραάμ, ἐπειδὴ ἡ νόησή του μπορεῖ ἤδη νὰ γυμναστεῖ γύρω ἀπὸ τὰ θεῖα θεάματα, ὅπως ἐκεῖνος ὁ Ἰσαάκ, διδασκόμενος ἀπὸ τὴ θεία φωνὴ ποὺ τοῦ ἔκανε γνωστό, ὅτι δὲν μπορεῖ τὸ νοερὸ θεῖο γέννημα τῆς πνευματικῆς γνώσης, ἑνωμένο μὲ τὸ δουλικὸ σπέρμα τῆς σάρκας, νὰ ἐπιτύχει τὴ θεία ἐπαγγελία, δηλαδὴ τὴ χάρη τῆς θέωσης[23] ποὺ προβάλλει μέσα στὶς ἐλπίδες ἐκείνων ποὺ ἀγαποῦν τὸν Κύριο, τὴν ὁποία εἶχε ἤδη τυπικὰ λάβει ἀπὸ πρῶτα, ἑνωμένος μυστικὰ μέσω τῆς πίστης μὲ τὸ λόγο περὶ μονάδας, κατὰ τὸν ὁποῖο, ἀφοῦ ἔγινε μονοειδής, ἢ καλύτερα ἕνας ἀπὸ τοὺς πολλούς, συνάχθηκε μεγαλόπρεπα μόνος αὐτὸς μὲ τελείως μόνο τὸ Θεό, χωρὶς νὰ φέρνει μαζί του κανένα ἀπολύτως τύπο τῆς ὁποιασδήποτε γνώσης σχετικὰ μὲ κάποιο ἄλλο ἀπὸ ὅσα μποροῦν νὰ διασκορπιστοῦν, πράγμα ποὺ κατὰ τὴ γνώμη μου δηλώνει τὸ νόημα τοῦ γράμματος ἄλφα ποὺ δόθηκε γιὰ νὰ προστεθεῖ στὸ ὄνομά του. Γι' αὐτὸ χρημάτισε καὶ πατέρας[24] ἐκείνων ποὺ ὁδηγοῦνται στὸ Θεὸ μέσω τῆς πίστης, ἀφοῦ στερήθηκαν ὅλα τὰ ἔπειτ' ἀπὸ τὸ Θεό, ἐπειδὴ τοὺς ἴδιους πνευματικοὺς τύπους τῆς πίστης μποροῦν νὰ ἔχουν τὰ παιδιὰ παρόμοια μὲ τὸν πατέρα.

## 64

Ἑρμηνεία γιὰ τὰ ὑποδήματα ποὺ ἔβγαλε ὁ Μωυσῆς.

Αὐτὸ ἴσως ἀκούγοντας καὶ ὁ μέγας ἐκεῖνος Μωυσῆς στὴν ἀρχὴ τῆς ζωῆς του ποὺ τὴ φώτιζε ἡ γνώση, ὅταν πῆγε νὰ δεῖ τὸ φῶς ποὺ φαινόταν μυστικὰ στὴ βάτο διδασκόταν ἀπὸ τὴ θεία

*νον φῶς, φασκούσης, «λῦσον τὰ ὑποδήματα ἀπὸ τῶν ποδῶν σου, ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας γῆ ἁγία ἐστί», τὸ δεινῶς, οἶμαι, τῶν σωματικῶν ἁπάντων ἀπολελύσθαι κατὰ διάθεσιν τὴν ψυχήν, μέλλουσαν τὴν διὰ θεωρίας πρὸς τὴν τῶν ὑπερκοσμίων νόησιν γνωστικὴν ποιεῖσθαι πορείαν, καὶ τελείαν τοῦ ἐν σχέσει σαρκὸς προτέρου βίου ἀλλοτρίωσιν διὰ τῆς τῶν ὑποδημάτων ἔχειν ἀποθέσεως.*

## *ΞΕ'*

### *Θεωρία εἰς μέρη τῶν θυσιῶν.*

*Τοῦτο πάλιν ἴσως ὁ αὐτὸς θειότατος Μωϋσῆς ἐν ταῖς τῶν θυσιῶν διατάξεσι παρεδήλου τῶν ἱερείων ἀφαιρεῖν τὸ στέαρ καὶ τοὺς νεφροὺς καὶ τὸ στηθύνιον καὶ τὸν λοβὸν τοῦ ἥπατος, ἐπιτάσσων, τὸ δεῖν αὐτάς τε τὰς γενικὰς τῶν ἐν ἡμῖν παθῶν δυνάμεις, τὸν θυμὸν λέγω καὶ τὴν ἐπιθυμίαν, τὴν ὄντως ὑλικὴν δυάδα, καὶ τὰς ἐνεργείας αὐτῶν ἀφαιρεῖν, καὶ τῷ θείῳ πυρὶ τῆς κατὰ γνῶσιν μυστικῆς ἐκτῆξαι δυνάμεως, τῆς μὲν ἐπιθυμίας διὰ τῶν νεφρῶν, τῆς δὲ ἐνεργείας αὐτῆς, τουτέστι τῆς ἡδονῆς, διὰ τοῦ λίπους, ἤτοι τοῦ στέατος δηλουμένης, καὶ τοῦ θυμοῦ διὰ τοῦ στηθυνίου, τῆς δὲ κατ' αὐτὸν ἐνεργείας διὰ τοῦ λοβοῦ τοῦ ἥπατος, ἐν ᾧ ἡ πικρὰ καὶ δριμυτάτη πέπηγε χολή, σημαινομένων.*

## *ΞS*

### *Θεωρία σύντομος εἰς τὴν κατὰ νόμον διάφορον λέπραν.*

*Τοῦτο πάλιν κἀν τῷ περὶ λέπρας τόπῳ σοφῶς οἶμαι παρεμφαίνειν δι' αἰνιγμάτων συμβολικῶν, τὴν ἀφὴν τῆς λέπρας εἰς τέσσαρα γένη μερίσαντα, εἰς λευκὸν καὶ χλωρὸν καὶ ξανθὸν καὶ ἀμαυρόν, δι' ὧν τό τε θυμικὸν καὶ τὸ ἐπιθυμητικὸν εἰς τὰ*

25. Ἐξ. 3,5. 26. Λευιτ. 7,30. 27. Λευιτ. 13,1ἑ.

φωνή, πού ἔλεγε, «Βγάλε τὰ παπούτσια ἀπὸ τὰ πόδια σου, γιατὶ τὸ μέρος ὅπου στέκεσαι εἶναι γῆ ἅγια»[25], νομίζω τὴ φοβερὴ ψυχικὴ ἀπελευθέρωση ἀπὸ ὅλα τὰ σωματικὰ τῆς ψυχῆς, ἐφόσον πρόκειται νὰ κάνει τὴ γνωστικὴ πορεία μέσω τῆς θεωρίας πρὸς τὴ νόηση τῶν ὑπερκόσμιων καὶ νὰ ἐπιτύχει τέλεια ἀποξένωση ἀπὸ τὸν προηγούμενο βίο τὸ δεμένο μὲ τὴ σάρκα μὲ τὴν ἀπόθεση τῶν παπουτσιῶν.

## 65

Ἑρμηνεία ἀναφερόμενη σὲ μέρη τῶν θυσιῶν.

Τοῦτο πάλι ἴσως ἤθελε νὰ φανερώσει ὁ ἴδιος θεϊκότατος Μωυσῆς στὶς διατάξεις τῶν θυσιῶν, ν' ἀφαιροῦν ἀπὸ τὰ ἱερὰ σφάγια τὸ λῖπος καὶ τὰ νεφρὰ καὶ τὸ στῆθος καὶ τὸ λοβὸ τοῦ συκωτιοῦ[26], προστάζοντας ὅτι πρέπει ν' ἀφαιροῦμε τὶς ἴδιες τὶς γενικὲς μέσα μας δυνάμεις τῶν παθῶν, ἐννοῶ τὸ θυμὸ καὶ τὴν ἐπιθυμία, τὴν πραγματικὴ ὑλικὴ δυάδα, καθὼς καὶ τὶς ἐνέργειές τους, καὶ νὰ τὶς διαλύομε μὲ τὴ θεία φωτιὰ τῆς μυστικῆς γνωστικῆς δύναμης. Ἡ δύναμη τῆς ἐπιθυμίας δηλώνεται μὲ τὰ νεφρά, ἐνῶ τῆς ἐνέργειάς της, δηλαδὴ τῆς ἡδονῆς, μὲ τὸ λίπος, δηλαδὴ μὲ τὸ «στέαρ», καὶ ἡ δύναμη τοῦ θυμοῦ ποὺ δηλώνονται ἀντίστοιχα μὲ τὸ στῆθος, καὶ τῆς ἐνέργειάς του μὲ τὸ λοβὸ τοῦ συκωτιοῦ, ὅπου ὑπάρχει ἡ πικρότατη χολή.

## 66

Σύντομη ἑρμηνεία γιὰ τὴ διαφορετικὴ σύμφωνα μὲ τὸ νόμο λέπρα[27].

Αὐτὸ πάλι νομίζω παραδηλώνει σοφὰ μὲ συμβολικὰ αἰνίγματα στὸ σημεῖο γιὰ τὴ λέπρα, χωρίζοντας τὴν ὄψη τῆς λέπρας σὲ τέσσερα ἤδη, σὲ λευκό, σὲ πράσινο, σὲ ξανθὸ καὶ σὲ σκοῦρο, μὲ τὰ ὁποῖα δείχνει τὸ θυμικὸ καὶ τὸ ἐπιθυμητικὸ χωρισμένα στὰ εἴδη τους. Ἡ ἐπιθυμία δηλώνεται μὲ τὸ λευκὸ καὶ τὸ

*ὑπ᾽ αὐτὰ εἴδη διαιρούμενα δείκνυται, τῆς μὲν ἐπιθυμίας διὰ τοῦ λευκοῦ καὶ χλωροῦ, εἰς ἡδονὴν καὶ λύπην μερίζεσθαι δηλουμένης, τοῦ δὲ θυμοῦ διὰ τοῦ ξανθοῦ καὶ τοῦ ἀμαυροῦ εἰς ὀργὴν καὶ μῆνιν καὶ τὴν κεκρυμμένην κακουργίαν τῆς ὑποκρίσεως τεμνομένου. Ταῦτα γὰρ πρῶτα γένη τῶν ὑπ᾽ αὐτὰ παθῶν, ὥς φασι, καὶ πάντων ἀρχηγικώτερα τῶν τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας γεννήματα, οἷς τὴν νοσηλευομένην ψυχὴν οὐχ οἷόν τε, ἕως ὑπὸ τούτων κατέστικται, τοῖς τῆς θείας ἠξιωμένοις παρεμβολῆς ἐναρίθμιον εἶναι.*

## *ΞΖ᾽*

### *Θεωρία εἰς τὸν Φινεὲς καὶ τοὺς ἀναιρεθέντας ὑπ᾽ αὐτοῦ.*

*Τοῦτο καὶ τὸν θαυμαστὸν οἶμαι Φινεὲς ἐκεῖνον τῷ καθ᾽ ἑαυτὸν ζήλῳ παραινίττεσθαι. Τὴν γὰρ Μαδιανίτην τῷ Ἰσραηλίτῃ συγκαταιχμάσας, μυστικῶς διὰ τοῦ δόρατος τὴν ὕλην τῷ εἴδει, καὶ τῷ θυμῷ τὴν ἐπιθυμίαν καὶ τὴν ἀλλόφυλον ἡδονὴν τῷ ἐμπαθεῖ λογισμῷ διὰ τῆς τοῦ ἀρχιερέως λόγου δυνάμεως συναπωθεῖσθαι χρῆν παντάπασι τῆς ψυχῆς ἐνέφαινεν. Εἶδος γὰρ πρὸς ὕλην τόπον ἐπέχει, ὅ τε θυμὸς πρὸς τὴν ἐπιθυμίαν, τῷ προσεγγισμῷ διδοὺς αὐτῇ κίνησιν, καθ᾽ ἑαυτὴν οὖσαν ἀκίνητον, ὅ τε λογισμὸς πρὸς τὴν ἡδοήν, εἰδοποιεῖν αὐτὴν πεφυκώς, ἀνείδεον καὶ ἄμορφον κατὰ τὸν ἴδιον λόγον ὑπάρχουσαν. Δηλοῖ δὲ τοῦτο καὶ αὐτὴ τῶν ὀνομάτων ἡ δύναμις. Χασβὴ γὰρ ἡ Μαδιανίτις ὀνομάζεται, ὅπερ ἐστὶ 'Γαργαλισμός μου', καὶ Ζαμβρὶ ὁ Ἰσραηλίτης, ὅπερ ἐστὶν 'Ἆσμα μου', τουτέστι μετεωρισμός μου. Ἐπειδὰν οὖν τῆς θείας ἀπονεῦσαν μελέτης τε καὶ ἐνατενίσεως τὸ λογιστικὸν τῆς ψυχῆς καὶ μετεωρισθὲν τῷ ὑλικῷ τῆς σαρκὸς γαργαλισμῷ συμπλακῇ κατὰ τὴν κάμινον τῆς ἁμαρτίας, τοῦ ζηλωτοῦ πάντως δεῖται ἀρχιερέως λόγου, πρὸς ἀναίρεσιν μὲν τῶν οὕτω κακῶς ἀλλήλοις συμπεπλεγμένων, ἀποστροφὴν δὲ τῆς φερομένης θείας ἀγανακτήσεως.*

πράσινο κι ἔτσι χωρίζεται σὲ ἡδονὴ καὶ λύπη, ἐνῶ ὁ θυμὸς μὲ τὸ ξανθὸ καὶ τὸ σκοῦρο καὶ διχάζεται σὲ ὀργὴ καὶ μῆνι, τὴν κρυμμένη καὶ ὑποκριτικὴ κακουργία. Γιατὶ αὐτὰ εἶναι τὰ πρῶτα γένη τῶν κάτω ἀπὸ αὐτὰ παθῶν, ὅπως λένε, καὶ πιὸ ἡγεμονικὰ σὲ ὅλα τὰ γεννήματα τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας, ποὺ ἐξαιτίας τους δὲν εἶναι δυνατό, ὅσο ἔχει τὰ στίγματά τους ἡ ψυχὴ ποὺ νοσηλεύεται, νὰ συγκαταλεχθεῖ μ' αὐτοὺς ποὺ ἔχουν ἀξιωθεῖ τὴ θεία παράταξη.

## 67

Ἑρμηνεία γιὰ τὸν Φινεὲς καὶ γιὰ ἐκείνους ποὺ σκότωσε[28].

Αὐτὸ νομίζω ὅτι ὑπαινίσσεται μὲ τὸ ζῆλο του κι ἐκεῖνος ὁ θαυμαστὸς Φινεές. Γιατί, διατρυπώντας τὴ Μαδιανίτισσα μαζὶ μὲ τὸν Ἰσραηλίτη μὲ τὸ δόρυ του, ἔδειχνε μυστικὰ ὅτι πρέπει ν' ἀπωθοῦμε μὲ κάθε τρόπο ἀπὸ τὴν ψυχὴ τὴν ὕλη μαζὶ μὲ τὸ εἶδος, τὴν ἐπιθυμία μαζὶ μὲ τὸ θυμό, καὶ τὴν ἀλλόφυλη ἡδονὴ μαζὶ μὲ τὸν ἐμπαθὴ λογισμὸ μὲ τὴ δύναμη τοῦ ἀρχιερέα λόγου. Γιατὶ ἔχει θέση εἴδους πρὸς τὴν ὕλη, τόσο ὁ θυμὸς πρὸς τὴν ἐπιθυμία, καθὼς μὲ τὴν προσέγγισή του τῆς δίνει κίνηση, ἐνῶ ἀπὸ μόνη της εἶναι ἀκίνητη, ὅσο κι ὁ λογισμὸς πρὸς τὴν ἡδονή, ποὺ ἀπὸ τὴ φύση του τῆς δίνει μορφή, ἐνῶ αὐτὴ ἀπὸ τὴ φύση της εἶναι χωρὶς εἶδος καὶ χωρὶς μορφή. Καὶ αὐτὸ τὸ δηλώνει καὶ ἡ ἴδια ἡ σημασία τῶν ὀνομάτων. Γιατὶ ἡ Μαδιανίτισσα ὀνομάζεται Χασβή, ποὺ σημαίνει «γαργάλισμά μου», καὶ ὁ Ἰσραηλίτης Ζαμβρί, ποὺ σημαίνει «τραγούδι μου», δηλαδὴ ἔξαψή μου. Ὅταν λοιπὸν τὸ λογιστικὸ τῆς ψυχῆς ἀποκλίνει ἀπὸ τὴ θεία μελέτη καὶ ἐνατένιση καὶ γεμάτο ἔξαψη συμπλακεῖ μὲ τὸ ὑλικὸ γαργάλημα τῆς σάρκας μέσα στὸ καμίνι τῆς ἁμαρτίας, χρειάζεται ὁπωσδήποτε τὸν ἔνθερμο ἀρχιερέα λόγο, γιὰ νὰ ἐξοντωθοῦν αὐτὰ ποὺ τόσο κακῶς ἔχουν συμπλακεῖ μεταξύ τους, καὶ ν' ἀποτραπεῖ ἡ ἐπερχόμενη θεία ἀγανάκτηση.

---

28. Ἀριθμ. 25,7ἑ.

## ΞΗ'

### *Θεωρία είς τό, «Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί, καὶ είς τό, «Μήτε ῥάβδον μήτε πήραν μήτε ὑποδήματα χρῆναι τοὺς ἀποστόλους βαστάζειν».*

*Τοῦτο καὶ ὁ Κύριος αὐτός, ὡς ἔμοιγε δοκεῖ, τυχὸν παρεδήλου, τοῦτο μὲν ἐν οἷς φησι, «μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί, μηδὲ βάλλετε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων», ἅγιον ἴσως καλῶν τὸ ἐν ἡμῖν νοερόν, ὡς θείας ἀπεικόνισμα δόξης, ὅπερ μὴ κακῶς ἐᾶν ὑπὸ τῶν θυμικῶν κινημάτων καθυλακτούμενον ἐκταράσσεσθαι παρηγγύησε, μαργαρίτας δὲ τὰ θεῖα καὶ λαμπρὰ τούτου νοήματα, οἷς τίμιον ἅπαν κοσμεῖσθαι πέφυκεν, ἅπερ διαφυλάττειν ἀμόλυντα καὶ τῶν ἀκαθάρτων τῆς ὑλικῆς ἐπιθυμίας παθῶν ἐλεύθερα δεῖν παρεκελεύσατο· τοῦτο δὲ ἐν οἷς πρὸς τοὺς ἁγίους αὐτοῦ μαθητὰς ἀποστελλομένους ἐπὶ τὸ κήρυγμα, περὶ τοῦ πῶς εὐσταλεῖς αὐτοὺς εἶναι καὶ ἀπερίττους διατυπῶν καὶ τοῦτο πρὸς τοῖς ἄλλοις φησί, «μὴ δὲ πήραν αἴρετε είς τὴν ὁδόν, μήτε ῥάβδον, μήτε ὑποδήματα είς τοὺς πόδας ὑμῶν», ὡς δέον τὸν τῆς ὑψηλῆς κατὰ τὴν γνῶσιν πορείας ἐπειλημμένον παντὸς μὲν ὑλικοῦ βάρους ἐλεύθερον εἶναι, πάσης δὲ τῆς κατ' ἐπιθυμίαν καὶ θυμὸν ἐμπαθοῦς διαθέσεως καθαρόν, ὡς δηλοῖ ἥ τε πήρα καὶ ἡ ῥάβδος, ἡ μὲν τὴν ἐπιθυμίαν, ἡ δὲ τὸν θυμὸν ἐπισημαίνουσα, μάλιστα δὲ τῆς καθ' ὑπόκρισιν γυμνὸν κακουργίας, τῆς οἷον ὑποδήματος δίκην τοῦ βίου τὸ ἴχνος ἐπικαλυπτούσης, καὶ τὸ ἐμπαθὲς τῆς ψυχῆς ἐπικρυπτούσης ἐπιεικείας πλάσματι, ἣν ὑποδησάμενοι ἀφρόνως οἱ Φαρισαῖοι, μόρφωσιν εὐσεβείας, ἀλλ' οὐκ εὐσέβειαν ἔχοντες, καὶ εἰ λαθεῖν ἐνόμιζον, ὑπὸ τοῦ Λόγου ἐλεγχθέντες ἐδιδάχθησαν.*

---

29. Ματθ. 7,6.

## 68

### Ἑρμηνεία τοῦ, «μὴ δώσετε τὰ ἅγια στὰ σκυλιά»[29], καὶ τοῦ, «οἱ ἀπόστολοι δὲν πρέπει νὰ κρατοῦν οὔτε ραβδί, οὔτε σάκκο, οὔτε παπούτσια»[30].

Αὐτὸ καὶ ὁ ἴδιος ὁ Κύριος, ὅπως ἐγὼ νομίζω, δήλωνε ἴσως, ἀπὸ τὴ μία μὲ αὐτὰ ποὺ λέει, «μὴ δώσετε τὸ ἅγιο στὰ σκυλιά, οὔτε νὰ ρίξετε τὰ μαργαριτάρια μπροστὰ στοὺς χοίρους», καλώντας «ἅγιο» ἴσως τὸ νοερὸ μέσα μας, ὡς ἀπεικόνισμα τῆς θείας δόξας, ποὺ ζήτησε νὰ μὴν ἀφήνομε νὰ τὸ γαυγίζουν τὰ κινήματα τοῦ θυμικοῦ καὶ νὰ ταράζεται, καὶ «μαργαριτάρια» τὰ θεῖα καὶ λαμπρὰ νοήματά του, μὲ τὰ ὁποῖα συνήθως στολίζομε κάθε πολύτιμο, παραγγέλλοντάς μας ὅτι πρέπει νὰ τὰ φυλάγομε ἀμόλυντα κι ἐλεύθερα ἀπὸ τὰ ἀκάθαρτα πάθη τῆς ὑλικῆς ἐπιθυμίας. Κι ἀπὸ τὴν ἄλλη κοντὰ σ' αὐτὰ ποὺ διατύπωσε στοὺς ἁγίους του μαθητὲς ὅταν τοὺς ἔστελνε στὸ κήρυγμα γιὰ τὸ πῶς νὰ εἶναι ζωσμένοι καὶ χωρὶς περιττὰ πράγματα, ἐκτὸς ἀπὸ τὰ ἄλλα τοὺς εἶπε καὶ τοῦτο· «μὴ ἔχετε μαζί σας στὸ δρόμο σακκούλι, οὔτε ραβδί, οὔτε παπούτσια στὰ πόδια σας», γιατὶ πρέπει, ὅποιος ἔχει ἀρχίσει νὰ πορεύεται τὸ δρόμο πρὸς τὴν ὑψηλὴ γνώση, νὰ εἶναι ἐλεύθερος ἀπὸ κάθε ὑλικὸ βάρος καὶ καθαρὸς ἀπὸ κάθε ἐμπαθὴ διάθεση ἐπιθυμίας καὶ θυμοῦ, ὅπως δηλώνει καὶ τὸ σακκούλι καὶ τὸ ραβδί, ἐπισημαίνοντας τὸ πρῶτο τὴν ἐπιθυμία καὶ τὸ ραβδὶ τὸ θυμό, καὶ κυρίως νὰ εἶναι γυμνὸς ἀπὸ τὴν κακία τῆς ὑπόκρισης, ποὺ σὰν κάποιο παπούτσι ἐπικαλύπτει τὸ ἴχνος τοῦ βίου καὶ σκεπάζει τὴν ἐμπάθεια τῆς ψυχῆς μ' ἕνα ἐπίπλασμα καλοσύνης. Αὐτὴν φόρεσαν στὰ πόδια τους ἀπερίσκεπτα οἱ Φαρισαῖοι καὶ εἶχαν φαινομενικὴ εὐσέβεια, ἀλλ' ὄχι εὐσέβεια πραγματική, καὶ ἂν καὶ νόμιζαν ὅτι δὲ θὰ προσεχθοῦν, τὸ κατάλαβαν ἀπὸ τὸν ἔλεγχο τοῦ Λόγου.

30. Λουκᾶ 9,3.

## ΞΘ'

### Θεωρία περὶ τοῦ σεληνιαζομένου.

Ταύτης τῆς ὑλικῆς δυάδος, τῆς κατὰ θυμὸν λέγω καὶ ἐπιθυμίαν, πάλιν ὁ Κύριος ἐλευθέρωσεν, ὡς οἶμαι, τὸν σεληνιαζόμενον, μᾶλλον δὲ τοῦ πυρὶ τῷ θυμῷ καὶ ὕδατι τῇ ἐπιθυμίᾳ αὐτὸν βουληθέντος ἀπολέσαι πονηροῦ δαίμονος, ἐπέσχε τε καὶ κατήργησε τὴν μανιώδη λύσσαν (σελήνης γὰρ οὐδὲν διενήνοχεν ἡ πρὸς τὰ γινόμενα καὶ ἀπογινόμενα σχέσις τῶν ἡττημένων τοῖς ὑλικοῖς ἀνθρώπων), ἧς ἐπιλαβόμενος ὁ τὰ πάθη διεγείρων δαίμων, ὥσπερ ὕδατι καὶ πυρὶ τῇ ἐπιθυμίᾳ καὶ τῷ θυμῷ ἐμβάλλων τὸν νοῦν καὶ ἐναποπνίγων οὐ παύεται, ἕως τοῦ Θεοῦ Λόγος παραγενόμενος τὸ μὲν ὑλικὸν καὶ πονηρὸν ἀπελάσει πνεῦμα (δι' οὗ ὁ παλαιός τε καὶ χοϊκὸς χαρακτηρίζεται ἄνθρωπος), τὸν δὲ ἐνεργούμενον τῆς πονηρᾶς ἐλευθερώσει τυραννίδος, τὴν φυσικὴν αὐτῷ σωφροσύνην ἀποδοὺς καὶ χαρισάμενος, δι' ἧς ὁ νέος καὶ κατὰ Θεὸν κτιζόμενος ἄνθρωπος διαδείκνυται.

Οὕτω μὲν οὖν πάντες οἱ ἅγιοι τοῦ θείου καὶ ἀπλανοῦς λόγου γνησίως ἐπειλημμένοι τὸν αἰῶνα τοῦτον διέβησαν, οὐδενὶ τῶν ἐν αὐτῷ τερπνῶν τὸ τῆς ψυχῆς ἴχνος ἐναπερείσαντες. Πρὸς γὰρ τοὺς ἄκρους τῶν ἀνθρώποις ἐφικτῶν περὶ Θεοῦ λόγους, τῆς ἀγαθότητός τέ φημι καὶ τῆς ἀγάπης, μάλα γε εἰκότως ἐνατενίσαντες, οἷς κινηθέντα τὸν Θεὸν τὸ εἶναί τε δοῦναι τοῖς οὖσι καὶ τὸ εὖ εἶναι χαρίσασθαι ἐπαιδεύθησαν (εἴπερ κίνησιν ἐπὶ Θεοῦ τοῦ μόνον ἀκινήτου θέμις εἰπεῖν, ἀλλὰ μὴ μᾶλλον βούλησιν, τὴν πάντα κινοῦσάν τε καὶ εἰς τὸ εἶναι καὶ παράγουσαν καὶ συνέχουσαν, κινουμένην δὲ οὐδαμῶς οὐδέποτε), τούτοις καὶ αὐτοὶ σοφῶς ἑαυτοὺς ἀπετύπωσαν, τοῦ ἀφανοῦς καὶ ἀοράτου κάλλους τῆς θείας μεγαλοπρεπείας εὐμιμήτως φέροντες φαινομένην διὰ τῶν ἀρετῶν τὴν ἰδιότητα. Διὰ τοῦτο ἀγαθοὶ καὶ φιλόθεοι καὶ φιλάνθρωποι, εὔσπλαγχνοί τε καὶ οἰκτίρμονες

31. Ματθ. 4,24. 32. Πράξ. 17,28.

69

Ἑρμηνεία γιὰ τὸν σεληνιαζόμενο.

Ἀπὸ αὐτὴ πάλι τὴν ὑλικὴ δυάδα, τὸ θυμὸ καὶ τὴν ἐπιθυμία, ἐλευθέρωσε ὁ Κύριος νομίζω τὸ σεληνιαζόμενο[31], κι ἐνῶ ὁ πονηρὸς δαίμονας ἤθελε νὰ τὸν καταστρέψει περισσότερο μὲ τὴν ἐπιθυμία ἀπὸ ὅ,τι μὲ τὴ φωτιὰ τὸ θυμὸ καὶ τὸ νερό, συγκράτησε τὴ μανιασμένη λύσσα (γιατὶ σὲ τίποτε δὲν διαφέρει ἀπὸ τὴ σελήνη ἡ σχέση μ' αὐτὰ ποὺ γίνονται καὶ φθείρονται τῶν ἀνθρώπων ποὺ ἔχουν ἡττηθεῖ ἀπὸ τὰ ὑλικά), τὴν ὁποία χρησιμοποιώντας ὁ δαίμονας ποὺ διεγείρει τὰ πάθη δὲ σταματὰ νὰ βουτὰ τὸ νοῦ, σὰν στὸ νερὸ καὶ τὴ φωτιά, στὴν ἐπιθυμία καὶ στὸ θυμό κι ἐκεῖ νὰ θέλει νὰ τὸν πνίξει, ὥσπου νὰ φτάσει ὁ Λόγος τοῦ Θεοῦ κι ἐκδιώξει τὸ ὑλικὸ καὶ πονηρὸ πνεῦμα (μὲ τὸ ὁποῖο χαρακτηρίζεται ὁ παλαιὸς καὶ χοϊκὸς ἄνθρωπος) καὶ νὰ ἐλευθερώσει τὸν ἐπιληπτικὸ ἀπὸ τὴν τυραννία τοῦ πονηροῦ, ἀποδίδοντας καὶ χαρίζοντάς του τὴ φυσικὴ σωφροσύνη του, ποὺ φανερώνει τὸ νέο ἄνθρωπο ποὺ κτίζεται σύμφωνα μὲ τὸ Θεό.

Ἔτσι λοιπὸν ὅλοι οἱ ἅγιοι, ἔχοντας συλλάβει γνήσια τὸν Θεῖο καὶ ἀπλανὴ Λόγο, πέρασαν τὸν αἰώνα τοῦτον, χωρὶς ν' ἀφήσουν τὸ ἴχνος ἀπὸ τὸ πέρασμα τῆς ψυχῆς τους σὲ κανένα ἀπὸ τὰ τερπνά του. Γιατὶ πολὺ φυσικὰ ἀτενίζοντας στοὺς ἄκρους λόγους περὶ Θεοῦ ὅσοι εἶναι ἐφικτοὶ στοὺς ἀνθρώπους, ἐννοῶ τὴν ἀγαθότητα καὶ τὴν ἀγάπη, ἀπὸ τοὺς ὁποίους διδάχτηκαν ὅτι κινήθηκε ὁ Θεὸς γιὰ νὰ δώσει τὸ εἶναι στὰ ὄντα καὶ νὰ τὰ χαρίσει τὴ μακαριότητα (ἂν βέβαια ἐπιτρέπεται νὰ μιλήσομε γιὰ κίνηση σχετικὰ μὲ τὸ Θεό, τὸν μόνο ἀκίνητο, κι ὄχι νὰ ποῦμε μᾶλλον βούληση, ποὺ κινεῖ τὰ πάντα καὶ τὰ φέρνει στὸ εἶναι καὶ τὰ συγκρατεῖ ἀλλὰ δὲν κινεῖται ποτὲ καὶ καθόλου[32]), μ' αὐτοὺς κι ἐκεῖνοι σφράγισαν μὲ σοφία τὸν ἑαυτό τους, δείχνοντας ἐπάνω τους ὡραῖα ἀπομίμηση ποὺ φαίνεται μὲ τὶς ἀρετὲς τὸ γνώρισμα τῆς ἄφαντης κι ἀόρατης ὀμορφιᾶς τῆς θείας μεγαλοπρέπειας. Γι' αὐτὸ καὶ ἔγιναν ἀγαθοὶ καὶ φιλόθεοι καὶ φιλάνθρωποι, εὐαίσθητοι καὶ σπλαχνικοί, καὶ φάνηκαν νὰ

*γεγόνασι, καὶ μίαν πρὸς ἅπαν τὸ γένος διάθεσιν ἔχοντες ἀγάπης ἐδείχθησαν, ὑφ' ἧς τὸ πάντων ἐξαίρετον εἶδος τῶν ἀρετῶν, τὴν ταπείνωσιν λέγω, διὰ πάσης αὐτῶν τῆς ζωῆς βεβαίαν κατασχόντες τὴν φυλακτικὴν μὲν τῶν ἀγαθῶν, φθαρτικὴν δὲ τῶν ἐναντίων, οὐδενὶ τὸ παράπαν ἁλώσιμοι τῶν διοχλούντων γεγόνασι πειρασμῶν, τῶν τε ἑκουσίων καὶ τοῦ ἐφ' ἡμῖν λόγου, καὶ τῶν ἀκουσίων καὶ οὐκ ἐφ' ἡμῖν, τῷ τοῖς μὲν δι' ἐγκρατείας ἀπομαραίνειν τὰς ἐπαναστάσεις, τῶν δὲ δι' ὑπομονῆς τὰς προσβολὰς ἀποσείεσθαι.*

*Διχόθεν γὰρ βαλλόμενοι, ὑπό τε δόξης καὶ ἀτιμίας, διέμενον ἄσειστοι, πρὸς ἄμφω ἀκινήτως ἔχοντες, μήτε ὕβρεσι τιτρωσκόμενοι διὰ τὴν ἑκουσίαν ὕφεσιν, μήτε δόξαν προσιέμενοι, δι' ὑπερβάλλουσαν πτωχείας οἰκείωσιν, ὅθεν οὐ θυμός, οὐ φθόνος, οὐκ ἔρις, οὐχ ὑπόκρισις, οὐ δόλος, οὐκ εἰρωνευτική τις καὶ ἐπίκλοπος τῷ φαινομένῳ πλάσματι δι' ἀπάτης ὑποσύρουσα πρὸς ἄλλο στοργή, τὸ πάντων παθῶν ὀλεθριώτατον, οὐκ ἐπιθυμία τῶν κατὰ τὸν βίον δοκούντων εἶναι λαμπρῶν, οὔτε τι ἕτερον τῆς πονηρᾶς τῶν παθῶν πληθύος, οὐκ ἀπειλαὶ παρ' ἐχθρῶν ἐπανατεινόμεναι, οὐδέ τις θανάτου τρόπος αὐτῶν ἐκυρίευσε. Διὸ καὶ μακάριοι δικαίως παρά τε Θεῷ καὶ ἀνθρώποις ἐκρίθησαν, ὅτι τῆς φανησομένης ἀρρήτου καὶ περιφανοῦς δόξης κατὰ τὴν χάριν τοῦ μεγάλου δώρου Θεοῦ ἐμφανεῖς εἰκόνας ἑαυτοὺς κατέστησαν, ἵνα, χαίροντες ὡς γνωρίμοις τοῖς λόγοις τῶν ἀρετῶν, μᾶλλον δὲ Θεῷ, ὑπὲρ οὗ καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκοντες διεκαρτέρησαν, ἑνωθῶσιν, ἐν ᾧ πάντων οἱ λόγοι τῶν ἀγαθῶν, ὥσπερ πηγῇ ἀειβλύστῳ, προϋφεστήκασί τε κατὰ μίαν, ἁπλῆν καὶ ἑνιαίαν τῶν πάντων περιοχήν, καὶ πρὸς ὃν ἕλκουσι πάντας τοὺς καλῶς καὶ κατὰ φύσιν ταῖς ἐπὶ τούτῳ δοθείσαις χρωμένους δυνάμεσι.*

ἔχουν κοινὴ διάθεση ἀγάπης πρὸς ὅλο τὸ γένος, ἀπὸ τὴν ὁποία ὁδηγήθηκαν στὸ νὰ ἐφαρμόσουν σταθερὰ τὴν ἐξαιρετικότερη ἀπὸ ὅλες τὶς ἀρετές, έννοῶ τὴν ταπείνωση, σ' ὅλη τὴ ζωή τους, ἀρετὴ ποὺ φυλάει τὰ ἀγαθὰ καὶ καταστρέφει τ' ἀντίθετα, καὶ ἔγιναν τελείως ἀνάλωτοι ἀπὸ τοὺς πειρασμοὺς ποὺ τοὺς ἐνοχλοῦσαν, καὶ τοὺς ἑκούσιους ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς, καὶ τοὺς ἀκούσιους ποὺ δὲν ἐξαρτῶνται ἀπὸ ἐμᾶς· τῶν πρώτων καταλάγιασαν τὶς ἐπαναστάσεις μὲ τὴν ἐγκράτεια, ἐνῶ τῶν ἄλλων ἀπέκρουσαν τὶς προσβολὲς μὲ τὴν ὑπομονή.

Πράγματι, δεχόμενοι χτυπήματα καὶ ἀπὸ τὶς δύο μεριές, καὶ ἀπὸ τὴ δόξα καὶ ἀπὸ τὴν ἀτιμία, παρέμειναν ἀκλόνητοι, στέκοντας ἑδραῖοι καὶ πρὸς τὰ δύο, χωρὶς νὰ πληγώνονταν ἀπὸ τὶς βρισιὲς ἐξαιτίας τῆς ἑκούσιας ταπείνωσης, οὔτε νὰ ἐπιθυμοῦσαν τὴ δόξα, ἐπειδὴ ἦταν ὑπερβολικὰ ἐξοικειωμένοι μὲ τὴ φτώχεια. Γι' αὐτὸ δὲν τοὺς ὑπέταξε οὔτε ὁ θυμός, οὔτε ὁ φθόνος, οὔτε ἡ φιλονεικία, οὔτε ἡ ὑποκρισία, οὔτε ὁ δόλος, οὔτε καμμιὰ ψεύτικη στοργὴ ποὺ κλέβει μὲ τὰ πλαστὰ φαινόμενα καὶ σέρνει μὲ ἀπάτη πρὸς κάτι ἄλλο, τὸ πιὸ ὀλέθριο ἀπὸ ὅλα τὰ πάθη, οὔτε καμμιὰ ἐπιθυμία ἐκείνων ποὺ θεωροῦνται στὴ ζωή μας λαμπρά, οὔτε κανένα ἄλλο ἀπὸ τὸ πονηρὸ πλῆθος τῶν παθῶν, οὔτε ἀπειλὲς ποὺ μᾶς ἐκτοξεύουν οἱ ἐχθροί μας, οὔτε κάποιο εἶδος θανάτου. Γι' αὐτὸ καὶ θεωρήθηκαν δίκαια ἀπὸ τὸ Θεὸ καὶ τοὺς ἀνθρώπους μακάριοι, γιατὶ ἔκαναν τοὺς ἑαυτούς τους εἰκόνες φανερὲς τῆς μέλλουσας ἄρρητης καὶ περίλαμπρης δόξας σύμφωνα μὲ τὴ χάρη τοῦ μεγαλόδωρου Θεοῦ, ὥστε γεμάτοι χαρὰ νὰ ἑνωθοῦν μὲ τοὺς γνωστοὺς λόγους τῶν ἀρετῶν, ἢ καλύτερα μὲ τὸ Θεό, γιὰ χάρη τοῦ ὁποίου πέρασαν καρτερικὰ τὴ ζωή τους πεθαίνοντας καθημερινά, μέσα στὸν ὁποῖο προϋπάρχουν ὅλοι οἱ λόγοι τῶν ἀρετῶν, σὰν σὲ πηγὴ ποὺ ἀναβλύζει ἀδιάκοπα, σὲ ἕνα ἁπλὸ καὶ ἑνιαῖο ἀγκάλιασμα ὅλων, καὶ πρὸς τὸν ὁποῖο ἕλκουν ὅλους ἐκείνους ποὺ χρησιμοποιοῦν ὀρθὰ καὶ σύμφωνα μὲ τὴ φύση τὶς δυνάμεις ποὺ τοὺς δόθηκαν γι' αὐτό.

## Ο'

*Ἐκ τοῦ μβ' λόγου τοῦ Θεολόγου περὶ ὧν ἐμνήσθη τοῦ μακαρίου Ἰώβ, εἰς τό, «Τὰ δὲ ἑξῆς μικρά, καὶ μικρῶν ἕνεκεν οἰκονομηθέντα».*

*Τῇ γενομένῃ παρὰ τοῦ Θεοῦ τῷ Ἰὼβ ἀναρρήσει, ὡς οἶμαι, συγκρίνων τὰ μετὰ τοὺς ἀγῶνας τῶν πειρασμῶν δοθέντα σωματικὰ μικρὰ προσηγόρευσεν, ὡς κατ' οὐδένα τρόπον τοῖς αἰωνίοις δυνάμενα παραβάλλεσθαι. «Μικρῶν δὲ ἕνεκεν οἰκονομηθέντα» φησί, τῶν περὶ διάνοιαν γνωστικὴν δηλονότι μικρῶν, τῶν εὐχερῶς ἐν τοῖς περὶ προνοίας καὶ κρίσεως λόγοις σκανδαλιζομένων, καὶ περὶ αὐτὴν τὴν εὐσέβειαν σαλευομένων. Περὶ ὧν οἶμαι τὸν Κύριον ἐν τοῖς Εὐαγγελίοις φάναι, «ὁ σκανδαλίζων ἕνα τῶν μικρῶν τούτων», οἳ ὅταν ἴδωσι δίκαιον ἀσθενοῦντα ἢ πτωχεύοντα ἢ ἄλλως κακουχούμενον (καὶ σχεδὸν οἵγε ἀσθενέστεροι ἄδειαν τοῦ παντὸς κατακρίνουσι, πόσῳ μᾶλλον ἐν τῇ ἀθρόᾳ μεταβολῇ τοῦ Ἰώβ, ὡμολογημένως δίκαιον πᾶσιν ὑπειλημμένου;) εἶχον τοῦτο παθεῖν, εἰ μὴ πρὸς τὸ ἀρχαῖον αὐτῷ σωματικῶς κατὰ τὸ διπλάσιον ἐπανῆλθε τὸ περιφανὲς καὶ ἐπίδοξον. Περὶ τούτων οὖν εἴρηται τῷ διδασκάλῳ, «μικρῶν ἕνεκεν οἰκονομηθέντα».*

## ΟΑ'

*Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, «Καθαίρει μὲν τὸ ἱερὸν τῶν θεοκαπήλων καὶ χριστεμπόρων, πλὴν ὅσον οὐ φραγγελλίῳ πλεκτῷ, λόγῳ δὲ πιθανῷ τοῦτο ἐργάζεται».*

*Οὔτε στυπτικώτερον ἐν τούτοις, ὥς τινες ὑπειλήφασι, τοῦ μακαρίου πατρὸς Ἀθανασίου τὸν Κύριον ἡμῶν καὶ Θεὸν ἀποδείκνυσιν ὁ ἀοίδιμος οὗτος διδάσκαλος, μὴ γένοιτο, οὔτε μὴν καταχαρίζεται τῷ ἁγίῳ Ἀθανασίῳ τῷ τὸν μὲν φραγγελλίῳ, τὸν δὲ λόγῳ χρησάμενον, καθαίρειν τὸ ἱερὸν τῶν θεοκαπήλων εἰ-*

33. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, *Ἐγκώμιον εἰς Μ. Ἀθανάσιον*, 18, ΕΠΕ 6, 64.
34. Ἰὼβ 8,7.
35. Μάρκ. 9,12. 36. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, ὅ. π., σ. 84. 37. Ματθ. 21,12.

## 70

Ἀπὸ τὸν τεσσαρακοστὸ δεύτερο λόγο τοῦ Θεολόγου[33] σχετικὰ μὲ ὅσα ἀναφέρει γιὰ τὸν μακάριο Ἰὼβ στὸ χωρίο, «τὰ ἀκόλουθα εἶναι μικρὰ καὶ γιὰ μικροὺς οἰκονομήθηκαν»[34].

Στὴν ἀναγόρευση ποὺ ἔκανε ὁ Θεὸς στὸν Ἰώβ, νομίζω, συγκρίνοντας τὰ ὑλικὰ ἀγαθὰ ποὺ τοῦ ἔδωσε ἔπειτα ἀπὸ τοὺς ἀγῶνες ἐναντίον τῶν πειρασμῶν τὰ ὀνόμασε μικρά, ἐπειδὴ δὲν μποροῦν νὰ παραβληθοῦν μὲ κανένα τρόπο μὲ τὰ αἰώνια. «Καὶ ἔχουν οἰκονομηθεῖ γιὰ μικρούς», λέει, γιὰ μικροὺς δηλαδὴ σχετικὰ μὲ τὴ διανοητικὴ γνωστικὴ ἱκανότητα, γι' αὐτοὺς ποὺ σκανδαλίζονται εὔκολα ὡς πρὸς τοὺς λόγους περὶ πρόνοιας καὶ κρίσης καὶ ταλαντεύονται στὴν εὐσέβειά τους. Γι' αὐτοὺς νομίζω λέει ὁ Κύριος στὰ Εὐαγγέλια «ὅποιος σκανδαλίζει ἕναν ἀπὸ αὐτοὺς τοὺς μικρούς»[35], οἱ ὁποῖοι ὅταν δοῦνε ἕνα δίκαιο ν' ἀσθενεῖ ἢ νὰ στερεῖται ἢ νὰ κακουχεῖται μὲ ἄλλο τρόπο (καὶ οἱ ἀσθενέστεροι δὲν ἀφήνουν σχεδὸν κανένα νὰ μὴν κατακρίνουν, πόσο μᾶλλον στὴν ἀνεπάντυχη μεταβολὴ τῆς τύχης τοῦ Ἰώβ, ποὺ ὁμολογημένα τὸν θεωροῦσαν ὅλοι δίκαιο;) θὰ μποροῦσαν νὰ πάθουν αὐτὸν τὸ σκανδαλισμό, ἂν δὲν ξαναγύριζε στὸ διπλάσιο σ' αὐτὸν ὅλη ἡ ἀρχαία ὑλικὴ λαμπρότητα κι ἡ δοξα. Γι' αὐτοὺς λοιπὸν εἶπε ὁ δάσκαλος «ἔχουν οἰκονομηθεῖ γιὰ μικρούς».

## 71

Ἀπὸ τὸν ἴδιο λόγο[36] στὸ «Καθαρίζει τὸ ἱερὸ ἀπὸ τοὺς θεοκάπηλους καὶ χριστέμπορους[37], ὄχι ὅμως μὲ πλεγμένο φραγγέλιο, ἀλλὰ τὸ πετυχαίνει αὐτὸ μὲ λόγο πειστικό».

Δὲν ἀποδεικνύει, μὴ γένοιτο, ὁ ἀοίδιμος αὐτὸς δάσκαλος τὸν Κύριο καὶ Θεό μας, ὅπως νομίζουν μερικοί, μὲ αὐτὰ πιὸ αὐστηρό ἀπὸ τὸ μακάριο πατέρα μας Ἀθανάσιο, οὔτε ὅμως καὶ κάνει χάρη στὸν ἅγιο Ἀθανάσιο μὲ τὸ νὰ πεῖ, ὅτι ὁ Κύριος καθάρισε μὲ τὸ φραγγέλιο τὸ ἱερὸ ἀπὸ τοὺς θεοκάπηλους, ἐνῶ ὁ ἄλλος χρησιμοποίησε τὸ λόγο. Ἀπὸ αὐτὰ προκύπτει ἡ ἀνάγκη,

*πεῖν. Ὡς ἀνάγκην ἐκ τούτων εἶναι, κατὰ τοὺς λέγοντας, δυοῖν θάτερον ὑποληφθῆναι, ἢ τὸν Κύριον ἡμῶν καὶ Θεὸν τὴν προσηνεστέραν ἠγνοηκέναι μέθοδον τῆς ἰατρείας, ἢ τὸν ἅγιον Ἀθανάσιον μὴ γινώσκοντα τῆς πνευματικῆς ἐπιμελείας τοὺς τρόπους φιλανθρωπίαν ἄκαιρον μετιέναι. Ἀλλ' ἐπειδὴ ὁ διαγνωστικὸς λόγος ὧν πεπράχαμεν ἐν ἡμῖν ἀνακινούμενος, οἷον ἱερῷ τινι ἐμψύχῳ τε καὶ ζῶντι, ἀναλογοῦσαν τοῖς πλημμεληθεῖσι μεταμέλειαν ἐργάζεται, δι' ἧς Χριστὸς ὁ Θεὸς καὶ Λόγος ἀεὶ τύπτει ἡμᾶς ἁμαρτάνοντας, πλεκτὸν ὥσπερ ἔχων φραγέλλιον, αὐτὴν ἡμῶν τὴν ἐξ ἀτόπων ἐννοιῶν συμπεπλεγμένην καὶ ἔργων συνείδησιν, ὁ δὲ ἅγιος Ἀθανάσιος ἠπίως τοὺς πταίοντας ἐνῆγε πρὸς διόρθωσιν, ὡς καὶ αὐτὸς ἀσθενείας σάρκα περικείμενος, τούτου χάριν τῷ τρόπῳ τούτῳ τῷ λόγῳ χρῆσθαι τὸν θεόφρονα τοῦτον οἶμαι διδάσκαλον.*

### *ΟΒ'*

*Τοῦ αὐτοῦ ἐκ τοῦ σχεδιασθέντος πρὸς Εὐνομιανοὺς λόγου, εἰς τό, «Εἰσὶ γάρ, εἰσί τινες οἱ τὴν ἀκοὴν κνηθόμενοι καὶ τὴν γλῶτταν».*

***Φασὶν οἱ περὶ λόγους ἐσχολακότες καὶ τὰς αὐτῶν ἀκριβεῖς σημασίας γινώσκειν, κλέος οὐ τὸ τυχὸν ποιησάμενοι, καὶ ἑκάστῳ πράγματι φωνὴν πρόσφορον δεῖν ἀπονέμεσθαι, παραστατικὴν τῆς πρὸς ὁτιοῦν ἄλλου τοῦ σημαινομένου, καθ' ὅντινα τρόπον τύχοι λεγόμενον, ἀμιγοῦς ἰδιότητος, καλῶς ἔχειν ἀποφηνάμενοι, «κνηθομένους δὲ τὴν ἀκοὴν καὶ τὴν γλῶσσαν» εἶναι τοὺς καινότερόν τι μανθάνειν ἢ λέγειν ἐθέλοντας, καὶ ἀεὶ ταῖς καινοτομίαις χαίροντας, καὶ ὅρια μετατιθεμένους, γραφικῶς εἰπεῖν, ἃ ἔθεντο οἱ πατέρες αὐτῶν, καὶ τοῖς προσφάτοις καὶ ξένοις ἡδομένους, καὶ τῶν συνήθων καὶ πάλαι γνωρίμων καὶ ὡσαύτως ἐχόντων ὡς ἑώλων καὶ πεπατημένων καὶ μηδενὸς ἀξίων, κατεξανισταμένους, καὶ μᾶλλον τὰ νεαρώτερα προσδε-***

38. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΚΖ' *Πρὸς Εὐνομιανούς, Θεολογικὸς α'*, ΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 4, σ. 10.

39. Β' Τιμ. 4,3.

σύμφωνα μ' αὐτοὺς ποὺ τὸ λένε, νὰ ὑποτεθεῖ ἕνα ἀπὸ τὰ δύο· ἢ ὅτι ὁ Κύριος καὶ Θεός μας ἀγνοοῦσε τὴν ἠπιότερη μέθοδο τῆς θεραπείας, ἢ ὅτι ὁ ἅγιος Ἀθανάσιος, ἐπειδὴ δὲ γνώριζε τοὺς τρόπους τῆς πνευματικῆς ἐπιμέλειας, ἀσκοῦσε ἄκαιρη φιλανθρωπία. Ἐπειδὴ ὅμως ὁ Λόγος ποὺ διαχωρίζει ὅσα πράξαμε ἐνεργοποιούμενος μέσα μας, σὰν σὲ ἕνα ἱερὸ ἔμψυχο καὶ ζωτικό, προκαλεῖ μεταμέλεια ἀνάλογη μὲ τὰ πλημμελήματά μας, μὲ τὴν ὁποία ὁ Χριστὸς ὁ Θεὸς καὶ Λόγος, μᾶς χτυπᾶ πάντοτε ὅταν ἁμαρτάνομε, σὰ νὰ κρατᾶ πλεχτὸ φραγγέλλιο, κρατώντας τὴν ἴδια τὴ συνείδησή μας τὴν πλεγμένη ἀπὸ ἄτοπες ἔννοιες καὶ ἔργα, ἐνῶ ὁ ἅγιος Ἀθανάσιος ὁδηγοῦσε ἤπια στὴ διόρθωση ὅσους ἔσφαλλαν, ἐπειδὴ φοροῦσε κι ὁ ἴδιος τὴν ἀσθενὴ σάρκα, γι' αὐτὸ τὸ λόγο ὁ θεόφρων αὐτὸς δάσκαλος χρησιμοποιεῖ νομίζω τὸ λόγο μ' αὐτὸν τὸν τρόπο.

## 72

### Τοῦ ἰδίου ἀπὸ τὸν αὐτοσχέδιο λόγο πρὸς τοὺς Εὐνομιανοὺς[38] στό, «Ὑπάρχουν, ναὶ ὑπάρχουν μερικοὶ ποὺ ἐρεθίζεται ἡ ἀκοὴ καὶ ἡ γλώσσα τους»[39].

Λένε ὅσοι ἀσχολήθηκαν μὲ λόγους καὶ γνωρίζουν τὶς ἀκριβεεῖς σημασίες τους, ἀποχτῶντας ἀπὸ αὐτὸ ὄχι τυχαία φήμη, ὅτι πρέπει σὲ κάθε πράγμα ν' ἀπονέμεται τὸ κατάλληλο ὄνομα, ποὺ νὰ παριστάνει τὴν ξεχωριστὴ σημασία του σὲ σχέση μὲ ὁποιοδήποτε ἄλλο σημαινόμενο μὲ ὅποιο τρόπο κι ἂν τύχει νὰ λέγεται, καὶ τὸ λένε καλά. Αὐτοὶ ποὺ ἐρεθίζεται ἡ ἀκοὴ καὶ ἡ γλώσσα τους εἶναι ὅσοι θέλουν νὰ μαθαίνουν ἢ νὰ λένε καὶ χαίρονται πάντοτε μὲ κάποια πρωτοτυπία καὶ «ποὺ μεταθέτουν τὰ ὅρια», γιὰ νὰ μιλήσω τὴ γλώσσα τῆς Γραφῆς, ποὺ ἔθεσαν οἱ πατέρες τους, ποὺ εὐχαριστιοῦνται μὲ τὰ πρόσφατα καὶ παράξενα, καὶ κυριολεκτικὰ ἐπαναστατοῦν ἐνάντια στὰ συνηθισμένα κι ἀπὸ παλιὰ γνωστὰ καὶ ἀμετάβλητα, σὰν νὰ εἶναι ἀπηρχαιωμένα καὶ χιλιοειπωμένα καὶ ποὺ δὲν ἔχουν καμμιὰ ἀξία, καὶ μὲ πιὸ πολλὴ χαρὰ ἀποδέχονται τὰ πιὸ καινούργια, κι ἂν ἀκόμα τύ-

*χομένους ἀσπασίως, κἂν ψευδῆ τύχοιεν ὄντα, καὶ μηδεμίαν εἰς ψυχὴν διαβαίνουσαν ὠφέλειαν ἔχοντα. Ὑπὲρ ἧς μάλιστα πᾶς εὐσεβὴς λόγος καὶ πόνος σωτήριος ᾄδεταί τε καὶ γράφεται καὶ ἐπιτηδεύεται, ὁ μὲν κατὰ τῆς ἀγνωσίας, ὁ δὲ κατὰ τῆς ἡδονῆς ὁπλιζόμενος, ὁ μὲν ἵνα τῆς ἀγνοίας ἐκτεμὼν τὰ πηρώματα τῆς ψυχῆς οἰκειώσῃ Θεῷ διὰ γνώσεως τὴν ἀλήθειαν ἔχοντας, τοὺς διὰ τοῦτο τοῖς μαθήμασι χαίροντας, καὶ τῶν ὁρωμένων τε καὶ νοουμένων ὑπεράνω τὸν νοῦν παραπέμψας, θέλξῃ τῷ ἀρρήτῳ τῆς θείας καλλονῆς ἔρωτι καὶ προσηλώσῃ τῷ πόθῳ μηδαμοῦ φέρεσθαι δυνάμενον, μᾶλλον δὲ δυνηθῆναι μὴ ἀνεχόμενον· ὁ δὲ ἵνα τῆς καθ' ἡδονὴν σχέσες τοὺς ἥλους ἐκκρούσηται οἷς ὁ περὶ Θεὸν τῆς ψυχῆς πόθος τε καὶ τόνος ἐκ τῆς ἀρχαίας παρακοῆς πρὸς τὴν ὕλην ἐνεπάγη καὶ τὰ φθειρόμενα, καὶ ἀπαλλάξῃ κακιας τοὺς ἐνεσχημένους, καὶ ἀρετῆς ποιήσειε φοιτητὰς γνησίους, καὶ ἄσειστον πρὸς πάντα τὰ κωλύειν δοκοῦντα τῆς ψυχῆς πρὸς μὲν ἀποστροφὴν ἡδονῆς, διὰ τῶν ἐφ' ἡμῖν ἀτόπων ἀπατηλῶς σαινούσης καὶ μαλασσούσης τὸ στερρὸν τῆς γνώμης, καὶ πειθούσης προαιρεῖσθαι τὰ παρόντα τῶν μελλόντων, καὶ τὰ ὁρώμενα τῶν νοουμένων, ἐγκράτειαν, πρὸς δὲ φόβου καὶ δειλίας ἀπόθεσιν, δι' αὐτῶν οὐκ ἐφ' ἡμῖν τὰ ἀνήκεστα καὶ ἀνθρωπίνης εἶναι δοκοῦντα κρείττονα δυνάμεως ὑποτιθεμένων, καὶ βίᾳ κρατεῖν διὰ τῆς τῶν φοβερῶν ἐπαγωγῆς τοῦ σώφρονος λογισμοῦ μηχανωμένων, ὑπομονὴν καὶ τὴν ἐκ τούτων συμπληρουμένην ἀνδρείαν, τὴν πρὸς πᾶσαν ἡδονὴν τῶν ἐφ' ἡμῖν καὶ ὀδύνην τῶν οὐκ ἐφ' ἡμῖν ἀνένδοτον καὶ ἀήττητον ἕξιν.*

*«Κνηθομένους δὲ τὴν ἀκοὴν καὶ τὴν γλῶσσαν» ἐκάλεσεν ὁ διδάσκαλος τοὺς περὶ ὧν ὁ λόγος, ἐπειδὴ πᾶς λόγος διὰ γλώσσης καλεῖσθαί τε καὶ προφέρεσθαι καὶ δι' ἀκοῆς ἀκούε-*

χει νὰ εἶναι ψεύτικα καὶ νὰ μὴν ἔχουν καμμιὰ ὠφέλεια ποὺ νὰ εἰσχωρεῖ στὴν ψυχή, γιὰ τὴν ὁποία κατεξοχὴ ψάλλομε καὶ γράφομε κάθε εὐσεβὴ λόγο καὶ μόχθο σωτήριο καὶ καταγινόμαστε μ' αὐτὸν κι ὁπλιζόμαστε ὁ ἕνας κατὰ τῆς ἀγνωσίας κι ὁ ἄλλος κατὰ τῆς ἡδονῆς. Ὁ ἕνας γιὰ νὰ ἀφαιρέσει τὶς ἀναπηρίες τῆς ψυχῆς καὶ νὰ οἰκειώσει μὲ τὸ Θεὸ μέσω τῆς γνώσης τοὺς κάτοχους τῆς ἀλήθειας, ποὺ γι' αὐτὸ χαίρονται τὰ μαθήματα, καὶ παραπέμποντας τὸ νοῦ τους πάνω ἀπὸ ὅσα βλέπομε καὶ νοοῦμε, νὰ τὸν γοητεύσει μὲ τὸν ἄρρητο ἔρωτα τῆς θείας καλλονῆς, καὶ μὲ τὸν πόθο νὰ τὸν προσηλώσει, ὥστε νὰ μὴν μπορεῖ νὰ μεταβεῖ πουθενὰ ἀλλοῦ, ἢ καλύτερα νὰ μὴν ἀνέχεται ἐνῶ θὰ μπορεῖ. Ὁ ἄλλος γιὰ νὰ βγάλει τὰ καρφιὰ τῆς σχέσης μὲ τὴν ἡδονή, μὲ τὰ ὁποῖα στερεώθηκε στὴν ὕλη καὶ τὰ φθειρόμενα ὁ πόθος καὶ ἡ τάση τῆς ψυχῆς γύρω ἀπὸ τὸ Θεὸ ἐξαιτίας τῆς ἀρχαίας παρακοῆς, καὶ ν' ἀπαλλάξει ἀπὸ τὴν κακία τοὺς αἰχμαλώτους της καὶ νὰ τοὺς κάνει γνήσιους ἀναζητητὲς τῆς ἀρετῆς καὶ νὰ σφυρηλατήσει ἀκλόνητη τὴν οἰκείωση τῆς ψυχῆς πρὸς τὸ καλὸ σὲ σχέση μὲ ὅλα αὐτὰ ποὺ φαίνονται νὰ ἐμποδίζουν, διδάσκοντας ἀποστροφὴ τῆς ἡδονῆς, ποὺ μὲ τὰ ἄτοπα ποὺ ἔχομε μέσα μας μᾶς κολακεύει ἀπατηλὰ καὶ μαλακώνει τὴ σταθερότητα τῆς γνώμης μας καὶ μᾶς πείθει νὰ προτιμοῦμε τὰ παρόντα ἀπὸ τὰ μελλοντικὰ καὶ τὰ βλεπόμενα ἀπὸ τὰ νοούμενα, καθὼς καὶ ἐγκράτεια καὶ τὴν ἀπόθεση τοῦ φόβου καὶ τῆς δειλίας. Αὐτὰ μᾶς ὑποβάλλουν ὅτι δὲν εἶναι στὴν ἐξουσία μας ὅσα θεωροῦνται πὼς εἶναι ἀθεράπευτα κι ἀνώτερα ἀπὸ τὴν ἀνθρώπινη δύναμη καὶ μηχανεύονται τρόπους ἐκβιαστικοὺς μὲ προβολὴ τῶν φοβερῶν γιὰ νὰ αἰχμαλωτίσουν τὸ φρόνιμο λογισμό. Καὶ ἀκόμα διδάσκοντας ὑπομονὴ καὶ ἀνδρεία ποὺ συνιστοῦν ὅλ' αὐτά, τὴν ἱκανότητα τὴν ἀνυποχώρητη καὶ ἀείττητη πρὸς κάθε ἡδονὴ ποὺ ἐξουσιάζομε καὶ κάθε ὀδύνη ποὺ δὲν εἶναι στὴν ἐξουσία μας.

«Ἐρεθιζόμενους στὴν ἀκοὴ καὶ τὴ γλῶσσα» κάλεσε ὁ δάσκαλος αὐτοὺς γιὰ τοὺς ὁποίους γίνεται ὁ λόγος, ἐπειδὴ κάθε λόγος εἶναι στὴ φύση του νὰ λέγεται καὶ προφέρεται μὲ τὴ

*σθαί τε καὶ μανθάνεσθαι πέφυκεν. Εἰ δὲ καὶ κατ᾽ ἄλλην ἐπιβολὴν ἐκδέχεσθαι θελήσομεν τὸ λεγόμενον, «κνηθόμενοι τὴν ἀκοὴν καὶ τὴν γλῶσσαν», τυχὸν οἱ μόνον πρὸς ψόγον καὶ τῆς κατ᾽ ἄλλων διαβολῆς ἢ λοιδορίας ἀκούειν τε καὶ καλεῖν προθυμούμενοι, καὶ τὸ κατὰ παντὸς ἀμαθῶς ἐπαίρεσθαι λόγου τε καὶ ἀνδρὸς σεμνολόγημα κρίνοντες, καὶ πρὸ τοῦ τι φάναι τὸν ὕποπτον αὐτοῖς καὶ φθονούμενον σφαδάζοντες τῷ πνεύματι καὶ οἷον τὴν ψυχὴν προωθοῦντες καὶ τὴν ἀκοὴν ἑτοιμάζοντες καὶ τὴν γλῶσσαν πρὸς θήραν τινὸς συλλαβῆς ἢ λέξεως, οὐχ ἵνα εὐθυμῶσιν, ἀλλ᾽ ἵνα κακίσωσι καὶ ὕλην ἔχωσι τῆς κατ᾽ αὐτοῦ γλωσσαλγίας.*

*Ὅπερ ἐποιοῦντο τῷ ἁγίῳ τούτῳ ἀνδρὶ οἱ κατ᾽ ἐκεῖνο καιροῦ τῆς ἀληθείας ἐχθροί, προπηδῶντες καὶ προεξανιστάμενοι καὶ πρὶν λεχθῆναι τῶν λεγομένων· καθάπερ τῶν ἵππων τοὺς πολεμιστηρίους τε καὶ ἁμιλλητηρίους, οἳ καὶ πρὸ τῶν ἀγώνων καὶ τῆς σάλπιγγος εὐθυτενῆ τὰ ὦτα ποιοῦσι, καὶ τοὺς πόδας τῇ γῇ προσαράσσουσι, καὶ προσκνήθονται ταύτην ταῖς ὁπλαῖς, καὶ πρὸς δρόμον ἑαυτοὺς διεγείρουσι, καὶ τὴν ὠθοῦσαν πολλάκις προλαμβάνοντες μάστιγα· πλὴν ὅτι τῶν ἵππων οὐδεὶς ἅπτεται ψόγος ὑπὸ τῆς φυσικῆς ἀλογίας, μὴ ἀναμενόντων τοὺς εὐθέτους τῶν ἀγώνων καιρούς, οὓς διασημαίνει ἥ τε φωνὴ τῆς σάλπιγγος καὶ ἡ τῆς μάστιγος πληγή, τοῖς δὲ τοιούτοις ἀνδράσιν οὐδείς ἐστιν ὁ πρὸς ἀξίαν τῆς αὐτῶν κακίας ἐπινοηθῆναι δυνάμενος ψόγος. Ἔργον ἔχουσι καὶ σπούδασμα τὴν μελέτην τοῦ ψεύδους καὶ τὴν κατὰ τῆς ἀληθείας ἔνστασιν. Εἰκότως οἱ τοιοῦτοι «κνηθόμενοι τὴν ἀκοὴν καὶ τὴν γλῶταν» λεγέσθωσαν, διότι καθάπερ τις χυμὸς δριμύτατός τε καὶ παχύτατος, τῷ βάθει τοῦ σώματος ἐμφωλεύων, πολλάκις διὰ τοῦ κνήθεσθαι πρὸς τὴν ἐπιφάνειαν ἐρεθιζόμενος ἐκδίδοται, οὕτω καὶ τοὺς ἐπηρεαστὰς τῶν καλῶς λεγομένων ἐρεθίζει λαβομένους ἀφορμῆς μάλιστα δημοσιεύειν τὴν κατὰ ψυχὴν κακουργίαν ἡ κεκρυμμένη διάθεσις, ἥτις τοσοῦτον τὸ βάθος κατέχειν πέφυκε μᾶλλον, ὅσον κε-*

γλώσσα καὶ ν' ἀκούεται καὶ νὰ μαθαίνεται μὲ τὴν ἀκοή. Ἂν θέλομε νὰ δώσομε κι ἄλλη ἑρμηνεία στὸ λεγόμενο, «ἐρεθιζόμενοι στὴν ἀκοὴ καὶ στὴ γλώσσα» εἶναι ἴσως ὅσοι εἶναι πρόθυμοι νὰ ψέξουν καὶ ν' ἀκούσουν καὶ νὰ ἐκφράσουν διαβολὴ ἐναντίον ἄλλων ἢ χλευασμό, θεωρώντας ὣς σεμνολόγημα τὸ νὰ δείχνουν σὰν ἀμαθεῖς περιφάνεια ἀπέναντι σὲ κάθε λόγο καὶ ἄνδρα, καὶ ποὺ προτοῦ τοὺς πεῖ κάτι ὁ ὕποπτος σ' αὐτοὺς ποὺ τὸν φθονοῦν, μὲ πνεῦμα ποὺ σφαδάζει καὶ σὰ νὰ σπρώχνουν τὴν ψυχή τους, προετοιμάζουν τὴν ἀκοὴ καὶ τὴ γλώσσα τους γιὰ τὸ κυνήγι μιᾶς συλλαβῆς ἢ μιᾶς λέξης, ὄχι γιὰ νὰ εὐθυμήσουν, ἀλλὰ γιὰ νὰ κακολογήσουν καὶ νὰ ἔχουν κάτι νὰ προσθέσουν στὸ χείμαρρο τοῦ ὑβρεολογίου τους.

Αὐτὸ ἔκαναν σὲ τοῦτον τὸν ἅγιο ἄνδρα οἱ ἐχθροὶ τῆς ἀλήθειας κατὰ τὴν ἐποχὴ ἐκείνη ποὺ πηδοῦσαν πρὶν τὴν ὥρα καὶ ξεσηκώνονταν ἐναντίον τῶν λεγομένων πρὶν ἀκόμα λεχθοῦν. Ὅπως τὰ πολεμικὰ καὶ ἀγωνιστικὰ ἄλογα, ποὺ πρὶν ἀπὸ τοὺς ἀγῶνες καὶ πρὶν ἀκούσουν τὴ σάλπιγγα ὀρθώνουν τ' αὐτιὰ καὶ χτυποῦν τὸ χῶμα μὲ τὰ πόδια τους καὶ τὸ σκάβουν μὲ τὶς θηλές τους καὶ διεγείρουν τὸν ἑαυτό τους γιὰ τὸ τρέξιμο καὶ πολλὲς φορὲς προλαβαίνουν καὶ τὸ προτρεπτικὸ μαστίγιο. Μόνο ποὺ τ' ἄλογα δὲν τ' ἀγγίζει καμμιὰ κατηγορία γιὰ τὴ φυσικὴ ἀλογία τους, γιατὶ δὲν περιμένουν τοὺς ὁρισμένους χρόνους τῶν χρόνων, ποὺ τοὺς φανερώνει τόσο τῆς σάλπιγγας ἡ φωνὴ ὅσο καὶ τὸ πλήγωμα τοῦ μαστιγίου· γιὰ τοὺς ἄνδρες ὅμως αὐτοὺς δὲν ὑπάρχει καμμιὰ κατηγορία ποὺ μπορεῖ νὰ ἐπινοηθεῖ ἀντάξια τῆς κακίας τους. Ἔργο καὶ μελέτημά τους ἔχουν τὸ ψεῦδος καὶ τὴν ἀντίσταση κατὰ τῆς ἀλήθειας. Δικαιολογημένα λοιπὸν ἂς λέγονται αὐτοὶ «ἐρεθιζόμενοι στὴν ἀκοὴ καὶ στὴ γλώσσα», ἐπειδὴ σὰν κάποιος χυμὸς ὁλόπικρος καὶ παχύρρευστος ποὺ φωλιάζει στὸ βάθος τοῦ σώματος, πολλὲς φορὲς μὲ τὸ ξύσιμο ἐρεθίζοντας βγαίνει στὴν ἐπιφάνεια. Ἔτσι κι αὐτοὺς ποὺ θέλουν νὰ βλάψουν ὅσα λέγονται καλὰ τοὺς ἐρεθίζει, ὅταν λάβουν ἀφορμή, νὰ φανερώνουν ἀναφανδὸν τὴν κρυμμένη διάθεση καὶ κακουργία τῆς ψυχῆς, ἡ ὁποία ἔχει τόσο ἔμφυτο νὰ κατέχει τὸ βά-

*νοῦσθαι τῇ προόδῳ κατὰ τὸ εἰκὸς ἔδοξεν. Οὐ γὰρ ἐξίσταται τοῦ βάθους προφερομένη διὰ τῶν ἔργων ἡ τῶν μοχθηρῶν ἀνθρώπων διάθεσις, ἀλλὰ καὶ τὰ ἐκτὸς πάντα μανικῶς ἐπινέμεται, καὶ τῆς κατὰ ψυχὴν οὐδαμῶς ἐξίσταται χώρας.*

## *ΟΓ'*

*Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό·*
*«Ὥσπερ ἄνθος ἐν χειμῶνι παντελῶς ἄωρον, καὶ γυναιξὶ κόσμος ἀνδρεῖος ἢ ἀνδράσι γυναικεῖος, ἢ πένθει γεωμετρία».*

*Τὴν ἐπὶ παντὸς λόγου τε καὶ πράγματος εὐταξίαν, καθ' ἣν τῆς ἑκάστου καὶ πάντων εὐπρεπείας ὁ λόγος ἀναφαίνεσθαι πέφυκεν ἀκραιφνής, διὰ τῆς τῶν ἀπεμφαινόντων ἀπαριθμήσεως εἰσηγούμενος, ταῦτά φησιν ὁ διδάσκαλος, ἵνα διὰ τούτων εὐτάκτους εἶναι καὶ εὐλαβεῖς τοὺς θρασεῖς καὶ ἀτάκτους καὶ μηδεμίαν τάξιν εἰδότας, οὐδενὸς μέν, μάλιστα δὲ τῆς περὶ Θεοῦ διαλέξεως, ἀλλὰ πάντα τολμηρῶς ἀλλήλοις παμμιγῶς τὰ διεστῶτα φύροντάς τε καὶ συγχέοντας διδάξειεν. Εἰ γὰρ τῶν οὐκ ἐχόντων φύσιν ἐστί, καὶ διὰ τοῦτο οὐδὲ τάξιν, τό τε ἄνθος ἐν χειμῶνι ὁρώμενον, καὶ γυναιξὶ κόσμος ἀνδρεῖος ἐπιβεβλημένος, καὶ ἀνδράσι γυναικεῖος, καὶ πένθει συνημμένην γεωμετρίαν λέγειν (τὸ μὲν γὰρ καινοτομεῖ τὸν χρόνον καὶ τῆς ἰδίας ἐξίσταται θέσεως, ὁ δὲ παραχαράττει τὴν φύσιν ἐναλλάξ, ἀνδρί τε καὶ γυναικὶ ἐπιφαινόμενος, καὶ τὴν αὐτοῖς προσοῦσαν ἐκ φύσεως τάξιν ἐξίστησιν, ἡ δὲ τὰ μηδέπω συνυπάρχειν ἀλλήλοις δυνάμενα, χαράν τέ φημι καὶ πένθος, εἰς ἓν ἀγαγεῖν βιαζομένη φύρει πάντως καὶ ἀφανίζει), οὐ πολλῷ μᾶλλον ὁ περὶ Θεοῦ λόγος, ὡς ἔτυχε καὶ ὑπὸ τοῦ τυχόντος, καὶ ἡνίκα καὶ οὗ μὴ καθῆκον ἔτι προφερόμενος, ἀειδὴς ἔσται καὶ ἀπρεπής, καὶ οὐδ' ὅλως ἀκουσθῆναι περὶ Θεοῦ ἄξιος, ἐφ' οὗ μᾶλλον τοσοῦτον τιθέναι δεῖν οἶμαι τὸ εὐ-*

40. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΚΖ' *Πρὸς Εὐνομιανούς*, Θεολογικὸς α' κ. 4, ΕΠΕ Ἅπαντα Γρηγορίου. Θεολόγου τ. 4, σ. 18.

41. Τὸ φαινόμενο λοιπὸν δὲν εἶναι τελείως νέο.

θος μᾶλλον, ὅσο κατὰ τὸ φυσικὸ φαίνεται μὲ τὴν πρόοδό της ν' ἀδειάζει. Γιατὶ δὲν βγαίνει ἀπὸ τὸ βάθος ἡ διάθεση τῶν μοχθηρῶν ὅταν ἐκδηλώνεται μὲ τὰ ἔργα, ἀλλὰ καὶ ὅλα τὰ ἔξω τὰ κατατρῶει μανιασμένα κι ἀπὸ τὴν περιοχὴ τῆς ψυχῆς δὲν ξεκολλᾶ καθόλου.

73

Ἀπὸ τὸν ἴδιο λόγο στό· «Ὅπως τὸ λουλούδι τὸ χειμώνα εἶναι τελείως ἄκαιρο, ἔτσι καὶ ὁ ἀνδρικὸς στολισμὸς στὶς γυναῖκες ἢ ὁ γυναικεῖος στοὺς ἄνδρες ἢ στὰ πένθη ἡ γεωμετρία»[40].

Αὐτὰ τὰ λέει ὁ δάσκαλος γιὰ τὴν τάξη σὲ κάθε λόγο καὶ πράγμα, ὅπου ἔχει στὴ φύση του ὁ λόγος τῆς εὐπρέπειας τοῦ καθενὸς καὶ τῶν ὅλων νὰ ἀναδεικνύεται γνήσιος μιλώντας γιὰ τὴν ἀπαρίθμηση τῶν ἀνόμοιων, ὥστε μ' αὐτὰ νὰ διδάξει νὰ εἶναι εὐπρεπεῖς καὶ εὐλαβεῖς οἱ θρασεῖς καὶ ἄτακτοι, ποὺ καμμιὰ τάξη δὲν γνωρίζουν γιὰ τίποτε καὶ κυρίως γιὰ τὸ διάλογο περὶ Θεοῦ, ἀλλὰ ἀνακατεύουν καὶ συγχέουν σὲ τολμηρὴ παμμειξία μεταξύ τους ὅλα τὰ ἄσχετα. Γιατὶ εἶναι ἔξω ἀπὸ τὴ φύση καὶ γι' αὐτὸ κι ἔξω ἀπὸ τὴν τάξη, νὰ βλέπεις ἄνθος τὸ χειμώνα, καὶ νὰ φοροῦνε οἱ γυναῖκες στολισμὸ ἀνδρικὸ καὶ οἱ ἄνδρες γυναικεῖο[41] καὶ νὰ λὲς ὅτι ἡ γεωμετρία συνάπεται μὲ τὸ πένθος (γιατὶ τὸ ἄνθος μεταβάλλει τὸ χρόνο καὶ βγαίνει ἀπὸ τὴ δική του θέση, ὁ στολισμὸς παραχαράζει διαδοχικὰ τὴ φύση, ὅταν τὸν βλέπομε στὸν ἄνδρα καὶ στὴ γυναίκα, καὶ ταράζει τὴν τάξη ποὺ ἔχουν ἀπὸ τὴ φύση· ἐνῶ ἡ γεωμετρία αὐτὰ ποὺ δὲν μποροῦν νὰ συνυπάρχουν ποτέ, τὴ χαρὰ καὶ τὸ πάθος, καθὼς βιάζεται νὰ τὰ όδηγήσει σὲ ἕνα, τ' ἀνακατεύει ὁπωσδήποτε καὶ τὰ ἀφανίζει), δὲν θὰ εἶναι πολὺ περισσότερο ἄσχημος καὶ ἄπρεπος ὁ λόγος περὶ Θεοῦ ὅταν ἐκστομίζεται ἔτσι τυχαῖα κι ἀπὸ τὸν τυχόντα καὶ ὅταν καὶ ὅπου δὲν ἁρμόζει, μὴ ὄντας ἄξιος καὶ ν' ἀκουστεῖ καθόλου περὶ Θεοῦ, γιὰ τὸν ὁποῖο πρέπει τόσο περισσότερο νὰ

*καιρον τοὺς νοῦν ἔχοντας, ὅσον πάντων ἀσυγκρίτως προβεβλημένων.*

*Πένθει δὲ γεωμετρίαν ἀνάρμοστόν φησιν ὁ διδάσκαλος. Ὁ δὲ μᾶλλον ἀπορεῖν ὑμᾶς πεποίηκεν, ὡς οἶμαι, κατὰ τοιούσδε τρόπους, ἢ ὅτι περ οἱ χώρας τινὸς διὰ στρατιωτικῆς κρατήσαντες χειρὸς γεωμετρίᾳ ταύτην καταδιαιροῦνται, ἡνίκα βασιλείας νόμῳ κρατεῖν ἐθέλωσι, χαρᾶς δὲ καὶ χρῆμα μέγιστον, χαρᾶς, τοῖς μόνα τὰ παρόντα μεταδιώκουσιν ἀγαθά, καὶ τὸ νικητὰς αὐτοὺς γενέσθαι, καὶ πλοῦτον ἀθρόον κτήσασθαι, οἷς τὸ οἱονοῦν πένθος συνεῖναι ἀμήχανον· ἢ ἐπειδή, φασίν οἱ περὶ ταῦτα δεινοί, τοὺς ἀναγκαστικοὺς ἰδίως συλλογισμοὺς ἀνῆφθαι τῇ γεωμετρίᾳ, φορτικός τις εἰκότως ὀφθήσεται, καὶ τὸ καθῆκον μὴ συνορῶν, τὸν πενθοῦντα συλλογιζόμενος καὶ ἀλόγως αὐτὸν πενθοῦντα δεῖξαι πειρώμενος· ἢ τυχὸν καὶ αὐτῷ τῷ πενθοῦντι φαίη τις ἀνάρμοστον εἶναι τὸ συλλογίζεσθαι, πιθανότητι λόγων ἑαυτὸν μηχανώμενος πείθειν ὡς οὐ πέπονθε τὴν ἔργῳ καὶ πράγματι συμβᾶσαν αὐτῷ συμφοράν, ἢ καὶ αὐτῷ τῷ πένθει, ἤτοι τῇ τούτου φύσει, παντελῶς ἐναντίον. Ἐκκρούεται γὰρ ὥσπερ τὸ πένθος ὁ πενθῶν συλλογιζόμενος, οὕτω καὶ τὸ πένθος τοῦ εἶναι πένθος ἐκπίπτει, πρὸς συλλογισμὸν μετατιθέμενον. Ἀποβαλὼν γάρ τις τὸν εἰς ὃν τὰς ἐλπίδας εἶχε τῆς διαδοχῆς, περιττὰ λοιπὸν ἡγεῖται τὰ τῇδε πάντα. Καὶ κατὰ τοῦτον ἴσως τὸν τρόπον οὐκ ἔξω λόγου φαίη τις εἶναι τὰ θεωρηθέντα, γνοὺς μὴ δύνασθαι συμβαίνειν ἀλλήλοις κατὰ τὸ αὐτὸ τὴν χαρὰν καὶ τὸ πένθος, τῆς ἑκατέρου ποιητικῆς αἰτίας οὐκ ἐκ τῶν αὐτῶν ἀρχῶν ἐχούσης δηλονότι τὰς ἀφορμάς.*

*Καὶ τούτων μάρτυς ἐχέγγυος ὁ ἅγιος καὶ θεόφρων Διονύσιος ὁ Ἀρεοπαγίτης, οὑτωσὶ διεξιὼν περὶ τῆς ἀγγελικῆς εἰκονογραφίας· «Τὰ δὲ γεωμετρικὰ καὶ τεκτονικὰ σκεύη, τὸ θεμελιωτικὸν καὶ οἰκοδομικὸν καὶ τελειωτικόν, καὶ ὅσα ἄλλα τῆς ἀναγωγοῦ καὶ ἐπιστρεπτικῆς ἐστι τῶν δευτέρων προνοίας». Ταῦτα δὲ πάντα φαιδρὰν ἐνδείκνυται διαγωγήν, ἥτινι πάντως*

---

**42.** ΔΙΟΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ, *Περὶ Ἐκκλ. Ἱεραρχίας*. Φιλοκαλία τ. 3.

ὑπολογίζουν τὸν κατάλληλο χρόνο ὅσοι ἔχουν νοῦ, ἀπὸ ὅσο σὲ ὅλα τὰ ἀσύγκριτα μεταξύ τους;

Μὲ τὸ πένθος δὲ συμβιβάζεται ἡ γεωμετρία, λέει ὁ δάσκαλος, καὶ μᾶς δημιούργησε μεγαλύτερη ἀπορία, νομίζω, μὲ τοὺς τρόπους αὐτούς, ἢ γιατὶ αὐτοὶ ποὺ κυρίεψαν μὲ στρατιωτικὴ δύναμη μιὰ χώρα τὴν τεμαχίζουν μὲ τὴ γεωμετρία, ὅταν θέλουν νὰ ἐπικρατοῦν μὲ τὸ νόμο τῆς βασιλείας, μέγιστο γεγονὸς χαρᾶς, χαρᾶς γιὰ ὅσους ἐπιδιώκουν μόνο τὰ παρόντα ἀγαθά, νὰ γίνουν νικητὲς καὶ ν' ἀποκτήσουν ἄφθονο πλοῦτο, στοὺς ὁποίους εἶναι ἀδύνατο νὰ συνυπάρχει τὸ οἱποιοδήποτε πένθος· ἢ ἐπειδή, λένε οἱ δεινοὶ σ' αὐτά, οἱ ἀποδεικτικοὶ συλλογισμοὶ ἔχουν ἀποδοθεῖ στὴ γεωμετρία, θὰ φανεῖ κάποιος πὼς εἶναι φορτικὸς καὶ πὼς δὲ βλέπει τὸ καθῆκον του, βάζοντας στοὺς συλλογισμούς του τὸν πενθοῦντα καὶ προσπαθῶντας νὰ ἀποδείξει ὅτι πενθεῖ παράλογα· ἢ ἴσως καὶ στὸν ἴδιο αὐτὸν ποὺ πενθεῖ θὰ ἔλεγε κάποιος πὼς εἶναι ἀνάρμοστο πράγμα ὁ συλλογισμός, μηχανευόμενος νὰ πείσει τὸν ἑαυτο του μὲ πιθανοὺς λόγους ὅτι δὲν ἔπαθε τὴ συμφορὰ ποὺ ὡστόσο τοῦ συνέβη μὲ ἔργο στὴν πράξη· ἢ ἐπειδὴ εἶναι καὶ στὸ ἴδιο τὸ πένθος, δηλαδὴ στὴν ἴδια τὴ φύση του, τελείως ἀντίθετο. Ὅπως λοιπὸν ἐκδιώκει τὸ πένθος μὲ τοὺς συλλογισμούς του αὐτὸς ποὺ πενθεῖ, ἔτσι καὶ τὸ πένθος παύει νὰ εἶναι πένθος ὅταν μετατραπεῖ σὲ συλλογισμό. Ὅταν δηλαδὴ χάσει κάποιος αὐτὸν ποὺ ἔλπιζε ὅτι θὰ γίνει διάδοχός του, στὸ ἑξῆς θεωρεῖ περιττὰ ὅλα τὰ ἐδῶ. Καὶ ἴσως σύμφωνα μ' αὐτὸν τὸν τρόπο θὰ ἔλεγε κάποιος πὼς δὲν εἶναι χωρὶς λογικὴ αὐτὰ ποὺ ἀναπτύξαμε, διαπιστώνοντας ὅτι εἶναι ἀσυμβίβαστα μεταξύ τους ἡ χαρὰ καὶ τὸ πένθος, ἀφοῦ οἱ αἰτίες ποὺ προκαλοῦν τὸ καθένα τους δὲν ἔχουν κοινὴ ἀρχή.

Μάρτυρας ἀξιόπιστος γι' αὐτὰ εἶναι ὁ ἅγιος καὶ θεόφρων Διονύσιος ὁ Ἀρεοπαγίτης, ἀναφέροντας γιὰ τὴν ἀγγελικὴ εἰκονογραφία τὰ ἑξῆς· «τὰ γεωμετρικὰ καὶ τεκτονικὰ ὄργανα, δηλαδὴ τὰ χρησιμοποιούμενα στὸ θεμέλιωμα, στὴν οἰκοδομὴ καὶ στὴν τελειοποίηση, καὶ ὅσα ἄλλα ἀνήκουν στὴν πρόνοια ποὺ ἀνυψώνει καὶ κατευθύνει τὰ δεύτερα»[42]. Ὅλα αὐτὰ δείχνουν μιὰ

*τὸ πένθος ἐναντίον, καὶ διὰ τοῦτο ἀνάρμοστον. Εἰ δὲ καὶ ἄλλως ἔστιν ἐκλαβεῖν τὸν τόπον, οὐκ ἄκαιρον εἶναι νομίζω, καὶ τὸ τοῦ Σιρὰχ Ἰησοῦ προσθεῖναι τοῖς εἰρημένοις. Ἔστι δὲ τοῦτο· «Μουσικὰ ἐν πένθει, ἄκαιρος διήγησις». Ὡς οὖν τῆς μουσικῆς πάσας περιεχούσης τὰς παιδεύσεις, ὧν μίαν φασὶ τὴν γεωμετρίαν οἱ περὶ ταῦτα τὴν σπουδὴν ἐσχηκότες, τούτου χάριν, ὡς οἶμαι, συμφερόμενος τῷ τὴν προρρηθεῖσαν ἐκθεμένῳ ῥῆσιν ὁ διδάσκαλος ἀνάρμοστον ἔφη τῷ πένθει τὴν γεωμετρίαν. Εἰ δέ τις φαίη, Τί δήποτε τὰς λοιπὰς παρεὶς παιδεύσεις, ταύτην μόνην ὡς ἀνάρμοστον τῷ πένθει παρείληφε; φαμὲν ὅτι ταύτην ἐσκόπησε κατάλληλον εἶναι πάσαις ταῖς προλεχθείσαις ἐπιβολαῖς. Ἔπειτα δὲ καὶ διὰ ταύτης τῆς μιᾶς καὶ αἱ λοιπαὶ συνεκδοχικῶς συμπαρελήφθησαν.*

*Ταῦτα μέν, κατ' ἐμὲ φάναι, λελέχθω. Εἰ δέ τις τὸ κρεῖττον ἐξεύροι, ὁμολογήσω χάριν τῶν ἠγνοημένων παρ' αὐτοῦ τὴν γνῶσιν λαβών.*

## ΟΔ'

*Τοῦ αὐτοῦ, ἐκ τοῦ μεγάλου θεολογικοῦ, εἰς τό· «Τοῦ μὲν γὰρ εἶναι Θεὸν καὶ τῶν πάντων ποιητικήν τε καὶ συνεκτικὴν αἰτίαν, καὶ ὄψις διδάσκαλος καὶ ὁ φυσικὸς νόμος, ἡ μὲν τοῖς ὁρωμένοις προσβάλλουσα καὶ πεπηγόσι καλῶς καὶ ὁδεύουσι, καὶ ἀκινήτως, ἵν' οὕτως εἴπω, κινουμένοις τε καὶ φερομένοις, ὁ δὲ διὰ τῶν ὁρωμένων καὶ τεταγμένων τὸν ἀρχηγὸν τούτων συλλογιζόμενος».*

*Ὁ τὸ μέγεθος τῶν ὁρωμένων ὡς ἔχει κάλλους καὶ φύσεως, σὺν λόγῳ κατὰ τὴν αἴσθησιν ἐπελθών, μὴ συγχωρῶν αὐτῇ παντελῶς καθ' ἑαυτὴν γενομένην ἐνεργεῖν τοῦ ἡνιοχοῦντος αὐτὴν λόγου ἐχωρισμένην οὐδέν, μηδὲ τὸν λόγον αὐτὸν τῆς τοῦ νοῦ ἁπλότητος ἄφετον, καθ' ὃν τῆς μὲν αἰσθήσεως τά τε εἴδη*

43. Ἐκκλ. 12,6.

44. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΚΗ' *Περὶ Θεολογίας, Θεολογικὸς β'* 6, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 4, σσ. 42–44.

χαρούμενη κατάσταση, στὴν ὁποία τὸ πένθος εἶναι ὁπωσδήποτε ἀντίθετο, καὶ γι' αὐτὸ εἶναι ἀνάρμοστο. Κι ἂν μποροῦμε νὰ δώσομε κι ἄλλο νόημα στὸ χωρίο, δὲν εἶναι ἄκαιρο νομίζω νὰ προσθέσομε σὲ ὅσα εἴπαμε καὶ τὸ λόγο τοῦ Ἰησοῦ Σειράχ. Κ' αὐτὸς εἶναι· «μουσικὸς σὲ πένθος εἶναι ἄκαιρη ἐπιλογή»[43]. Ἐπειδὴ δηλαδὴ ἡ μουσικὴ περιέχει ὅλα τὰ μαθήματα, κι ἕνα ἀπ' αὐτὰ λένε οἱ εἰδικοὶ πὼς εἶναι ἡ γεωμετρία, γι' αὐτὸ τὸ λόγο νομίζω συμφωνώντας ὁ δάσκαλος μ' αὐτὸν ποὺ διατύπωσε αὐτὴ τὴ σκέψη, εἶπε πὼς δὲν ἁρμόζει ἡ γεωμετρία στὸ πένθος. Κι ἂν ρωτοῦσε κάποιος, 'Γιατί, παραμελώντας τ' ἄλλα μαθήματα, μνημόνευσε ὡς ἀνάρμοστη τὴ γεωμετρία μόνο; θ' ἀπαντούσαμε ὅτι, αὐτὴ μόνο θεώρησε κατάλληλη γιὰ νὰ συνδυαστεῖ μὲ ὅσα προαναφέραμε. Ἔπειτα μὲ αὐτὴ τὴ μία ἐννοοῦνται συνεκδοχικὰ καὶ οἱ ἄλλες μαθήσεις.

Αὐτὰ εἶναι τὰ λεχθέντα κατὰ τὴ γνώμη μου. Κι ἂν κάποιος βρεῖ τὸ καλύτερο, θὰ τοῦ ἐκφράσω τὶς εὐχαριστίες μου ποὺ θὰ μοῦ μάθει αὐτὰ ποὺ δὲ γνωρίζω.

## 74

Τοῦ ἰδίου ἀπὸ τὸ μεγάλο θεολογικό του στὰ λεγόμενα· «Γιὰ τὸ ὅτι εἶναι Θεὸς καὶ αἰτία δημιουργικὴ καὶ συνεκτικὴ τῶν ὅλων εἶναι δάσκαλος καὶ ἡ ὅρασή μας καὶ ὁ φυσικὸς νόμος· τὰ μάτια μας, γιατὶ παρατηροῦν ὅσα φαίνονται, εἶναι σταθερὰ καὶ πορεύονται, καὶ ὅσα κινοῦνται ἀκίνητα, γιὰ νὰ τὸ πῶ ἔτσι, καὶ φέρονται· ὁ νόμος πάλι, γιατὶ μὲ τὰ φαινόμενα καὶ διατεταγμένα συλλογίζεται κανεὶς τὸν ἀρχηγό τους»[44].

Μπορεῖ κάποιος νὰ ἔχει μελετήσει λογικὰ μὲ τὶς αἰσθήσεις τὸ μεγαλεῖο τῆς ὁρατῆς κτίσης σχετικὰ μὲ τὴν ὀμορφιὰ καὶ τὴ φύση της, μὴ ἐπιτρέποντας σ' αὐτὴν μὲ κανένα τρόπο νὰ ἐνεργεῖ ἀπὸ μόνη της τίποτε χωρὶς τὸν ἡνίοχό της Λόγο, οὔτε καὶ στὸν ἴδιο τὸ λόγο νὰ εἶναι ἀνεξάρτητος ἀπὸ τὴν ἁπλότητα τοῦ νοῦ, σύμφωνα μὲ τὸν ὁποῖο τόσο τὰ εἴδη καὶ τὰ σχήματα τῆς αἴσθησης ἀπὸ τὴ μιὰ διαμέσου τῆς λογικῆς δύναμης ἀπὸ τὴ

*καὶ τὰ σχήματα διὰ μέσης τῆς κατὰ τὸν λόγον δυνάμεως εἰς λόγους παντοδαποὺς ἄγεσθαι πέφυκε, τῆς δὲ τοῦ λόγου δυνάμεως ἡ κατὰ τὴν διαφορὰν ποικιλία τῶν ἐν τοῖς οὖσι παντοδαπῶν λόγων εἰς ἑνοειδῆ καὶ ἁπλῆν καὶ ἀδιάφορον συνάγεσθαι νόησιν, καθ' ἣν ἡ ἀμερὴς λεγομένη καὶ ἄποσος καὶ ἑνιαία γνῶσις συνέστηκεν, οὗτος ἀληθῶς διὰ τῶν ὁρωμένων καὶ τῆς ἐν αὐτοῖς εὐταξίας τὸν ποιητὴν τούτων καὶ συνοχέα καὶ ἀρχηγόν, ὡς ἀνθρώπῳ δυνατόν, ἀνετυπώσατο, καὶ ἔγνω Θεόν, οὐ κατὰ τό τί ποτε τὴν οὐσίαν εἶναι καὶ τὴν ὑπόστασιν (τοῦτο γὰρ ἀμήχανον καὶ ἀνεπιχείρητον), ἀλλὰ κατ' αὐτὸ τὸ μόνον εἶναι μαθών.*

*Καὶ ταῦτα μετὰ πᾶσαν τὴν κατ' αἴσθησιν ἐν σχήματι θέσεώς τε καὶ μορφῆς καὶ τυπώσεως καὶ φαντασίας διάβασιν, καὶ εἰ μή τῳ περιττὸς εἶναι δοκῶ, καὶ αὐτῆς ἔξω παντελῶς τῆς ἐν τοῖς λόγοις τῶν ὄντων διαφορᾶς γενόμενος, καὶ οἷον μεθόριον ἑαυτὸν παρενθεὶς Θεοῦ τε καὶ πάντων τῶν μετὰ Θεόν, τὸν μὲν ὡς ὑπερέχοντος καὶ ἀψαύστου δι' ὅλου μένοντος καὶ μηδεμίαν φθάνουσαν αὐτὸν ἔχοντος νόησιν, τῶν δὲ καταλελειμμένων καὶ τῇ περιουσίᾳ τῆς κατὰ νοῦν γνώσεως διαβαθέντων καὶ κατωτέρων ἐννοίας φανέντων τῷ τί ποτε εἶναι βεβαίως ὑπὲρ αὐτὰ καὶ ἀληθῶς ἐννοῆσαι, ταῦτά μοι δοκεῖ διὰ τῆς ὄψεως καὶ τοῦ φυσικοῦ νόμου κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν ὁ διάσκαλος παραινίττεσθαι, ἀλλ' οὐ ταὐτὸν τίθεσθαι, καθώς τινες ᾠήθησαν, τὴν ὄψιν τε καὶ τὸν φυσικὸν νόμον. Ἄμφω γὰρ περὶ τὰ αὐτὰ τὴν ἐνέργειαν ἔχοντα τὴν ἀπ' ἀλλήλων δύναται κατ' ἐπίνοιαν δέχεσθαι διάκρισιν, τῷ τὴν μὲν ἀλόγως τῇ προσψαύσει τῶν ὁρατῶν μόνον στηρίζεσθαι περαιτέρω βαίνειν οὐκ ἔχουσαν, τὸν δὲ τῷ τε συνημμένῳ λόγῳ ταῦτα πολυπραγμονεῖν καὶ τῷ νῷ καλῶς τε καὶ σοφῶς ὑπερβαίνειν, καθ' ὃ μάλιστα τὴν περὶ τοῦ εἶναι Θεὸν ἔννοιάν τε καὶ πίστιν ὁ φυσικὸς διὰ τῆς ὄψεως εἰσαγήοχε νόμος.*

*Ὄψιν οὖν ἐκάλεσε τὴν ἁπλῶς, ἀλλ' οὐ τὴν πῶς, πρὸς τὰ*

φύση τους χωρίζονται σὲ κάθε λογῆς λόγους, ἐνῶ ἀπὸ τὴν ἄλλη οἱ ποικίλες διαφορὲς τῶν κάθε λογῆς μέσα στὰ ὄντα λόγων τῆς λογικῆς δύναμης συνάγονται σὲ ἑνοειδὴ καὶ ἁπλὴ καὶ ἀδιάφορη νόηση, ποὺ σύμφωνα μὲ αὐτὴν ἔλαβε σύσταση ἡ λεγόμενη ἀμερὴς καὶ ἄποση καὶ ἑνιαία γνώση. Αὐτὸς στ' ἀλήθεια διὰ μέσου τῶν ὁρατῶν καὶ τῆς τάξης ποὺ τὰ διέπει ἔχει ἀποτυπώσει μέσα του, ὅσο εἶναι δυνατὸ στὸν ἄνθρωπο, αὐτὸν ποὺ τὰ δημιούργησε καὶ τὰ συνέχει καὶ τὰ κυβερνᾶ, κι ἔχει λάβει γνώση τοῦ Θεοῦ, ὄχι τί εἶναι στὴν οὐσία του καὶ στὴν ὑπόστασή του (γιατὶ αὐτὸ εἶναι ἀδύνατο νὰ τὸ ἐπιχειρήσει κανένας), ἀλλὰ γνώση γιὰ τὸ ὅτι μόνο ὑπάρχει.

Κι αὐτὰ ἔπειτ' ἀπὸ ὅλο τὸ πέρασμα μέσω τῆς αἴσθησης μὲ τὸ σχῆμα τῆς θέσης καὶ τῆς μορφῆς καὶ τῆς ἐντύπωσης καὶ τῆς φαντασίας καί, ἂν κάποιος νομίζει πὼς δὲν φλυαρῶ, διασκελίζοντας τελείως τὴ διαφορὰ τῶν ὄντων στοὺς λόγους καὶ παρεμβάλλοντας τὸν ἑαυτό του σὰν ἕνα μεταίχμιο μεταξὺ Θεοῦ καὶ ὅλων τῶν ἔπειτα ἀπὸ τὸ Θεό, τοῦ Θεοῦ ἐπειδὴ εἶναι πάνω ἀπ' ὅλα καὶ μένει τελείως ἀπροσπέλαστος καὶ δὲν ἔχει καμμιὰ διάνοια νὰ φτάσει ὣς αὐτόν, καὶ ὅλων τῶν ἄλλων ἐπειδὴ ἔχουν ἐγκαταλειφθεῖ καὶ ξεπεραστεῖ ἀπὸ τὴν περίσσεια τῆς λογικῆς γνώσης καταδείχθηκαν κατώτερα ἀπὸ τὸ νὰ βοηθήσουν νὰ σκεφτοῦμε τί εἶναι σταθερὸ πάνω ἀπὸ αὐτὰ καὶ νὰ τὸ καταλάβομε ἀληθινά, αὐτὰ νομίζω μὲ τὰ μάτια καὶ τὸ φυσικὸ νόμο κατὰ τὴν αἰτία ποὺ ἐξηγήσαμε ὑπαινίσσεται ὁ δάσκαλος, χωρὶς νὰ ταυτίζει, ὅπως νόμισαν μερικοί, τὰ μάτια καὶ τὸ φυσικὸ νόμο. Αὐτὰ τὰ δύο δηλαδή, ἐνῶ ἐνεργοῦν πάνω στὰ ἴδια ἀντικείμενα, μποροῦν νὰ δεχθοῦν τὴ διάκριση τῆς λογικῆς· γιατὶ ἡ ὄραση στηρίζεται χωρὶς ἀνάμιξη τοῦ λόγου στὴν πρόσψαυση μόνο τῶν ὁρατῶν καὶ δὲν μπορεῖ νὰ προχωρήσει πιὸ πέρα, ἐνῶ ὁ φυσικὸς νόμος ἐξετάζει λεπτομερῶς ὅλ' αὐτὰ μὲ τὸ δεμένο μαζί του λογικὸ καὶ μὲ τὸ νοῦ νὰ τὰ ξεπερνᾶ ἐπιτυχῶς καὶ σοφά, καθόσον μάλιστα τὴν ἔννοια καὶ τὴν πίστη ὅτι ὑπάρχει ὁ Θεὸς τὴν εἰσήγαγε μὲ τὴν ὄψη ὁ φυσικὸς νόμος.

Ὄψη λοιπὸν κάλεσε τὴν προχώρηση τῆς αἴσθησης πρὸς

*αἰσθητὰ τῆς αἰσθήσεως προσβολὴν (οὐ γὰρ αἰσθήσεως ἁπλῶς τὸ ἔκ τινος ἕτερόν τι συλλογίζεσθαι καθέστηκεν ἴδιον), νόμον δὲ φυσικὸν τὴν διὰ τῆς αἰσθήσεως γινομένην κατὰ νοῦν καὶ λόγον φυσικὴν ἐνέργειαν, καθ' ἣν ἡ πρὸς τὸ κρεῖττον μετ' ἐμμελοῦς ἐξετάσεως καθ' ὁδὸν ἀπὸ τῶν ἡττόνων ἀνάβασις γίνεται. Ἀκινήτως δὲ κινεῖσθαί τε καὶ φέρεσθαι τὰ ὁρώμενα εἴρηται τῷ διδασκάλῳ τῷ μὲν λόγῳ, ᾧ γέγονε ταῦτα, κατά τε φύσιν καὶ δύναμιν καὶ ἐνέργειαν, τάξιν τε καὶ διαμονὴν ἀμεταστάτως ἔχειν, καὶ μὴ ἐξίστασθαι καθ' ὁτιοῦν τῆς φυσικῆς ἰδιότητος καὶ μεταβάλλειν εἰς ἄλλο καὶ φύρεσθαι, κινεῖσθαι δὲ πάλιν τῷ κατὰ ῥοὴν καὶ ἀπορροὴν λόγῳ, αὐξήσει τε τῇ περὶ τὸ ποσὸν καὶ μειώσει καὶ τῇ περὶ τὸ ποιὸν ἀλλοιώσει, καὶ κυρίως εἰπεῖν, τῇ ἐξ ἀλλήλων διαδοχῇ, ὑπεξισταμένων ἀεὶ τοῖς ἐπιγενομένοις τῶν προειληφότων. Καὶ ἁπλῶς, ἵνα συνελὼν εἴπω, πάντα τὰ ὄντα καθ' ὃν μὲν ὑπέστησάν τε καὶ εἰσὶ λόγον, στάσιμά τε παντελῶς εἰσι καὶ ἀκίνητα, τῷ δὲ τῶν περὶ αὐτὰ θεωρουμένων λόγῳ, καθ' ὃν ἡ τοῦ παντὸς τούτου σαφῶς οἰκονομία συνέστηκέ τε καὶ διεξάγεται, πάντα κινεῖται δηλονότι καὶ ἀστατεῖ.*

*Οὐ ταὐτὸν δέ φασιν εἶναι τῇ φορᾷ τὴν κίνησιν. Τὴν μὲν γὰρ κίνησιν μᾶλλον εἶναί φασι τῶν ὑπὸ γένεσιν καὶ φθοράν, ὡς ἐπιδεχομένων τοῖς περὶ αὐτὰ θεωρουμένοις τὸ μᾶλλον καὶ τὸ ἧττον (κἂν ἐπὶ πάντων ὁμοῦ τῶν γενητῶν κυρίως λέγεσθαι δυνατὸν), τὴν δὲ φορὰν τῆς κατὰ κύκλον κινουμένης οὐσίας καὶ ἀκαμάτως τὴν περιδίνησιν. Οὐκ οἶδα πότερον θαρρήσαντι περὶ τὸ πᾶν φυσικῶς ἐνεργούσης λέγειν ἐστὶν ἀσφαλὲς ἢ ἐνεργουμένης, πλὴν ὅτι κυρίως εἰπεῖν ἐστιν ἐνεργουμένης τὸ φέρεσθαι. Οὐδὲν γὰρ τῶν ὄντων παντελῶς ἐστιν αὐτενέργητον, ὅτι μηδὲ ἀναίτιον, τὸ δὲ μὴ ἀναίτιον, κινεῖται πάντως δι' αἰτίαν, ἐνεργού-*

45. Ἔχει ἐξηγηθεῖ ἡ διάκριση τοῦ ἁπλῶς εἶναι καὶ εἶναί πως.
46. Γενητὰ (γίγνομαι) καὶ γεννητὰ (γεννῶ – γεννῶμαι).

τὰ αἰσθητὰ τὴν γενικὴ καὶ ὄχι τὴν προσδιορισμένη[45] (γιατὶ δὲν εἶναι ἰδιότητα τῆς αἴσθησης τὸ νὰ συλλογίζεται κάτι ἀπὸ ἕνα ἄλλο)· νόμο φυσικὸ κάλεσε τὴ φυσικὴ ἐνέργεια ποὺ γίνεται μὲ νοῦ καὶ λόγο, σύμφωνα μὲ τὴν ὁποία πραγματοποιεῖται ἡ ἀνάβαση ἀπὸ τὰ κατώτερα πρὸς τὸ ἀνώτερο μὲ ἄρτια κι ἐπιμελὴ ἐξέταση κατὰ τὴν πορεία. Ὁ δάσκαλος εἶπε ὅτι τὰ ὁρατὰ κινοῦνται ἀκίνητα καὶ φέρονται μὲ τὸ Λόγο, μὲ τὸν ὁποῖο αὐτὰ ἔγιναν σύμφωνα μὲ τὴ φύση, τὴ δύναμη καὶ τὴν ἐνέργεια, τὴν τάξη καὶ τὴν παραμονὴ νὰ εἶναι ἀμετακίνητα καὶ νὰ μὴ βγαίνουν κατὰ κανένα τρόπο ἀπὸ τὴ φυσικὴ ἰδιοστασία τους, γιὰ νὰ μὴ μεταβάλλοντα σὲ ἄλλο καὶ νὰ μὴν ἀνακατεύονται καὶ μὲ τὸ λόγο τῆς ροῆς καὶ τὴν ἀπορροὴ πάλι νὰ κινοῦνται μὲ τὴν αὔξηση καὶ μείωση τοῦ ποσοῦ τους καὶ μὲ τὴν ἀλλοίωσή τους στὸ ποιό τους, καὶ γιὰ νὰ κυριολεκτήσω, μὲ τὴν ἀλληλοδιαδοχή τους, καθὼς ὑποκαθίστανται τὰ προηγούμενα ἀπὸ τὰ ἑπόμενα. Καὶ γενικά, γιὰ νὰ μιλήσω μὲ συντομία, ὅλα τὰ ὄντα σύμφωνα μὲ τὸ λόγο ποὺ ἔλαβαν τὴν ὑπόσταση καὶ τὴν ὕπαρξή τους, εἶναι τελείως στάσιμα καὶ ἀκίνητα, κατὰ τὰ λόγο ὅμως ὅσων θεωροῦνται γύρω ἀπὸ αὐτὰ σύμφωνα μὲ τὸν ὁποῖο ἔλαβε τὴ σύστασή της καὶ διεξάγεται σοφῶς ἡ οἰκονομία αὐτοῦ τοῦ σύμπαντος, ὅλα εἶναι φανερὸ ὅτι κινοῦνται καὶ δὲ σταματοῦν.

Ἡ φορὰ λένε καὶ ἡ κίνηση δὲν εἶναι τὸ ἴδιο πράγμα. Ἡ κίνηση δηλαδὴ λένε εἶναι μάλλον ἐκείνων ποὺ εἶναι στὴν ἐξουσία τῆς γέννησης καὶ τῆς φθορᾶς, γιατὶ δέχονται στὰ γνωρίσματα ποὺ τοὺς ἀποδίδονται τὸ περισσότερο καὶ τὸ λιγότερο (κι ἂν ἀκόμα εἶναι δυνατὸ νὰ εἶναι κύριο γνώρισμα ὅλων μαζί τῶν γενητῶν[46])· φορὰ καλοῦν τὴν περιδίνηση τῆς κινούμενης ἀκούραστα καὶ κυκλικὰ οὐσίας. Δὲν γνωρίζω ἀπὸ ποιό ἀπὸ τὰ δύο εἶμαι ἀσφαλισμένος νὰ πάρω θάρρος καὶ νὰ πῶ ὅτι ἐνεργεῖ ὡς πρὸς τὸ πᾶν φυσικὰ ἢ εἶναι ἐνεργούμενη, πλὴν ὅμως τὸ ρῆμα φέρεται ἔχει τὸ νόημα τῆς ἐνεργούμενης. Γιατὶ κανένα ἀπὸ τὰ ὄντα δὲν εἶναι τελείως αὐτοκινούμενο, ἐπειδὴ δὲν εἶναι οὔτε ἀναίτιο, καὶ ὅποιο δὲν εἶναι ἀναίτιο, ὁπωσδήποτε κινεῖται ἀπὸ κάποια αἰτία, δέχεται δηλαδὴ φυσικὰ τὴν κίνηση ἀπὸ κά-

*μενον δηλονότι τὸ κινεῖσθαι φυσικῶς ὑπὸ τῆς αἰτίας, δι' ἣν καὶ πρὸς ἣν ποιεῖται τὴν κίνησιν. Ἀναιτίως γὰρ οὐδαμῶς κινεῖται καθ' οἱονδήτινα τρόπον τῶν κινουμένων οὐδέν.*

*Ἀρχὴ δὲ πάσης κινήσεως φυσικῆς ἐστιν ἡ τῶν κινουμένων γένεσις, ἀρχὴ δὲ τῆς τῶν κινουμένων γενέσεως ὁ Θεός, ὡς γενεσιουργός. Τῆς δὲ τῶν γεγενημένων φυσικῆς γενέσεως τέλος ἡ στάσις ἐστίν, ἣν ποιεῖν πάντως μετὰ τὴν διάβασιν τῶν πεπερασμένων ἡ ἀπειρία, ἐν ᾗ διὰ τὸ μὴ εἶναι διάστημα πᾶσα ποιεῖται κίνησις τῶν φυσικῶν κινουμένων, οὐκ ἔχουσα λοιπὸν ὅποι τε καὶ πῶς καὶ πρὸς τί κινηθῆναι, ὡς τὸν ὁρίζοντα καὶ αὐτὴν τὴν πάσης ὁριστικὴν κινήσεως ἀπειρίαν Θεὸν τέλος ὡς αἴτιον ἔχουσα. Πάσης οὖν γενέσεώς τε καὶ κινήσεως τῶν ὄντων, ἀρχὴ καὶ τέλος ἐστὶν ὁ Θεός, ὡς ἐξ αὐτοῦ γεγενημένων καὶ δι' αὐτοῦ κινουμένων καὶ εἰς αὐτὸν τὴν στάσιν ποιησομένων. Πάσης δὲ φυσικῆς τῶν ὄντων κινήσεως προεπινοεῖται ἡ γένεσις, πάσης δὲ στάσεως προεπινοεῖται κατὰ φύσιν ἡ κίνησις. Εἰ οὖν κινήσεως προεπινοεῖται κατὰ φύσιν ἡ γένεσις, κινήσεως δὲ μετεπινοεῖται κατὰ φύσιν ἡ στάσις, γένεσις δηλονότι καὶ στάσις εἶναι τῶν ἅμα κατὰ τὴν ὕπαρξιν ἀμήχανον, ἀλλήλων αὐτὰς φυσικῶς διείργουσαν ἔχουσαι κατὰ τὸ μέσον τὴν κίνησιν. Οὐ γὰρ φυσικὴ ἐνέργεια τῆς γενέσεως τῶν κινουμένων ἡ στάσις ἐστίν, ἀλλὰ τέλος τῆς κατ' αὐτὴν δυνάμεως ἢ ἐνεργείας, ἢ ὅπως ἄν τις ἐθέλοι τοῦτο λέγειν. Ἐπ' ἐνεργείᾳ γὰρ τὰ γενόμενα γέγονε, πᾶσα δὲ ἐνέργεια πρός τι τέλος ἐστίν, ἵνα μὴ ἀτελής. Τὸ γὰρ τέλος μὴ ἔχον τῶν κατὰ φύσιν ἐνεργειῶν οὐδὲ τέλειόν ἐστι, τέλος δὲ τῶν κατὰ φύσιν ἐνεργειῶν, ἡ τῆς πρὸς τὸ αἴτιον τῶν γεγενημένων κινήσεως στάσις.*

*Οἷον, ἵνα ἐξ ἑνὸς τὸν ἐπὶ πάντων τῶν ὄντων κατανοήσωμεν τῆς κινήσεως τρόπον, ἡ ψυχή, οὐσία νοερά τε καὶ λογικὴ ὑπάρχουσα, καὶ νοεῖ καὶ λογίζεται, δύναμιν ἔχουσα τὸν νοῦν, κίνησιν δὲ τὴν νόησιν, ἐνέργειαν δὲ τὸ νόημα. Πέρας γὰρ τοῦτο τῆς τε τοῦ νοοῦντος καὶ τοῦ νοουμένου νοήσεώς ἐστιν, ὡς πε-*

ποια αἰτία, ποὺ χάρη σ' αὐτὴν καὶ γιὰ χάρη της κάνει τὴν κίνησή του. Χωρὶς αἰτία δὲν κινεῖται καθόλου καὶ μὲ κανένα τρόπο κανένα ἀπὸ ὅσα κινοῦνται.

Ἀρχὴ κάθε φυσικῆς κίνησης εἶναι ἡ γένεση ὅσων κινοῦνται, καὶ ἀρχὴ τῆς γέννησης ὅσων κινοῦνται εἶναι Θεός, ἐπειδὴ εἶναι ὁ ἐργάτης τῆς γένεσης. Τῆς φυσικῆς γένεσης ὅσων ἔγιναν τέλος εἶναι ἡ στάση, ποὺ πραγματοποιεῖ ὁπωσδήποτε ἡ ἀπειρία μετὰ τὸ πέρασμα τῶν πεπερασμένων, ὅπου, ἐπειδὴ δὲν ὑπάρχει διάστημα, σταματᾶ κάθε κίνηση ὅσων κινοῦνται φυσικά, ἐπειδὴ δὲν ἔχει στὸ ἑξῆς ποῦ καὶ πῶς καὶ πρὸς τί νὰ κινηθεῖ, ἀφοῦ ἔχει τέλος ὡς αἴτιό της τὸ Θεὸ ποὺ ὁρίζει κι αὐτὴν τὴν ἀπειρία τὴν ὁριστικὴ κάθε κίνησης. Κάθε γένεσης λοιπὸν καὶ κάθε κίνησης τῶν ὄντων ἀρχὴ καὶ τέλος εἶναι ὁ Θεός, ἐπειδὴ ἀπὸ αὐτὸν ἔχουν γίνει, αὐτὸς τὰ κινεῖ καὶ σ' αὐτὸν θὰ κάνουν τὸ σταμάτημά τους. Πρὶν ἀπὸ κάθε φυσικὴ κίνηση τῶν ὄντων νοοῦμε τὴ γένεση καὶ πρὶν ἀπὸ κάθε στάση νοοῦμε σύμφωνα μὲ τὴ φύση τὴν κίνηση. Ἂν λοιπὸν πρὶν ἀπὸ τὴν κίνηση σύμφωνα μὲ τὴ φύση νοοῦμε τὴ γένεση καὶ μετὰ τὴν κίνηση νοοῦμε σύμφωνα μὲ τὴ φύση τὴ στάση, εἶναι φανερὸ πὼς γένεση καὶ στάση εἶναι ἀδύνατο νὰ εἶναι ἀπὸ τὰ ταυτόχρονα κατὰ τὴν ὕπαρξη, γιατὶ ἔχουν ἀνάμεσά τους φυσικὸ ἐμπόδιο ποὺ τὶς χωρίζει φυσικά, τὴν κίνηση. Γιατὶ δὲν εἶναι φυσικὴ ἐνέργεια τῆς γένεσης ὅσων κινοῦνται ἡ στάση, ἀλλὰ τέλος τῆς δύναμης ἢ ἐνέργειάς τους, ἢ ὅπως θέλει κανένας νὰ τὸ πεῖ. Ὅσα ἔγιναν, ἔγιναν γιὰ νὰ ἐνεργοῦν, καὶ κάθε ἐνέργεια τείνει σ' ἕνα τέλος, γιὰ νὰ μὴν εἶναι ἀτελής. Γιατὶ ὅποιο δὲν ἔχει τέλος τῶν φυσικῶν του ἐνεργειῶν, δὲν εἶναι βέβαια τέλειο, καὶ τέλος τῶν φυσικῶν του ἐνεργειῶν εἶναι ἡ στάση τὴς κίνησης ὅσων ἔχουν γίνει στὸ αἴτιό τους.

Γιὰ παράδειγμα· γιὰ νὰ κατανοήσομε ἀπὸ μιὰ περίπτωση τὸν τρόπο τῆς κίνησης ποὺ διέπει ὅλα τὰ ὄντα, ἡ ψυχὴ ποὺ εἶναι οὐσία νοερὴ καὶ λογική, καὶ νοεῖ καὶ συλλογίζεται, ἔχοντας σὰν δύναμη τὸ νοῦ, σὰν κίνηση τὴ νόηση, καὶ σὰν ἐνέργεια τὸ νόημα. Γιατὶ αὐτὸ εἶναι τέλος τῆς νόησης καὶ αὐτοῦ ποὺ νοεῖ

*ριοριστικὸν τῆς πρὸς ἄλληλα τῶν ἄκρων ὑπάρχον σχέσεως. Νοοῦσα γὰρ ἡ ψυχὴ ἵσταται τοῦ νοεῖν ἐκεῖνο τὸ νοηθὲν μετὰ τὴν αὐτοῦ νόησιν. Τὸ γὰρ νοηθὲν κυρίως ἅπαξ, οὐκ ἔτι τὴν πρὸς τὸ νοηθῆναι πάλιν ἐκκαλεῖται τῆς ψυχῆς δύναμιν, καὶ καθ' ἕκαστον νόημα οὕτω στάσιν δέχεται τῆς ποίας ἐπὶ τῷ νοήματι τοῦ νοηθέντος νοήσεως. Ἡνίκα οὖν πάντα τὰ νοήματα τῶν νοουμένων πάντων αἰσθητῶν τε καὶ νοητῶν κατὰ τὴν νόησιν παρέλθῃ, παύεται, ὥσπερ τῶν νοουμένων ἁπάντων, οὕτω καὶ τῆς ὅλης νοήσεώς τε καὶ σχέσεως πρὸς τὰ σχετὰ πάντα καὶ νοητά, οὐκ ἔχουσα λοιπὸν τί νοῆσαι τὸ παράπαν, μετὰ τὴν τῶν νοηθῆναι φυσικῶς δυναμένων νόησιν, μεθ' ἣν ὑπὲρ νοῦν καὶ λόγον καὶ γνῶσιν ἀνοήτως, ἀγνώστως τε καὶ ἀφράστως κατὰ ἁπλῆν προσβολὴν ἑνωθήσεται τῷ Θεῷ, οὐ νοοῦσα παντάπασιν, οὔτε μὴν τὸν Θεὸν λογιζομένη.*

*Οὐ γάρ ἐστί τι τῶν νοουμένων, ἵνα κατά τινα σχέσιν ἡ ψυχὴ τὴν αὐτοῦ δύνηται νόησιν ἔχειν, ἀλλὰ κατὰ τὴν ἁπλῆν, ὡς ἄσχετον, καὶ ὑπὲρ νόησιν ἕνωσιν, καί τινα λόγον ἄρρητόν τε καὶ ἀνερμήνευτον, ὃν μόνος οἶδεν ὁ τὴν ἄφατον ταύτην χάριν τοῖς ἀξίοις δωρούμενος Θεός, καὶ οἱ ταύτην ὕστερον πείσεσθαι μέλλοντες, ἡνίκα πάντα τροπῆς ἐλεύθερα καὶ ἀλλοιώσεως ἔσται πάσης, τῆς καθ' ὁτιοῦν περί τι κινήσεως τῶν ὄντων παντελῶς πέρας λαβούσης τὴν περὶ Θεὸν ἀπειρίαν, ἐν ᾗ τὰ κινούμενα πάντα δέχεται στάσιν. Περὶ Θεὸν γάρ, ἀλλ' οὐ Θεός, ἡ ἀπειρία, ὅστις καὶ ταύτης ἀσυγκρίτως ὑπέρκειται. Δικαίως γοῦν, οἶμαι, μέμψεως ἄξιος πλείστης ὁ τὴν προΰπαρξιν τῶν ψυχῶν δογματίζων ἐστί, καὶ τὴν ἀκίνητον καθόλου τῶν λογικῶν ἑνάδα θεσπίζων, φύρων ἑλληνικῶς τὰ μὴ φυρόμενα, καὶ λέγων ἅμα κατὰ τὴν ὕπαρξιν εἶναι τῇ γενέσει τῶν λογικῶν τὴν στάσιν. Οὐ γὰρ συμβαίνει τῷ ἀληθεῖ λόγῳ τὴν γένεσιν προεπινοεῖσθαι τῆς στάσεως, ἀκίνητον φύσει κατ' αὐτὸν ὑπάρχουσαν, οὔτε μετεπινοεῖσθαι στάσιν ἀκινήτου γενέσεως, οὔτε μὴν συνεπινοεῖσθαι τῇ γενέσει τὴν στάσιν. Οὐ γὰρ δύναμις τῆς γενέσεως*

καὶ αὐτοῦ ποὺ νοεῖται, ἐπειδὴ περιορίζει τὴ σχέση τῶν ἄκρων μεταξύ τους. Ἡ ψυχὴ δηλαδὴ ὅταν νοεῖ σταματᾶ νὰ νοεῖ αὐτὸ ποὺ ἐνόησε μετὰ τὴ νόησή του. Γιατὶ αὐτὸ ποὺ οὐσιαστικὰ νοήθηκε μιὰ φορά, δὲν διεγείρει πιὰ τὴ δύναμη τῆς ψυχῆς γιὰ νὰ τὸ νοήσει πάλι, καὶ ἔτσι σὲ κάθε νόημα δέχεται στάση τῆς ὅποιας νόησης γιὰ νοηματοδότηση ἐκείνου ποὺ νοήθηκε. Ὅταν λοιπὸν ὅλα τὰ νοήματα ὅλων τῶν αἰσθητῶν καὶ νοητῶν ὅσα νοοῦνται περάσουν ἀπὸ τὴ νόηση σταματᾶ, ὅπως ἀπὸ ὅλα ὅσα νοοῦνται, ἔτσι κι ἀπὸ ὅλη τὴ νόηση καὶ τὴ σχέση πρὸς ὅλα ὅσα ὑπόκεινται σὲ σχέση καὶ νόηση, ἐπειδὴ δὲν ἔχει στὸ ἑξῆς τί περισσότερο νὰ νοήσει, ἔπειτα ἀπὸ τὴ νόηση ὅσων μποροῦν φυσικὰ νὰ νοηθοῦν, μετὰ τὴν ὁποία πάνω ἀπὸ νοῦ καὶ λόγο καὶ γνώση ἀ–νόητα καὶ ἄ–γνωστα καὶ ἄφραστα μὲ ἁπλὴ προβολὴ τοῦ νοῦ θὰ ἑνωθεῖ μὲ τὸ Θεό, χωρὶς καθόλου νὰ νοεῖ οὔτε καὶ νὰ συλλογίζεται τὸ Θεό.

Γιατὶ ὁ Θεὸς δὲν εἶναι ἀπὸ ὅσα νοοῦνται, ὥστε νὰ μπορεῖ κατὰ κάποια σχέση ἡ ψυχή του νὰ ἔχει νόηση, παρὰ μονάχα κατὰ τὴν ἁπλὴ καὶ ἀνεξάρτητη καὶ ὑπέρνοη ἕνωση καὶ κατὰ κάποιο λόγο ἄρρητο καὶ ἀνερμήνευτο, ποὺ γνωρίζει μόνος ὁ Θεὸς ποὺ δωρίζει αὐτὴ τὴν ἄφατη χάρη στοὺς ἄξιους, κι αὐτοὶ ποὺ ἔπειτα πρόκειται νὰ τὴ δεχθοῦν, ὁπότε ὅλα θὰ εἶναι ἐλεύθερα ἀπὸ τροπὴ καὶ ἀλλοίωση, ὅταν ἡ κίνηση τῶν ὄντων γύρω ἀπὸ κάτι μὲ ὁποιοδήποτε τρόπο λάβει πέρας τὴ γύρω ἀπὸ τὸ Θεὸ ἀπειρία, ὅπου ὅλα τὰ κινούμενα δέχονται στάση. Γιατὶ ἡ ἀπειρία εἶναι γύρω ἀπὸ τὸ Θεό, ἀλλὰ δὲν εἶναι Θεός, ὁ ὁποῖος κι ἀπὸ αὐτὴν βρίσκεται ἀσύγκριτα πιὸ πάνω. Δίκαια λοιπὸν νομίζω εἶναι ἄξιος νὰ κατηγορηθεῖ βαριὰ ὅποιος διδάσκει τὴν προΰπαρξη τῶν ψυχῶν καὶ νομοθετεῖ τὴν ἀκίνητη πλήρη ἑνάδα, ἀνακατεύοντας ἑλληνικὰ ὅσα δὲν σμίγουν καὶ λέγοντας ὅτι κατὰ τὴν ὕπαρξη εἶναι μαζὶ μὲ τὴ γένεση τῶν λογικῶν καὶ ἡ στάση. Γιατὶ εἶναι ἀσυμβίβαστο μὲ τὸν ἀληθινὸ λόγο νὰ νοεῖται ἡ γένεση πρὶν ἀπὸ τὴ στάση, ἐπειδὴ σύμφωνα μ' αὐτὸν εἶναι ἀκίνητη κατὰ τὴ φύση, οὔτε νὰ νοεῖται ἡ στάση μετὰ τὴν ἀκίνητη γένεση, οὔτε νὰ νοεῖται μαζὶ μὲ τὴ γένεση ἡ στάση. Ἡ

*ἡ στάσις ἐστίν, ἵνα συνεπινοηθῇ τῇ γενέσει τῶν γεγενημένων, ἀλλὰ τῆς κατὰ δύναμιν ἐνεργείας τῆς τῶν γεγενημένων γενέσεως τέλος ὑπάρχει, καὶ ἁπλῶς, ἵνα συνελὼν εἴπω, τῶν πρός τι οὖσα ἡ στάσις, οὐ πρὸς γένεσιν, ἀλλὰ πρὸς κίνησιν λέγεται, πρὸς ἣν καὶ ἀντιδιαστολὴν ἐπιδέχεται, οὐδαμῶς τὴν πρὸς γένεσιν ἀναφορὰν ἔχουσα, πρὸς ἣν διαστολὴν οὐκ ἐπιδέχεται. Ἕως δ᾿ ἂν οὖν στάσιν ἀκούω, παῦλαν μόνον μανθάνω κινήσεως.*

*Εἰ δὲ τῶν ἅμα κατὰ τὴ ὕπαρξιν οὐκ ἔστι γένεσις καὶ στάσις, ἄρα παραχαράττει, σαφῶς τὸν τῆς ἀληθείας λόγον ὁ τοῦτο θεσπίζων, καὶ τὴν ἀκίνητον ἅμα τῇ γενέσει προϋπάρχουσαν ἑνάδα τῶν λογικῶν δογματίζων. Εἰ δέ τις λέγοι, Καὶ πῶς ἐπὶ Θεοῦ λέγεται στάσις, μὴ ἔχουσα προεπινοουμένην κίνησιν; φημὶ πρῶτον μέν, Οὐ ταὐτὸν Κτίστης καὶ κτίσις, ἵν᾿ ὅπερ ἑνὶ δυνατὸν προσεῖναι, κατ᾿ ἀνάγκην τῷ ἑτέρῳ ὡσαύτως ἐπιθεωρηθῆναι δύνηται, ἐπεὶ οὕτω γε οὐδαμῶς τὸ κατὰ φύσιν διάφορον τούτων ἔσται καταφανές· ἔπειτα, κυρίως εἰπεῖν, ὁ Θεὸς οὔτε κινεῖται παντελῶς οὔτε ἵσταται (τοῦτο γὰρ τῶν κατὰ φύσιν πεπερασμένων καὶ ἀρχὴν τοῦ εἶναι ἐχόντων ἐστὶν ἴδιον), οὔτε μὴν τι ποιεῖ παντάπασιν, οὔτε πάσχει τῶν ὅσα ἐπ᾿ αὐτοῦ δι᾿ ἡμᾶς καὶ νοεῖται καὶ λέγεται, διὰ τὸ κατὰ φύσιν ὑπὲρ πᾶσαν εἶναι κίνησίν τε καὶ στάσιν, καὶ μηδενὶ λόγῳ τοῖς καθ᾿ ἡμᾶς ὑποβάλλεσθαι τρόποις.*

*Ταῦτα παρεκβατικῶς εἰρήσθω περὶ τοῦ μηδὲν χρῆναι λέγειν τῶν ὄντων κατὰ φύσιν ἀπολελυμένως ἐνεργεῖν, ἵνα μὴ ἀναίτιόν τι τῶν μετὰ Θεὸν ἀφρόνως εἰσάγωμεν, ἐνεργεῖσθαι δὲ φυσικῶς τὸ ἐνεργεῖν, τοῦθ᾿ ὅπερ ἐνεργούμενον, πέφυκεν ἐνεργεῖν.*

## *ΟΕ'*

***Τοῦ αὐτοῦ λόγου εἰς τὸ «Ἀλλ᾿ εἰ ἀσώματον, οὔπω μὲν οὐδὲ τοῦτο τῆς οὐσίας παραστατικόν, ὥσπερ οὐδὲ τὸ ἀγέννητον,***

στάση δὲν εἶναι βέβαια δύναμη γένεσης, γιὰ νὰ νοηθεῖ μαζὶ μὲ τὴ γένεση ὅσων ἔχουν γίνει, ἀλλὰ εἶναι τέλος τῆς κατὰ δύναμη ἐνέργειας τῆς γένεσης ὅσων ἔγιναν. Καὶ γενικά, γιὰ νὰ μιλήσω μὲ δυὸ λόγια, ἡ στάση ἐπειδὴ εἶναι ἀπὸ τὰ 'πρός τι', τὰ σχετικὰ μὲ κάτι, δὲ λέγεται σὲ σχέση πρὸς τὴ γένεση, ἀλλὰ σὲ σχέση πρὸς τὴν κίνηση, πρὸς τὴν ὁποία ἐπιδέχεται καὶ ἀντίθεση, ἐπειδὴ δὲν ἔχει καθόλου τὴν ἀναφορὰ πρὸς τὴ γένεση, πρὸς τὴν ὁποία δὲν δέχεται ἀντίθεση. Ὡσότου ἀκούω λοιπὸν στάση, ἐννοῶ μόνο παύση τῆς κίνησης.

Ἂν ὅμως δὲν εἶναι ἀπὸ αὐτὰ ποὺ συνυπάρχουν ἡ γένεση καὶ ἡ στάση, ἄρα ὅποιος τὸ νομοθετεῖ αὐτό, παραχαράζει σαφῶς τὸ λόγο τῆς ἀλήθειας καὶ δογματίζει ὅτι ἡ ἀκίνητη ἑνάδα προϋπάρχει μαζὶ μὲ τὴ γένεση τῶν λογικῶν. Κι ἂν κάποιος ρωτήσει, 'Καὶ πῶς λέγεται στάση προκειμένου γιὰ τὸ Θεό, ἂν αὐτὴ δὲν ἔχει πρὶν ἀπὸ αὐτὴν κίνηση; Ἀπαντῶ· πρῶτον δὲν εἶναι ἴδιο ὁ Κτίστης καὶ ἡ κτίση, γιὰ νὰ μπορεῖ ὅ,τι εἶναι δυνατὸ νὰ ἔχει τὸ ἕνα, κατ' ἀνάγκη νὰ ἐπιθεωρηθεῖ ἐπίσης καὶ στὸ ἄλλο, ἐπειδὴ ἔτσι δὲ θὰ ἀποκαλυφθεῖ καθόλου ἡ φυσική τους διαφορά. Ἔπειτα γιὰ νὰ πῶ τὸ κύριο, ὁ Θεὸς οὔτε ὁλότελα κινεῖται οὔτε στέκεται (αὐτὸ εἶναι ἀπὸ τὰ φυσικὰ πεπερασμένα καὶ εἶναι γνώρισμα ἐκείνων ποὺ ἔχουν ἀρχὴ τοῦ εἶναι τους)· οὔτε ὅμως κάνει ὁπωσδήποτε κάτι, οὔτε ὑποφέρει ὅσα σκεφτόμαστε καὶ λέμε πὼς ἔπαθε γιὰ χάρη μας, ἀλλὰ χάρη στὴ φύση του εἶναι πάνω ἀπὸ ὁποιαδήποτε κίνηση καὶ στάση καὶ γιὰ κανένα λόγο δὲν ὑπόκειται στοὺς δικούς μας τρόπους.

Αὐτὰ ἂς τὰ ποῦμε σὰν μιὰ παρέκβαση γιὰ τὸ ὅτι δὲν πρέπει νὰ λέγεται κανένα ὂν ὅτι ἐνεργεῖ σύμφωνα μὲ τὴ φύση του ἀνεξάρτητα, γιὰ νὰ μὴν εἰσαγάγομε ἀσυλλόγιστα κάτι ἀναίτιο γιὰ τὰ ἔπειτα ἀπὸ τὸ Θεὸ καὶ ὅτι διενεργεῖται φυσικὰ τὸ ἐνεργεῖν, αὐτὸ ποὺ ἔγινε γιὰ νὰ ἐνεργεῖ.

## 75

**Ἀπὸ τὸν ἴδιο λόγο στὸ λεγόμενο· «ἀλλὰ ἂν εἶναι ἀσώματο, οὔτε αὐτὸ δὲν παριστάνει ἀκόμα τὴν οὐσία, ὅπως οὔτε τὸ**

*καὶ τὸ ἄναρχον καὶ τὸ ἀναλλοίωτον καὶ ἄφθαρτον καὶ ὅσα περὶ Θεοῦ ἢ περὶ Θεὸν εἶναι λέγεται».*

*Πρὸς τοὺς ἀνόμοιον μάλιστα τῷ Πατρὶ τὸν Υἱὸν κακούργως εἰσάγοντας, διὰ τοῦ νομίζειν οὐσίαν εἶναι τοῦ Πατρὸς τὸ ἀγέννητον, ὡς οἶμαι, τὸν λόγον ποιούμενος, καὶ ἐκ τῶν ὁμοίων τὸ δέον αὐτοὺς ἐπιγνῶναι διδάσκων, ταῦτά φησιν ὁ διδάσκαλος, ἵν', ὑπὸ τῆς ἀληθείας πρὸς τὴν εὐσέβειαν συνελαυνόμενοι, εὐπειθῶς σὺν ἡμῖν τὸ μὴ ἔχειν γένεσιν τὸν Πατέρα μόνον δηλοῦν τὸ ἀγέννητον ὁμολογήσωσι, συνειδότες ὡς, εἴπερ οὐσίαν Θεοῦ τὸ ἀγέννητον εἶναι πάντως βιάσαιντο, οὐσίαν Θεοῦ καὶ τὸ ἀσώματον ἐξ ἀνάγκης καὶ τὸ ἄναρχον καὶ τὸ ἀθάνατον καὶ τὸ ἀναλλοίωτον καὶ τὸ ἄφθαρτον καὶ ὅσα διὰ τῆς στερητικῆς ἀναιρέσεως διὰ τὴν ὑπεροχὴν ὁ Θεὸς εἶναι λέγεται, λέγειν εἰκότως, ἑαυτοῖς γοῦν στοιχοῦντες, ἐκβιασθήσονται, καὶ οὕτω πολλὰς οὐσίας Θεοῦ, καὶ οὐ μίαν, μᾶλλον δέ, κυριώτερον εἰπεῖν καὶ ἀληθέστερον, πολυθεΐαν ἑλληνικὴν νοσοῦντες ἐλεγχθήσονται, ὅπερ ὡς ἀσεβὲς εἰπεῖν αἰσχυνόμενοι τῆς ἀπονοίας πάντως ἀφέξονται καὶ μὴ βουλόμενοι. Τὰ γὰρ στερητικὰ ἢ ἀναιρετικὰ περί τι θεωρούμενα οὐκ αὐτὸ ἐκεῖνο τυγχάνει ὄντα τὸ περὶ ὃ θεωροῦνται, ἐπεὶ πάντως ἔσονται τῶν σημαινόντων τὸ τί ἐστιν, ὡς ἐκεῖνο αὐτὸ ὄντα, ἀλλ' οὐ τὸ τί οὐκ ἔστιν αὐτὸ ἐκεῖνο σημαίνοντα· εἰ δὲ τοῦτο, ὅρος ἐκείνου τοῦ περὶ ὃ λέγονται εἶναι ταῦτα δειχθήσεται, ὅπερ ἄτοπον καὶ ἀδύνατον. Οὐ γὰρ ἐκ τῶν ὧν οὐκ ἔστι τῶν πραγμάτων οἱ ὅροι συνάγονται, ἀλλ' ἐκ τῶν ἃ ἔστιν, ἐξαπλοῦντα τὴν σύντομον τῶν πραγμάτων περίληψιν, ἥτις ὀνομασία τούτων ὑπάρχει. Οὐδὲν οὖν τὸ σύνολον τῶν περὶ Θεοῦ ἢ περὶ Θεὸν εἶναι λεγομένων οὐσία εἶναι Θεοῦ πώποτε δύναται, ὅτι μηδὲ θέσιν, μόνην καὶ μόνῳ Θεῷ ἁρμόζουσαν, ἄσχετον, καὶ τῆς περί τι παντάπασιν ἐνεργείας ἄφετον αὐτὸ ἐκεῖνο κατὰ τὸ τί ποτε εἶναι ἐμφῆναι δύναται.*

---

47. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΚΗ' *Περὶ Θεολογίας, Θεολογικὸς β'* 9, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 4, σ. 48.

ἀγέννητο καὶ τὸ ἄναρχο καὶ τὸ ἀναλλοίωτο καὶ τὸ ἄφθαρτο καὶ ὅσα λέγονται γιὰ τὸ Θεοῦ ἢ εἶναι γύρω ἀπὸ τὸ Θεό»[47].

Ὁ δάσκαλος λέει, νομίζω, τὰ παραπάνω ἀπευθύνοντας τὸ λόγο πρὸς αὐτοὺς ποὺ διδάσκουν μὲ κακουργία, ὅτι ὁ Υἱὸς εἶναι ἀνόμοιος μὲ τὸν Πατέρα μὲ τὸ νὰ νομίζουν ὅτι τὸ ἀγέννητο εἶναι οὐσία τοῦ Πατέρα, καὶ διδάσκοντάς τους νὰ κατανοήσουν τὸ ὀρθὸ ἀπὸ τὰ ὅμοια, ὥστε, ὁδηγούμενοι ἀδιαμαρτύρητα ἀπὸ τὴν ἀλήθεια στὴν εὐσέβεια μαζί μας, νὰ ὁμολογήσουν ὅτι τὸ ἀγέννητο δηλώνει μόνο πὼς ὁ Πατέρας δὲν ἔχει γεννηθεῖ, συνειδητοποιώντας ὅτι, ἂν ἐπιβάλλουν μὲ κάποιο τρόπο τὴ γνώμη πὼς τὸ ἀγέννητο εἶναι οὐσία τοῦ Θεοῦ, τότε θὰ ἐξαναγκασθοῦν, συμφωνώντας μὲ τὸν ἑαυτό τους, νὰ ὑποστηρίζουν ὅτι οὐσία τοῦ Θεοῦ εἶναι ἀναγκαστικὰ καὶ τὸ ἀσώματο καὶ τὸ ἄναρχο καὶ ἡ ἀθανασία καὶ τὸ ἀναλλοίωτο καὶ ἡ ἀφθαρσία καὶ ὅσα ἐξαιτίας τῆς ὑπεροχῆς του λέμε πὼς εἶναι ὁ Θεὸς μὲ τὴ μέθοδο τῆς στερητικῆς ἄρνησης, καὶ ἔτσι θὰ ἐλεγχθοῦν γιὰ πολλὲς οὐσίες καὶ ὄχι μία, ἢ καλύτερα γιὰ νὰ μιλήσω πιὸ σωστὰ καὶ πιὸ ἀληθινά, ὅτι πάσχουν ἀπὸ τὴ νόσο τῆς πολυθεΐας τῶν Ἑλλήνων, καὶ ἐπειδὴ ντρέπονται νὰ τὸ ποῦν, ἀφοῦ ἀποτελεῖ ἀσέβεια, θ' ἀφήσουν τὴν ἀνοησία τους καὶ χωρὶς νὰ θέλουν. Γιατὶ τὰ στερητικὰ ἢ ἀρνητικὰ ποὺ ἀποδίδομε σὲ κάτι δὲν εἶναι αὐτὸ τὸ κάτι στὸ ὁποῖο ἀποδίδονται, γιατὶ ὁπωσδήποτε θ' ἀνήκουν στὴν κατηγορία ἐκείνων ποὺ σημαίνουν τὸ τί εἶναι, ἐπειδὴ αὐτὰ εἶναι ἐκεῖνο τὸ ἴδιο, ἀλλὰ δὲ σημαίνουν τὸ τί δὲν εἶναι ἐκεῖνο τὸ κάτι. Ἂν εἶναι ἔτσι, θὰ ἀποδειχθεῖ ὅτι αὐτὰ εἶναι ὁ ὁρισμὸς ἐκείνου γιὰ τὸ ὁποῖο λέγονται, πράγμα ποὺ εἶναι ἄτοπο κι ἀδύνατο. Γιατὶ οἱ ὁρισμοὶ τῶν πραγμάτων δὲν συνάγονται ἀπὸ τὰ ἀρνητικὰ γνωρίσματα, ἀλλὰ ἀπὸ τὰ θετικά, τὰ ὁποῖα εὐρύνουν τὴν σύντομη περίληψη τῶν πραγμάτων, ποὺ εἶναι τὸ ὄνομά τους. Τίποτε λοιπὸν γενικὰ ἀπὸ ὅσα λέγονται περὶ Θεοῦ ἢ γύρω ἀπὸ τὸ Θεὸ δὲν μπορεῖ ποτὲ ν' ἀποτελεῖ οὐσία τοῦ Θεοῦ, ἐπειδὴ οὔτε θέση ἀνεξάρτητη, μόνη ποὺ ἁρμόζει στὸ Θεὸ μόνο, καὶ ἐλεύθερη τελείως ἀπὸ τὴν ἐνέργεια γύρω σὲ κάτι μπορεῖ νὰ φανερώσει ἐκεῖνο τὸ κάτι κατὰ τὸ τί εἶναι στὴν οὐσία του.

## ΟΣΤ'

*Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Ὡς γὰρ οὐκ ἀρκεῖ τὸ σῶμα εἰπεῖν ἢ τὸ γεγεννῆσθαι, πρὸς τὸ καὶ περὶ ὃ ταῦτα παραστῆσαί τε καὶ δηλῶσαι, ἀλλὰ δεῖ καὶ τὸ ὑποκείμενον τούτοις εἰπεῖν, εἰ μέλλοι τελείως καὶ ἀποχρώντως τὸ νοούμενον παραστήσασθαι· ἢ γὰρ ἄνθρωπος ἢ βοῦς ἢ ἵππος τοῦτο τὸ ἐν σώματι καὶ φθειρόμενον».*

*Ἐπειδήπερ ἑώρα τοὺς αἱρετικοὺς ὁ ἅγιος ἕνα μόνον ἔχοντας ἀγῶνα, τὴν ὑπερούσιον ἑαυτοῖς ἀνοήτως συγκαταβάλλειν φύσιν, καὶ τεχνικαῖς μεθόδοις περιλήψει τῆς κατ' αὐτοὺς γνώσεως κρατεῖν ἐπιχειροῦντας, ὡς ᾤοντο, τὴν ἀκράτητον δύναμιν καὶ πάσῃ τῇ κτίσει κατὰ τὸ ἶσον ἀχώρητον, δι' ὅλου τοῦ λόγου τὰς στερήσεις τε καὶ τὰς ἀποφάσεις προὐτίμησεν ἐπὶ Θεοῦ λέγειν, μηδεμιᾶς παντελῶς ἀνασχόμενος θέσεως ἢ καταφάσεως, ἵνα μὴ ταύτης λαβόμενοι ὡς ἀναιδεῖς κύνες δήγματι τοὺς ἰοβόλους ὀδόντας μανικῶς τῷ λόγῳ τῆς ἀληθείας ἐμβάλλωσιν, ἀφορμὴν τοῦ ὁπωσοῦν προτείνειν καὶ παραλογίζεσθαι, καὶ τὸ οἰκεῖον εἰς πέρας ἀγαγεῖν δυνηθῆναι σπούδασμα, τὴν ὁποιανοῦν περὶ Θεοῦ δοθεῖσαν αὐτοῖς τοῦ λόγου θέσιν ποιούμενοι. Διὰ τοῦτο οὔτε σῶμα, οὔτε ἄϋλον σῶμα, οὔτε ἀσώματον παντελῶς, οὔτε ἐν τῷ παντί, οὔτε ἔν τινι τοῦ παντός, οὔτε ὑπὲρ τὸ πᾶν, καὶ ἁπλῶς εἰπεῖν, οὐδὲν τὸ παράπαν καὶ ἐν οὐδενὶ καθ' οἱονδήποτε τρόπον, ὡς ἔστιν ἀληθές, τῶν ὁρωμένων ἢ χωρουμένων ἢ λεγομένων ἢ νοουμένων ἢ γνωσθῆναι καθ' ὁτιοῦν δυναμένων, εἶναι τὸν Θεὸν ἀποφαίνεται, πάσης αὐτοὺς τῆς περὶ Θεοῦ καταληπτικῆς κατὰ τὸ τί ποτε εἶναι τὴν οὐσίαν ἐννοίας ἀπορραπίζων.*

*Ἔπειτα δυσωπητικώτερον αὐτοὺς ἐνάγων πρὸς εὐσέβειαν καὶ ἐκ τῆς περὶ τὰ δεύτερα καὶ μακρὰν ἀσυγκρίτως ἀπὸ Θεοῦ ἐρεύνης τὸ καθόλου περὶ Θεοῦ τολμηρῶς μηδὲ ἐννοεῖν, μήτι γε λέγειν, εἶναί τινι θεμιτὸν δεῖξαι βουλόμενος, ταῦτά φησι. Καὶ μὴν*

48. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, ὅπ. π., σ. 50.

76

Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Ὅπως δὲ φτάνει τὸ νὰ ποῦμε 'τὸ σῶμα' ἢ 'τὸ ὅτι ἔχει γεννηθεῖ', γιὰ νὰ παραστήσομε καὶ νὰ δηλώσομε σὲ ποιό καὶ γύρω σὲ ποιὸ ἀναφέρονται αὐτά, ἀλλὰ πρέπει νὰ δηλώσομε καὶ τὸ ὑποκείμενό τους, ἂν θέλομε νὰ παραστήσομε τέλεια καὶ μὲ ἐπάρκεια αὐτὸ ποὺ νοοῦμε· εἴτε δηλαδὴ εἶναι ἄνθρωπος, εἴτε μοσχάρι, εἴτε ἄλογο αὐτὸ ποὺ ἔχει σῶμα καὶ εἶναι φθαρτὸ»[48].

Ἐπειδὴ ὁ ἅγιος ἔβλεπε ὅτι οἱ αἱρετικοὶ ἀγωνίζονταν γιὰ ἕνα μόνο πράγμα, νὰ συμπαρασύρουν ἀνόητα στὴν πτώση τους τὴν ὑπερούσια φύση κι ὅτι ἐπιχειροῦσαν μὲ τεχνικὲς μεθοδεύσεις νὰ κρατήσουν συλλαμβάνοντας μὲ τὴ γνώση τους, ὅπως νόμιζαν, τὴν ἀκράτητη δύναμη καὶ ἀχώρητη ἐξίσου σ' ὁλόκληρη τὴν κτίση, προτίμησε σ' ὅλο τὸ μῆκος τοῦ λόγου του ν' ἀναφέρει στὸ Θεὸ τὶς στερητικὲς κι ἀποφατικὲς διατυπώσεις, μὴ ἀνεχόμενος καθόλου καμμιὰ θέση ἢ κατάφαση, γιὰ νὰ μὴν τοὺς δαγκάσουν σὰν ἀδιάντροπα σκυλιὰ καὶ βυθίσουν λυσσασμένα τὰ δηλητηριώδη δόντια τους στὸ λόγο τῆς ἀλήθειας, κάνοντας τὴν ὁποιαδήπποτε θέση τοῦ λόγου ποὺ τοὺς δόθηκε περὶ Θεοῦ ἀφορμὴ νὰ προβάλουν παράλογες προτάσεις καὶ νὰ μπορέσουν νὰ φέρουν σὲ πέρας τὴν προσπάθειά τους. Γι' αὐτὸ δὲν διατυπώνει γνώμη οὔτε ὅτι εἶναι σῶμα, οὔτε ἄυλο σῶμα, οὔτε τελείως ἀσώματο, οὔτε μέσα στὸ πᾶν, οὔτε σὲ κάποιο στοιχεῖο τοῦ παντός, οὔτε πάνω ἀπ' τὸ πᾶν, καὶ γιὰ νὰ μιλήσω μὲ συντομία, δὲν γνωματεύει πὼς ὁ Θεὸς εἶναι μὲ ὁποιονδήποτε τρόπο σὲ κάποιο, ὅπως εἶναι ἡ ἀλήθεια, ἀπὸ ὅσα βλέπομε ἢ ἀντιλαμβανόμαστε ἢ λέμε ἢ νοοῦμε ἢ μποροῦν νὰ γίνουν γνωστὰ καλά, ἀπωθώντας τους ἀπὸ κάθε ἔννοια ποὺ ὁδηγεῖ στὴ κατανόηση τοῦ Θεοῦ κατὰ τὸ τί εἶναι στὴν οὐσία του.

Δεύτερον τὰ λέει αὐτὰ παρακλητικά, ὁδηγώντας τους στὴν εὐσέβεια κι ἀπὸ τὴν ἔρευνα γύρω ἀπὸ τὰ δεύτερα κι ἀσύγκριτα μακριὰ ἀπὸ τὸ Θεό, θέλοντας νὰ δείξει ὅτι δὲν εἶναι θεμιτὸ νὰ τολμήσει κανεὶς οὔτε νὰ ἐννοήσει οὔτε νὰ πεῖ τὸ γενικὸ περὶ τοῦ

*καὶ πρὸς σύστασιν τῶν ἤδη πρὸς αὐτοὺς κατὰ στέρησίν τε καὶ ἀπόφασιν εἰρημένων, ὥστε αὐτοὺς συνειδότας ἐντεῦθεν, ὡς καὶ ἡ τῶν ἐσχάτων ἐν τοῖς ποιήμασιν ἀκριβὴς κατάληψις τῆς καθ' ἡμᾶς λογικῆς ἐνεργείας ὑπερβαίνει τὴν δύναμιν, τῆς περὶ τὰ πολλῷ μείζω θρασύτητος τὴν ἀλόγιστον δυνηθῆναι φορὰν ἐπισχεῖν, ἐν τοῖς μικροῖς τὸ ἀσθενὲς μαθόντας τῆς φύσεως. Εἰ γὰρ ἐξετάζουσιν ἡμῖν στοιχεῖόν τι, φέρε εἰπεῖν ἄνθρωπον ἢ ἵππον ἢ βοῦν, οὐκ ἀρκεῖ πρὸς τελείαν κατάληψιν τὸ σῶμα λέγειν τὸ στοιχεῖον, ἢ γεννητὸν μόνον ἢ φθαρτὸν τὸν ἄνθρωπον ἢ τὸν βοῦν ἢ τὸν ἵππον, ἀλλὰ δεῖ παραστῆσαι καὶ τὸ τούτοις ὑποκείμενον, ὅπερ γεννᾶται καὶ φθείρεται καὶ πεποίωται. Σῶμα δὲ ἢ γέννησις ἢ φθορά, οὐδαμῶς ὑπάρχον, ἐπεὶ ἔσται κατὰ τοῦτο ἀνάγκης ἀκολουθία, εἴ τι σῶμα, καὶ στοιχεῖον εἶναι, καὶ εἴ τι γεννητὸν ἢ φθαρτόν, ἢ ἄνθρωπος εἶναι ἢ βοῦς ἢ ἵππος. Οὐ γὰρ εἴ τι σῶμα, πάντως ἐξ ἀνάγκης καὶ στοιχεῖον ἢ ἄνθρωπος ἢ βοῦς ἢ ἵππος.*

*Εἴ τι μὲν γὰρ στοιχεῖον, πάντως ἐξ ἀνάγκης καὶ σῶμα, οὐκ εἴ τι δὲ σῶμα, πάντως ἐξ ἀνάγκης καὶ στοιχεῖον. Οὔτε εἴ τι σῶμα ἢ γεννητὸν ἢ φθαρτόν, πάντως ἐξ ἀνάγκης καὶ ἄνθρωπος, ἐπεὶ οὕτω γε καὶ ἄνθρωπος ἔσται πάντως ἐξ ἀνάγκης πᾶν εἴ τι σῶμα, καὶ πᾶν εἴ τι γεννώμενόν ἐστιν ἢ φθειρόμενον. Εἴ τι μὲν γὰρ ἄνθρωπος, πάντως ἐξ ἀνάγκης καὶ σῶμα καὶ γεννώμενον καὶ φθειρόμενον, οὐκ εἴ τι δὲ σῶμα ἢ γεννητὸν ἢ φθαρτόν, πάντως ἐξ ἀνάγκης καὶ ἄνθρωπος. Οὔτε γὰρ ἕπεται πάντως, ἐπεὶ ἔσται ὁ ἄνθρωπος ἐξ ἀνάγκης καὶ στοιχεῖον καὶ βοῦς καὶ ἵππος καὶ πᾶν εἴ τι ἄλλο ἐνσώματον καὶ γεννώμενον καὶ φθειρόμενον. Οὐ γὰρ κατηγορεῖταί ποτε τὰ μερικὰ κατὰ τῶν καθόλου, οὔτε τὰ εἴδη τῶν γενῶν, οὔτε τῶν περιεχόντων τὰ περιεχόμενα, καὶ διὰ τοῦτο*

---

49. Ἐδῶ ὁ Μάξιμος μᾶς δείχνει τὴν τέλεια ἐξάσκησή του στὴ μέθοδο τοῦ συλλογισμοῦ, καὶ παράλληλα τὸ πόση ἦταν ἡ ἐπίδραση τοῦ Ἀριστοτέλη στοὺς βυζαντινοὺς πατέρες.

Θεοῦ. Ἀλλὰ καὶ γιὰ νὰ στηρίξει ὅσα λέχθηκαν σ' αὐτοὺς μὲ τὸν τρόπο τῆς στέρησης καὶ τῆς ἄρνησης, ὥστε αὐτοί, συνειδητοποιώντας ἀπὸ ἐδῶ, ὅτι ἡ ἀκριβὴς κατανόηση ἀκόμα καὶ τῶν ἔσχατων ἀπὸ τὰ δημιουργήματα ὑπερβαίνει τὴ δύναμη τῆς λογικῆς ἐνέργειάς μας, νὰ μπορέσουν νὰ συγκρατήσουν τὴν ἀλόγιστη φορὰ τῆς θρασύτητάς τους γιὰ τὰ πολὺ μεγαλύτερα, διαπιστώνοντας τὴν ἀσθένεια τῆς φύσης μας στὰ μικρά. Ἐὰν δηλαδὴ ἐξετάζοντας κάποιο εἶδος, γιὰ παράδειγμα, ἢ ἄνθρωπο ἢ ἄλογο ἢ μοσχάρι, δὲ μᾶς φτάνει γιὰ τὴν τέλεια κατανόησή του νὰ λέμε ὅτι τὸ εἶδος αὐτὸ εἶναι σῶμα, ἢ ὅτι ὁ ἄνθρωπος γεννιέται μόνο ἢ φθείρεται, ἢ τὸ μοσχάρι ἢ τὸ ἄλογο, ἀλλὰ πρέπει νὰ παραστήσομε καὶ τὸ ὑποκείμενο αὐτὸ ποὺ γεννιέται καὶ φθείρεται κι ἔχει λάβει κάποια ποιότητα. Ἀλλὰ τὸ σῶμα δὲν εἶναι καθόλου ἢ γέννηση ἢ φθορά, γιατὶ θὰ συμβεῖ κατὰ τοῦτο σύμφωνα μὲ τὴν ἀκολουθία τῆς ἀνάγκης, ἂν εἶναι κάτι σῶμα, νὰ εἶναι καὶ ἕνα εἶδος, κι ἂν κάτι γεννιέται ἢ φθείρεται, νὰ εἶναι ἢ ἄνθρωπος ἢ μοσχάρι ἢ ἄλογο. Γιατὶ ἂν κάτι εἶναι σῶμα, δὲ θὰ εἶναι κατ' ἀνάγκη καὶ εἶδος ἢ ἄνθρωπος ἢ μοσχάρι ἢ ἄλογο.

Ἂν ὅμως κάτι εἶναι εἶδος, θὰ εἶναι ὁπωσδήποτε κατ' ἀνάγκη καὶ σῶμα, ἐνῶ ἂν κάτι εἶναι σῶμα, δὲ θὰ εἶναι ὁπωσδήποτε κατ' ἀνάγκη καὶ εἶδος. Οὔτε ἂν κάτι εἶναι σῶμα ἢ γεννητὸ ἢ φθαρτό, θὰ εἶναι ὁπωσδήποτε κατ' ἀνάγκη καὶ ἄνθρωπος, γιατὶ ἀσφαλῶς ἔτσι θὰ εἶναι ὁπωσδήποτε κατ' ἀνάγκη καὶ ἄνθρωπος κάθετι ἂν εἶναι σῶμα καὶ κάθετι ποὺ γεννιέται ἢ ποὺ φθείρεται[49]. Ἂν κάτι δηλαδὴ εἶναι ἄνθρωπος, εἶναι ὁπωσδήποτε κατ' ἀνάγκη καὶ σῶμα καὶ κάτι ποὺ γεννιέται καὶ φθείρεται· ἂν ὅμως εἶναι κάτι σῶμα ἢ γεννητὸ ἢ φθαρτό, δὲν εἶναι ὁπωσδήποτε κατ' ἀνάγκη καὶ ἄνθρωπος. Οὔτε βέβαια ἕπεται ὑποχρεωτικά, ἀφοῦ θὰ εἶναι ἄνθρωπος, ὅτι κατ' ἀνάγκη θὰ εἶναι καὶ εἶδος καὶ μοσχάρι καὶ ἄλογο καὶ ὁ,τιδήποτε ἄλλο ποὺ ἔχε σῶμα καὶ γεννιέται καὶ φθείρεται. Γιατὶ ποτὲ τὰ μερικὰ δὲ γίνονται κατηγορούμενα στὰ γενικά[50], οὔτε τὰ εἴδη στὰ γενικὰ οὔτε τὰ περιεχόμενα στὰ

50. Ὁ ἄνθρωπος εἶναι ὄν, τὸ ὂν ὅμως δὲν εἶναι ὑποχρεωτικὰ ἄνθρωπος. Τὸ ὂν εἶναι γένος ὡς πρὸς τὸν ἄνθρωπο, ὁ ἄνθρωπος εἶναι εἶδος ὡς πρὸς τὸ ὄν.

*οὐδὲ ἀντιστρέφει τὰ καθόλου τοῖς ἐπὶ μέρους, οὐδὲ τὰ γένη τοῖς εἴδεσιν, οὐδὲ τὰ κοινὰ τοῖς ἰδιάζουσιν, οὐδέ, συνελόντα φάναι, τοῖς περιεχομένοις τὰ περιέχοντα.*

*Οὕτως οὖν κατὰ τὸν ἀποδοθέντα λόγον καὶ ἐπὶ βοὸς καὶ ἵππου καὶ παντὸς τοῦ ὁτιοῦν ἑτέρου ληπτέον. Εἰ τοίνυν οὐκ ἀρκεῖ πρὸς τελείαν γνῶσιν τῶν πραγμάτων τὸ πλῆθος τῶν περὶ αὐτὰ θεωρουμένων εἰπεῖν, λέγω δὴ τὸ σῶμα καὶ τὸ γεννᾶσθαι καὶ φθείρεσθαι καὶ ὅσα τοιαῦτα περὶ τὸ ὑποκείμενόν ἐστιν, ἀλλὰ δεῖ πάντως καὶ τὸ ὑποκείμενον τούτοις, θεμελίου τρόπον ἐφ' ᾧ ταῦτα βέβηκε, τί ἐστιν ἐνδείξασθαι, εἰ μέλλοιμεν τελείως καὶ ἀπαραλείπτως τὸ νοούμενον παριστάναι; Ἢ γὰρ ἄνθρωπον ἔχομεν εἰπεῖν ἢ βοῦν ἢ ἵππον, ταῦτα δὴ τὰ μὴ ὄντα αὐτὸ τοῦτο σῶμα, ἀλλ' ἐνσώματα, καὶ μὴ ὄντα αὐτὸ τοῦτο γεννήσεις καὶ φθοράς, ἀλλὰ γεννώμενα καὶ φθειρόμενα, ὡς εἶναι ταῦτα, σῶμά φημι καὶ γέννησιν καὶ φθοράν, δηλαδὴ περὶ τὰ ζῷα, ἀλλ' οὐ τὰ ζῷα ταῦτα ὑπάρχειν, σῶμα λέγω καὶ γέννησιν καὶ φθοράν.*

*Εἰ τοίνυν οὐδὲν τὸ σύνολον τῶν ὄντων ἐστὶ κατ' αὐτὸ τὸ εἶναι ὅπερ ἐστὶ καὶ λέγεται τὸ ἄθροισμα τῶν ἡμῖν περὶ αὐτὸ νοουμένων τε καὶ λεγομένων, ἀλλ' ἕτερόν τι παρὰ ταῦτα, τὸ περὶ ὃ ταῦτά ἐστι, συνεκτικὸν μὲν τούτων, αὐτὸ δὲ τούτοις οὐδαμῶς συνεχόμενον (οὐδὲ γάρ ἐστιν ἐκ τούτων, ἢ ταῦτα, ἤ τι τούτων, ἢ ἔκ τινων, ἤ τινος αὐτῶν, ἢ ἐν τούτοις, ἤ τισιν, ἤ τινι τούτων, τὸ περὶ ὃ ταῦτα καὶ ἔστι καὶ λέγεται), παυσάσθω πᾶσα ψυχὴ παντὶ λόγῳ τῶν περὶ Θεοῦ θρασέως ἐπιπηδᾶν εἰθισμένη τοῦ διακενῆς ἀσεβεῖν, καὶ ἐν τοῖς μικροῖς μαθοῦσα τὴν οἰκείαν ἀσθένειαν, καὶ σιγῇ σεβέσθω μόνον τὴν ἄρρητόν τε καὶ ὑπὲρ νόησιν καὶ πάσης ἐπέκεινα γνώσεως τῆς θείας οὐσίας ὀντότητα. «Οὐδὲ αὐτὴ γὰρ κατὰ μικρόν», ὡς προλαβὼν ἐδίδαξεν ὁ ἅγιος, «ἡ τῆς κτίσεως*

51. Ἀφοῦ τὰ μικρὰ κι ἀσήμαντα ξεφεύγουν ἀπὸ τοὺς χαρακτηρισμούς τους, πολὺ περισσότερο μένει ἄθικτος ἀπὸ αὐτοὺς ὁ Θεός.

περιέχοντα, καὶ γι' αὐτὸ οὔτε δέχονται ἀντιστροφὴ τὰ γενικὰ στὰ μερικὰ οὔτε τὰ γένη στὰ εἴδη οὔτε τὰ κοινὰ στὰ ἀτομικά, οὔτε, γιὰ νὰ μιλήσω μὲ συντομία, τὰ περιέχοντα στὰ περιεχόμενα.

Ἔτσι λοιπὸν σύμφωνα μὲ τὴν ἐξήγηση ποὺ ἔδωσα, πρέπει νὰ σκεφτοῦμε καὶ γιὰ τὸ μοσχάρι καὶ τὸ ἄλογο καὶ γιὰ κάθε ἄλλο ὁποιοδήποτε. Ἂν λοιπὸν δὲ φτάνει γιὰ τὴν τέλεια γνώση τῶν πραγμάτων νὰ ποῦμε τὸ πλῆθος ὅσων θεωροῦνται γι' αὐτά, ἐννοῶ τὸ σῶμα καὶ τὴ γέννηση καὶ τὴ φθορά, καὶ ὅσα παρόμοια ἀναφέρονται στὸ ὑποκείμενο, ἀλλὰ χρειάζεται ὁπωσδήποτε καὶ τὸ ὑποκείμενό τους, σὰν τὸ θεμέλιο ὅπου αὐτὰ στηρίζονται, νὰ δείξομε τί εἶναι, ἂν θέλομε νὰ παραστήσομε τέλεια καὶ χωρὶς παραλείψεις αὐτὸ ποὺ ἔχομε στὸ νοῦ μας. Γιατὶ ἢ ἔχομε νὰ ποῦμε ἄνθρωπο, ἢ μοσχάρι, ἢ ἄλογο, αὐτὰ δηλαδὴ ποὺ δὲν εἶναι τὸ ἴδιο τὸ σῶμα, ἀλλὰ εἶναι ἐνσώματα, καὶ ποὺ δὲν εἶναι τοῦτ' αὐτὸ γεννήσεις καὶ φθορές, ἀλλὰ εἶναι γεννώμενα καὶ φθειρόμενα, ὥστε νὰ εἶναι αὐτά, ἐννοῶ τὸ σῶμα καὶ ἡ γέννηση καὶ ἡ φθορά, αὐτὰ ποὺ ἀναφέρονται στὰ ζῶα, δὲν εἶναι ὅμως τὰ ζῶα αὐτὰ τὰ πράγματα, ἐννοῶ τὸ σῶμα καὶ ἡ γέννηση καὶ ἡ φθορά.

Ἂν λοιπὸν κανένα γενικὰ ἀπὸ τὰ ὄντα δὲν εἶναι στὴν ἴδια του τὴν ὕπαρξη αὐτὸ ποὺ εἶναι καὶ λέγεται τὸ ἄθροισμα ὅσων νοοῦμε καὶ λέμε γι' αὐτό, ἀλλὰ κάτι ἄλλο ἀπὸ αὐτά, αὐτὸ ποὺ γύρω του ἀναφέρονται αὐτά, εἶναι αὐτὸ ποὺ τὰ συνέχει, τὸ ἴδιο ὅμως δὲ συνέχεται μ' αὐτὰ (γιατὶ δὲν προέρχεται ἀπὸ αὐτὰ οὔτε εἶναι αὐτὰ ἢ κάτι ἀπὸ αὐτὰ ἢ ἀπὸ κάποιο ἢ κάποιου ἀπὸ αὐτὰ ἢ μέσα σ' αὐτὰ ἢ ἀνήκει σὲ κάποια ἢ κάποιο ἀπὸ αὐτά, αὐτὸ γύρω ἀπὸ τὸ ὁποῖο αὐτὰ καὶ εἶναι καὶ λέγονται), ἂς παύσει κάθε ψυχὴ νὰ ὁρμᾶ μὲ θράσος ἐπάνω σὲ κάθε λόγο περὶ Θεοῦ συνηθισμένη ν' ἀσεβεῖ ἄσκοπα, καί, ἔχοντας διαπιστώσει τὴν ἀσθένειά της στὰ μικρά, ἂς σέβεται σιωπηλὰ τὴν ἄρρητη καὶ τὴν πάνω ἀπὸ νόηση καὶ πέρα ἀπὸ κάθε γνώση ὀντότητα τῆς θείας οὐσίας[51]. «Γιατὶ οὔτε καὶ αὐτὴ ἡ μικρή, ὅπως προηγουμένως δίδαξε ὁ ἅγιος, ἀκριβὴς κατανόηση τῆς κτίσης»[52], σύμφωνα μὲ τὸν ἀληθινὸ

52. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΚΗ' *Περὶ Θεολογίας, Θεολογικὸς β'* κ. 5, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 4, σ. 42.

*ἀκριβὴς κατανόησις, κατὰ τὸν ἀληθῆ λόγον ὑπὸ τῆς ἡμῶν περιέχεται γνώσεως, ἵνα κἀγὼ μικρόν τι προσδιατρίψω τῷ λόγῳ, καὶ τῆς ὑπὲρ πάντα σοφίας θαυμάσω τὸ ἀνεξιχνίαστον.*

*Τίς γὰρ τῶν ἄγαν σοφῶν ταῖς λογικαῖς πιστεύων ἐφόδοις καὶ ταῖς οὐκ οὔσαις θαρρῶν ἀποδείξεσι μετὰ λόγου τὴν τῶν ὄντων ἐπελθὼν μεγαλειότητα δυνήσεται γνῶναι, εἰπεῖν τε καὶ παραστῆσαι; Τίνες οἱ ἑκάστῳ τῶν ὄντων τῇ ὑπάρξει πρώτως ἐγκαταβληθέντες λόγοι, καθ' οὓς καὶ ἔστι καὶ πέφυκε τῶν ὄντων ἕκαστον, καὶ εἰδοπεποίηται καὶ ἐσχημάτισται καὶ συντέθειται καὶ δύναται καὶ ἐνεργεῖ καὶ πάσχει, ἵνα μὴ λέγω τὴν ἐν τῷ ποσῷ τε καὶ τῷ ποιῷ καὶ τῇ σχέσει καὶ τῷ τόπῳ καὶ τῷ χρόνῳ καὶ τῇ θέσει, τῇ τε κινήσει καὶ ἕξει, διαφορὰν καὶ ἰδιότητα, πρὸς ἃ καὶ ἡ καθ' ἡμᾶς μεγαλοφυῶς λογικὴ πέφυκεν ἰσαρίθμως πλατύνεσθαι δύναμις εἰς νοῦν καὶ νόησιν καὶ ἔννοιαν καὶ διάνοιαν καὶ σύννοιαν καὶ τὸν ἐνδιάθετον λόγον, τόν τε κατὰ προφορὰν καὶ τὸν γεγωνότα, τουτέστι φωνὴν καὶ κραυγήν, καὶ αὖθις συνάγεσθαι, χωρὶς τῆς κατ' ἐπιστήμην καὶ τέχνην, ὥσπερ ἐν ποσῷ τε καὶ ποιῷ καὶ τοῖς λοιποῖς, καθὼς ἀπηρίθμηται, τούτου διαφορᾶς τε καὶ ἰδιότητος;*

*Τίς ὁ γινώσκων τοὺς λόγους τῶν ὄντων καθὼς καὶ εἰσίν, ὡς εἶπον, καὶ διαφέρουσι καὶ στάσιν ἔχουσιν ἀκίνητον τὴν κατὰ φύσιν καὶ πρὸς ἄλληλα μηδαμῶς μεταπίπτουσαν κίνησιν, ἐν τῇ κινήσει τὴν στάσιν, καὶ ἐν τῇ στάσει τὸ παραδοξότατον τὴν κίνησιν ἔχοντα; Τίς πρὸς ἄλληλα τῶν ἐναντίων εἰς ἑνὸς κόσμου σύστασιν ὁ δεσμός, καὶ τῆς εὐτάκτου τε καὶ ἀφύρτου κινήσεώς τε καὶ διοικήσεως ὁ τρόπος; Τίς πάλιν τῶν καθ' ἡμᾶς σωμάτων ἡ τῶν ἐναντίων κατὰ τὴν κρᾶσιν διὰ συνθέσεως συμπλοκή, τὰ διεστῶτα κατὰ τὴν φύσιν εἰς φιλικὴν συνοικίαν ἐνάγουσα καὶ τῇ μεσότητι τὸ ἐν τοῖς ἄκροις αὐστηρὸν τιθασσεύουσα, καὶ χωρεῖν δι' ἀλλήλων ἀλυμάντως παρασκευάζουσα καὶ ταύτην ποιουμένη τῶν συνθέτων συντήρησιν, τὴν τῶν ἄκρων κατὰ τὴν κρᾶσιν εἰς ἄλληλα περιχώρησιν, καὶ πῶς ἕκαστον τούτων ἐστί, καὶ τί ἐστι,*

λόγο, περιέχεται ἀπὸ τὴ γνώση μας, γιὰ νὰ ἐπιμείνω κι ἐγὼ λίγο ἀκόμη μὲ τὸ λόγο μου καὶ νὰ θαυμάσω τὴν ἀνεξιχνίαστη καὶ πάνω ἀπ' ὅλα σοφία.

Ποιός δηλαδὴ ἀπὸ τοὺς ἐξαιρετικὰ σοφοὺς πιστεύοντας στὶς ἐφόδους τοῦ λογικοῦ του κι ἔχοντας θάρρος σ' ἀνύπαρκτες ἀποδείξεις ἐξετάζοντας μὲ λόγο τὴ μεγαλειότατα τῶν ὄντων θὰ μπορέσει νὰ τὴν ἀντιληφθεῖ καὶ νὰ τὴν πεῖ καὶ νὰ τὴν παραστήσει; Ποιοί εἶναι οἱ λόγοι ποὺ ἔχουν πρῶτοι καταβληθεῖ στὴν ὕπαρξη τῶν ὄντων, σύμφωνα μὲ τοὺς ὁποίους ἔχουν τὸ εἶναι καὶ τὴ φύση τους καθένα ἀπὸ τὰ ὄντα κι ἔλαβε εἶδος καὶ σχῆμα καὶ ἔχει συντεθεῖ κι ἔχει δύναμη κι ἐνεργεῖ καὶ πάσχει, γιὰ νὰ μὴν ἀναφέρω τὴ διαφορὰ καὶ τὴν ἰδιότητά τους κατὰ τὸ ποσὸ καὶ τὸ ποιό, τὴ σχέση, τὸν τόπο, τὸ χρόνο, τὴ θέση, τὴν κίνηση καὶ ἕξη, ἀνάλογα μὲ τὰ ὁποῖα καὶ ἡ δική μας λογικὴ ἱκανότητα μεγαλοδύναμα ἔχει στὴ φύση της νὰ πλατύνεται ἐξίσου σὲ νοῦ καὶ νόηση καὶ ἔννοια καὶ διάνοια καὶ συλλογὴ καὶ λόγο ἐνδιάθετο καθὼς καὶ προφορικὸ καὶ μεγαλόφωνο, φωνὴ δηλαδὴ καὶ κραυγή, καὶ νὰ συνάγεται πάλι, χωρὶς τὴ διαφορὰ καὶ τὴν ἰδιότητά του στὴν ἐπιστήμη καὶ στὴν τέχνη, ὅπως στὸ ποσὸ καὶ στὸ ποιὸ καὶ στὰ λοιπά, καθὼς τὰ ἀναφέραμε;

Ποιός γνωρίζει τοὺς λόγους τῶν ὄντων καθὼς καὶ εἶναι, ὅπως εἶπα, καὶ διαφέρουν κι ἔχουν στάση ἀκίνητη σύμφωνα μὲ τὴ φύση τους καὶ κίνηση ποὺ δὲν μεταπίπτει ἀπὸ τὸ ἕνα στὸ ἄλλο, κι ἔχουν στὴν κίνηση τὴ στάση καὶ τὸ τελείως παράδοξο στὴ στάση τὴν κίνηση; Ποιός εἶναι ὁ δεσμὸς τῶν ἀντίθετων μεταξύ τους, ὥστε νὰ συσταθεῖ ἁρμονία καὶ ὁ τρόπος τῆς εὔτακτης καὶ ἀνανάμεικτης κίνησης καὶ διοίκησης; Καὶ ποιά εἶναι στὰ δικά μας σώματα πάλι ἡ σύμπλεξη τῶν ἀντίθετων κατὰ τὴν κράση μέσω τῆς σύνθεσης, ποὺ ὁδηγεῖ τὰ χωριστὰ κατὰ τὴ φύση σὲ φιλικὴ συντροφιὰ καὶ μὲ τὴ μεσότητα τιθασσεύει τὴν αὐστηρότητα τῶν ἄκρων, κάνοντας νὰ προχωροῦν τὸ ἕνα μέσα ἀπὸ τὰ ἄλλα και πραγματοποιώντας αὐτὴ τὴ συντήρηση τῶν σύνθετων, τὴν ἀλληλοπεριχώρηση τῶν ἄκρων τοῦ ἑνὸς μέσα στὸ ἄλλο κατὰ τὴν κράση, καὶ πῶς εἶναι καθένα ἀπὸ αὐτὰ καὶ τί εἶναι καὶ

*καὶ ποῦ φέρον ἢ φέρεται, οὐ μόνον, ὡς εἴρηται, οἷς προηγουμένως ὑπάρχουσι ταῦτα λόγοις, ἀλλὰ καὶ οἷς πρὸς ἑαυτά τε καὶ πρὸς ἄλληλα μυρίοις κατ' ἐπίνοιάν τε καὶ ἐνέργειαν διαιροῦνταί τε καὶ ἑνοῦνται τρόποις;*

*Καὶ αὖθις τίς ὁ λόγος τῆς τοῦ καθ' ἕκαστον οὐσίας, φύσεως, εἴδους, σχήματος, συνθέσεως, δυνάμεως, ἐνεργείας, πάθους; Τίς δὲ πάλιν ὁ καθόλου τοῖς ἄκροις κατὰ τὸ ἑκάστου πέρας διὰ τοῦ μέσου τὴν πρὸς ἄλληλα συνάφειαν ἐνεργῶν λόγος, ἵνα τόν τε νοῦν καὶ τὸ νοούμενον διὰ τῆς μέσης νοήσεως, σχέσεως οὔσης ἑνωτικῆς τῶν διῃρημένων περὶ τὸ ἐξ ἀμφοῖν νόημα, συναφθῇ καὶ περιληφθῇ ἀλλήλοις ἑκάτερα, καὶ μηδὲν τὸ παράπαν κατὰ τοῦτο δειχθῇ τῶν μετὰ Θεὸν περιγραφῆς ὑπάρχον ἐλεύθερον; Ὥσπερ καὶ τὰ αἰσθητὰ πάντα καὶ τὰ αἰσθανόμενα, ἤγουν αἰσθητικά, διὰ τῆς μέσης αἰσθήσεως, σχέσεως οὔσης κοινῆς τῶν διῃρημένων ἄκρων, τῶν μὲν ὡς δι' αὐτῆς ἀντιλαμβανομένων τῶν αἰσθητῶν, τῶν δὲ δι' αὐτῆς ὑποπιπτόντων, τοῖς αἰσθανομένοις, περὶ τὸ αἰσθητήριον, ἐν ᾧ τὸ πέρας τῆς ἑκάστου κατὰ τὴν σχέσιν δυνάμεως ὑπάρχον καθέστηκε, καὶ περὶ ὃ ἀλλήλοις τὰ ἄκρα διὰ τῆς μέσης σχέσεως ἑνοῦσθαι πέφυκε.*

*Τούτων, ἢ τινος τούτων ἐρευνᾶν ἐπιχειροῦντες τοὺς λόγους, ἄτονοι παντελῶς καὶ ἄφωνοι περὶ τῶν λόγων μένομεν, οὐκ ἔχοντες ᾧ τινι τὸν νοῦν ἀκριβῶς ἐπερεισόμεθα, πλὴν τῆς θείας δυνάμεως. Καὶ τοῦτό ἐστι τὸ εἰρημένον, ὡς οἶμαι, τῷ ἁγίῳ, γυμνάζοντι τὸν ἡμέτερον νοῦν πρὸς εὐσέβειαν, «Κατὰ μικρὸν γοῦν, οὐδὲ ἡ τῆς κτίσεως ἀκριβὴς κατανόησις». Τὸ δέ, «Ἀλλὰ πολὺ πρὸ τούτων ἡ ὑπὲρ ταῦτα καὶ ἐξ ἧς ταῦτα φύσις, ἄληπτός τε καὶ ἀπερίληπτος», κατὰ κοινοῦ θετέον τῆς κτίσεως καὶ τῆς ὑπὲρ ταῦτα καὶ ἀφ' ἧστινος ταῦτα, δηλαδὴ τὰ κτίσματα, φύσεως τὸ «Ἄληπτός τε καὶ ἀπερίληπτος». Τὸ δέ, «Οὐχ ὅτι ἔστιν, ἀλλ'*

---

53. Ὁπ. π.

ποῦ ὁδηγώντας ἢ ὁδηγούμενο καὶ σὲ ποιό ἔχει φτάσει ἢ ὁδηγεῖ ἢ ὁδηγεῖται, ὄχι μόνο, ὅπως εἶπα, μὲ τοὺς λόγους ποὺ ὑπάρχουν ἀπὸ προηγούμενα, ἀλλὰ καὶ μὲ ὅποιους μύριους τρόπους διαιροῦνται κι ἑνώνονται τὸ καθένα καθ' ἑαυτὸ καὶ ὅλα μεταξύ τους στὴ σκέψη καὶ στὴν πράξη;

Καὶ ἐπίσης ποιός εἶναι ὁ λόγος τῆς οὐσίας καθενός, τὴς φύσης του, τοῦ εἴδους, τοῦ σχήματος, τῆς σύνθεσης, τῆς δύναμης, τῆς ἐνέργειας καὶ τοῦ πάθους; Καὶ ποιός ἀκόμα εἶναι γενικὰ ὁ λόγος ποὺ πραγματοποιεῖ τὴ συνάφεια τῶν ἄκρων μεταξύ τους ἀπὸ τὸ ἄκρο καθενὸς μὲ τὸ ἐνδιάμεσο, γιὰ νὰ συναφθοῦν καὶ νὰ περιληφθοῦν τὸ ἕνα στὸ ἄλλο, ὁ νοῦς καὶ τὸ νοούμενο μ' ἐνδιάμεσο τὴ νοόηση, ποὺ εἶναι μιὰ σχέση ἑνωτικὴ γύρω ἀπὸ τὸ νόημα τῶν δύο ποὺ ἦταν χωρίσμένα, καὶ κανένα ἀπολύτως ἀπὸ ὅσα εἶναι μετὰ τὸν Θεὸ νὰ μὴ φανεῖ πὼς εἶναι ἐλεύθερο ἀπὸ περιγραφή; Ἔτσι κι ὅλα τά αἰσθητὰ κι ὅσα αἰσθάνονται, ὅσα δηλαδὴ ἔχουν αἴσθηση, διαμέσου τῆς αἴσθησης, ποὺ εἶναι ἡ κοινὴ σχέση τῶν χωρισμένων ἄκρων, τοῦ ἑνός, ἐπειδὴ μ' αὐτὸ ἀντιλαμβάνονται τὰ αἰσθητά, καὶ τοῦ ἄλλου, ἐπειδὴ μὲ αὐτὴν ὑποπίπτουν, σ' αὐτὰ ποὺ αἰσθάνονται, στὸ αἰσθητήριό τους, ὅπου ὑπάρχει ἐγκαταστημένο τὸ πέρας τῆς δύναμης καθενὸς σύμφωνα μὲ τὴ σχέση τους καὶ γύρω ἀπὸ τὸ ὁποῖο ἑνώνονται μεταξύ τους τὰ ἄκρα μέσω τὴς σχέσης.

Ἐπιχειρώντας νὰ ἐρευνήσομε τοὺς λόγους αὐτῶν ἢ κάποιου ἀπὸ αὐτά, χάνομε κάθε δύναμη γιὰ τὸ λόγο καὶ μένομε ἄφωνοι, ἐπειδὴ δὲν βρίσκομε ποῦ νὰ στηρίξομε μ' ἀκρίβεια τὸ νοῦ, ἐκτὸς ἀπὸ τὴ θεία δύναμη. Κι αὐτὸ εἶναι νομίζω ποὺ εἶπε ὁ ἅγιος θέλοντας νὰ γυμνάσει τὸ νοῦ μας στὴν εὐσέβεια, «Λίγο–λίγο λοιπόν, οὔτε ἡ ἀκριβὴς κατανόηση τῆς κτίσης». Τὸ ἄλλο σημεῖο, «Ἀλλὰ πολὺ πρὶν ἀπὸ αὐτά, ἡ πάνω ἀπὸ αὐτὰ φύση καὶ ἀπὸ τὴν ὁποία αὐτὰ προέρχονται εἶναι ἀσύλληπτη κι ἀπερίληπτη»[53], πρέπει νὰ τεθεῖ ἀπὸ κοινοῦ στὴν κτίση καὶ στὴν φύση τὴν πάνω ἀπὸ αὐτὰ καὶ ἀπὸ τὴν ὁποία πηγάζουν αὐτά, δηλαδὴ τὰ κτίσματα, τὸ «ἀσύλληπτη καὶ ἀπερίληπτη». Καὶ τὸ ἄλλο ποὺ πρόσθεσε «ὄχι τί εἶναι, ἀλλὰ ποιά εἶναι», εἶναι προληπτικὴ ἀπάντηση σὲ ἔνστα-

*ἥτις», ἐστίν, ἐπενεχθὲν προκατάληψίς ἐστιν ἀνθυποφορᾶς. Ἵνα γὰρ μὴ καταδράμῃ αὐτοῦ πρὸς ὃν ὁ λόγος, φάσκων, Οὐκοῦν, εἰ ἄληπτον πάντῃ τὸ σέβας ἡμῶν, κενὸν ἄρα τὸ Χριστιανῶν κήρυγμα, κενὴ δὲ καὶ ἡ πίστις, κατ' οὐδενὸς στηριζομένη, ταῦτά φησι προλαμβάνων τὸν ἐπηρεαστὴν λόγον ἢ ἄνθρωπον. Οὐκ ἔφην ἄληπτον εἶναι ταύτην τὴν φύσιν, περὶ ἧς ὁ λόγος, ὅτιπερ ὑπάρχει, ἀλλὰ τί ὑπάρχει, καὶ προσεπάγει πρὸς τὴν τοῦ λόγου βεβαίωσιν τό, «Πολὺ γὰρ διαφέρει τοῦ εἶναί τι πεπεῖσθαι, τὸ τί ποτέ ἐστι τοῦτο εἰδέναι», τουτέστι, πολλὴ πρόσεστιν ἡ διαφορὰ τοῦ πεπεῖσθαι περί τινος ὅτιπερ ὑπάρχει, πρὸς τὸ εἰδέναι τὴν ἀκριβῆ τῆς οὐσίας τούτου κατάληψιν. Μὴ οὖν, φησίν, εὐγνωμόνως ἡμῶν εἰπόντων ἄληπτον εἶναι τὴν θείαν οὐσίαν, κακούργως τὸν λόγον μεταβιβάσῃς, εἰς τὸ δῆθεν εἰσάγειν ἡμᾶς ἄληπτον αὐτήν, εἰς αὐτὴν τὴν ὕπαρξιν, κἀκ τούτου συνάξῃς ἀθεΐαν ἡμᾶς πάντῃ πρεσβεύειν.*

*Καὶ μετά τινά φησιν, Τί γάρ ὑπολήψῃ τὸ Θεῖον, εἴπερ ὅλως ταῖς λογικαῖς πιστεύσεις ἐφόδοις (τουτέστιν, εἰ οἴει τῷ λόγῳ περιτρέχων ἐναποκλείειν γνώσει τινὶ δύνασθαι τὸ ζητούμενον); «Πότερον σῶμα (τουτέστιν, ἄρα σῶμα); Καὶ πῶς τὸ ἄπειρον καὶ ἀόριστον καὶ ἀσχημάτιστον καὶ ἀναφὲς καὶ ἀόρατον;», ἵνα σαφηνιζόμενον νοηθῇ, οὕτω τῶν κοινῶν ἐννοιῶν κεκρατηκυιῶν, ἄπειρον εἶναι τὸ Θεῖον, ὅπερ ἐστὶ πέρας μὴ ἔχειν. Τοῦτο γὰρ τέτρασι διειλημμένου πέρασιν ἴδιον, κέντρῳ καὶ γραμμῇ, ἐπιφανείᾳ καὶ στερεῷ, προσέτι δὲ καὶ διαστήμασι τρισί, μήκει καὶ πλάτει καὶ βάθει, καὶ αὐτοῖς ἓξ διειλημμένοις πέρασιν, ἑκάστου δηλονότι δυσὶ περιγραφομένου, οἷον τὸ μὲν μῆκος τῷ ἄνω τε καὶ τῷ κάτω, τὸ δὲ πλάτος τῷ δεξιῷ καὶ τῷ ἀριστερῷ, τὸ δὲ βάθος τῷ ἐμπρὸς πέρατι καὶ τῷ ὀπίσω. Καὶ πάλιν, τῶν αὐτῶν κοινῶν ἐννοιῶν ἀόριστον τὸν Θεὸν εἰσαγουσῶν, τουτέστι μὴ ἐπιδεχόμενον διεξοδεύουσαν ἀνάπτυξιν, ἐκ τίνων συνέστηκε τὸ ὑποκείμενον, μήτε μὴν τὴν ἐν τόπῳ θέσιν, ἢ τὴν ἐν χρόνῳ ἀρχὴν ἢ τέλος,*

54. Ὁπ. π., κ. 7, σ. 44.

ση. Γιὰ νὰ μὴν τὸν προλάβει ὁ λόγος τοῦ συνομιλητῆ του, λέγοντας "Ἂν λοιπὸν εἶναι τελείως ἀσύλληπτο αὐτὸ ποὺ σεβόμαστε, εἶναι ἄρα κενὸ τὸ κήρυγμα τῶν Χριστιανῶν, κενὴ καὶ ἡ πίστη, καὶ δὲν στηρίζεται σὲ τίποτε', προσθέτει αὐτὴ τὴν φράση, προλαμβάνοντας τὸ λόγο ἢ τὸν ἄνθρωπο τὸν ὑβριστή. Δὲν εἶπα ὅτι εἶναι ἀσύλληπτη αὐτὴ ἡ φύση, γιὰ τὴν ὁποία μιλοῦμε, ὡς πρὸς τὸ ἂν ὑπάρχει, ἀλλὰ ὡς πρὸς τὸ τί εἶναι, καὶ προσθέτει γιὰ ἐπιβεβαίωση τοῦ λόγου του «Γιατὶ ὑπάρχει πολὺ μεγάλη διαφορὰ ἀνάμεσα στὸ νὰ πιστεύεις ὅτι κάτι ὑπάρχει καὶ στὸ νὰ γνωρίζεις τί εἶναι αὐτό», δηλαδή, εἶναι μεγάλη διαφορὰ νὰ ἔχεις πεισθεῖ ὅτι κάτι ὑπάρχει, ἀπὸ τὸ νὰ κατέχεις τὴν ἀκριβὴ κατανόηση τῆς οὐσίας του. Μὴ λοιπόν, λέει, ἐνῶ ἐμεῖς εἴπαμε καλόπιστα ὅτι ἀκατανόητη εἶναι ἡ θεία οὐσία, μετατοπίσεις δόλια τὸ λόγο μας στὸ ὅτι τάχα εἰσάγομε τὴ γνώμη ὅτι εἶναι ἀκατανόητη αὐτὴ ὡς πρὸς τὸ ἂν ὑπάρχει, κι ἀπ' αὐτὸ συμπεράνεις ὅτι πρεσβεύομε πλήρη ἀθεΐα.

Κι ἔπειτ' ἀπὸ λίγα λέει· 'Τί γνώμη θὰ ἔχεις γιὰ τὸ Θεῖο, ἂν πιστέψεις ἀποκλειστικὰ στὶς λογικὲς διαδικασίες' (δηλαδὴ ἂν νομίζεις ὅτι περιβάλλοντάς το μὲ τὸ λόγο θὰ μπορέσεις νὰ κλείσεις σὲ κάποια γνώση τὸ ζητούμενο); «Ποιὸ εἶναι σῶμα (δηλαδὴ ἄραγε εἶναι σῶμα;). Καὶ πῶς εἶναι σῶμα τὸ ἄπειρο καὶ χωρὶς ὅρια καὶ ἀσχημάτιστο καὶ ποὺ δὲν ἀγγίζεται καὶ ποὺ δὲ φαίνεται;»[54], γιὰ νὰ σαφηνισθεῖ καὶ νὰ γίνει νοητό, μὲ ἐπικράτηση τῶν κοινῶν ἐννοιῶν, ὅτι τὸ Θεῖο εἶναι ἄπειρο, πράγμα ποὺ σημαίνει ὅτι δὲν ἔχει πέρας. Τὸ σῶμα εἶναι γνώρισμα ἐκείνου ποὺ διαλαμβάνεται σὲ τέσσερα πέρατα, στὸ κέντρο, στὴ γραμμή, στὴν ἐπιφάνεια καὶ τὸ στερεό, κι ἀκόμα σὲ τρεῖς διαστάσεις, μῆκος, πλάτος καὶ βάθος, ποὺ κι αὐτὰ πάλι διαλαμβάνονται σὲ ἕξι πέρατα, τὸ καθένα δηλαδὴ περιορίζεται σὲ δύο, ὅπως τὸ μῆκος σὲ ἄνω καὶ κάτω, τὸ πλάτος σὲ δεξιὸ κι ἀριστερό, καὶ τὸ βάθος στὸ ἐμπρὸς καὶ τὸ πίσω πέρας. Καὶ πάλι, ἐπειδὴ οἱ ἴδιες κοινὲς ἔννοιες διδάσκουν ὅτι ὁ Θεὸς εἶναι ἀόριστος, δηλαδὴ δὲν δέχεται διεξοδικὴ ἐξήγηση ἀπὸ ποιά στοιχεῖα ἔχει τὴ σύστασή του τὸ ὑποκείμενο, οὔτε ποιά εἶναι ἡ θέση του στὸν τόπο ἢ ἡ ἀρχή του

*προσέτι καὶ ἀσχημάτιστον, οἷον ὅτι οὐ σφαιροειδὲς ἢ τετράγωνον ἢ ὄρθιον ἢ κάτω νενευκός, ναὶ μὴν καὶ ἀναφὲς καὶ ἀόρατον, ὡς αἰσθήσει μὴ ὑποπίπτον (ταῦτα γὰρ σωμάτων ἴδια), παράλογον ἐκ τῶν ἀνασκευασθέντων ὑπειληφέναι τὸ θεῖον εἶναι σῶμα καὶ ἀνάγκην ἔχειν εἰς τοσαῦτα μερίζεσθαι εἰς ὅσα πάλιν ὡς σῶμα συνάγεται.*

*Ἀμερὲς γὰρ πάντῃ τὸ Θεῖόν ἐστιν, ὅτι καὶ παντελῶς ἄποσον, ἄποσον δὲ παντελῶς, ὅτι καὶ πάντῃ ἁπλοῦν, ἁπλοῦν δὲ πάντῃ, ὅτι καὶ ἀδιάστατον πάντῃ, ἀδιάστατον δὲ πάντῃ ὅτι καὶ πάντῃ ἄπειρον, ἄπειρον δὲ πάντῃ, ὅτι καὶ πάντῃ ἀκίνητον (οὐ κινεῖται γὰρ πάντῃ πώποτε τὸ μὴ ἔχον ποῦ κινηθῆναι), ἀκίνητον δὲ πάντῃ, ὅτι καὶ παντελῶς ἄναρχον (οὐ γὰρ ἔχει τι πρὸ αὐτοῦ καὶ μεῖζον, οὔτε τι σὺν αὐτῷ καὶ ἴσον, οὔτε τι μετ' αὐτό, καὶ παραμετρεῖσθαι καὶ χωρεῖν αὐτὸ δυνάμενον), ἄναρχον δὲ πάντῃ, ὅτι καὶ ἀγέννητον πάντῃ, ἀγέννητον δὲ πάντῃ, ὅτι καὶ παντελῶς ἓν καὶ μονώτατον, ἓν δὲ πάντῃ καὶ μονώτατον, ὅτι καὶ παντελῶς ἄσχετον, καὶ διὰ τοῦτο παντάπασιν ἄρρητόν τε καὶ ἄγνωστον καὶ πάσης τῆς τῶν ἐπ' αὐτὸ καλῶς τε καὶ θεοπρεπῶς κινουμένων γνώσεως πέρας μονώτατον, καὶ μονωτάτην γνῶσιν ἔχον ἀληθῆ τὸ μὴ γινώσκεσθαι.*

## *ΟΖ'*

***Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Εἰ γὰρ τὸ μὴ ὂν οὐδαμοῦ, τὸ μηδαμοῦ τυχὸν οὐδὲ ὄν, εἰ δὲ ἔστι που, πάντως, ἐπείπερ ἔστιν, ἢ ἐν τῷ παντί, ἢ ὑπὲρ τὸ πᾶν».***

***Δι' ἣν αἰτίαν, ἴσως ὁ ἀκούων ἐρεῖ, Τὴν ἀντιστροφὴν ἀμφίβολον ὁ διδάσκαλος ἔθετο, προσθεὶς τὸ «τυχὸν» ἐπίρρημα, πᾶσι***

---

55. Ὅπ. π., κ. 10, σσ. 50–52.

ἢ τὸ τέλος του στὸ χρόνο· καὶ ἀκόμα ὅτι εἶναι ἀσχημάτιστος, ὅτι δηλαδὴ δὲν εἶναι κάτι σφαιροειδὲς ἢ τετράγωνο ἢ ὄρθιο ἢ σκυφτὸ κάτω, καὶ βέβαια, ὅτι οὔτε τὸ ἀγγίζομε οὔτε τὸ βλέπομε, ἐπειδὴ δὲν ὑποπίπτει στὶς αἰσθήσεις (γιατὶ αὐτὰ εἶναι γνωρίσματα τῶν σωμάτων), εἶναι παράλογο ἀπὸ ὅσα ἀνασκευάσαμε νὰ θεωροῦμε ὅτι τὸ Θεῖο εἶναι σῶμα κι ἔχει ἀνάγκη νὰ χωρίζεται σὲ τόσα μέρη, σὲ ὅσα πάλι συνάγεται σὲ σῶμα.

Γιατὶ τὸ Θεῖο εἶναι τελείως χωρὶς μέρη, γιατὶ εἶναι καὶ τελείως χωρὶς ποιότητα, κι εἶναι τελείως χωρὶς ποιότητα, ἐπειδὴ εἶναι καὶ τελείως ἁπλό, καὶ εἶναι τελείως ἁπλό, ἐπειδὴ εἶναι καὶ τελείως ἀδιάστατο, καὶ εἶναι τελείως ἀδιάστατο, ἐπειδὴ εἶναι καὶ τελείως ἄπειρο, καὶ εἶναι τελείως ἄπειρο, ἐπειδὴ εἶναι καὶ τελείως ἀκίνητο (γιατὶ δὲν κινεῖται καθόλου καὶ ποτὲ αὐτὸ ποὺ δὲν ἔχει ποῦ νὰ κινηθεῖ), καὶ εἶναι τελείως ἀκίνητο, ἐπειδὴ εἶναι καὶ τελείως χωρὶς ἀρχὴ (δὲν ἔχει δηλαδὴ κάτι μεγαλύτερο πρὶν ἀπὸ αὐτό, οὔτε κάτι μαζί του ἴσο του, οὔτε κάτι ἔπειτ' ἀπ' αὐτὸ ποὺ μπορεῖ νὰ παραλληλίζεται μ' αὐτὸ καὶ νὰ τὸ χωρεῖ), καὶ εἶναι τελείως χωρὶς ἀρχή, ἐπειδὴ εἶναι καὶ τελείως ἀγέννητο, καὶ εἶναι τελείως ἀγέννητο, ἐπειδὴ εἶναι ἕνα ἀποκλειστικὰ καὶ τελείως μόνο, καὶ εἶναι ἕνα ἀποκλειστικὰ κι τελείως μόνο, ἐπειδὴ δὲν ἔχει καμμιὰ σχέση μὲ κανένα καὶ γι' αὐτὸ εἶναι τελείως ἄρρητο καὶ ἄγνωστο, καὶ πέρας ὁλομόναχο τῆς γνωσης ὅσων κινοῦνται πάνω σ' αὐτὸ καλῶς καὶ ὅπως πρέπει στὸ Θεό, καὶ ἔχει ἀποκλειστικὰ μόνη ἀληθινὴ γνώση τὸ ὅτι δὲν μπορεῖ νὰ γίνει γνωστό.

## 77

**Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Ἂν τὸ μὴ ὂν δὲν ὑπάρχει πουθενά, αὐτὸ ποὺ δὲν ὑπάρχει ἴσως πουθενὰ δὲν εἶναι οὔτε ὄν, ἐνῶ ἂν ὑπάρχει κάπου, ὁπωσδήποτε, ἀφοῦ ὑπάρχει, ἢ εἶναι μέσα στὸ πᾶν ἢ εἶναι πάνω ἀπὸ τὸ πᾶν»[55].**

Γι' αὐτὴν τὴν αἰτία, ἴσως νὰ πεῖ ὁ ἀκροατής· "Ὁ δάσκαλος ἔκανε ἀμφίβολη τὴν ἀντιστροφή, προσθέτοντας τὸ ἐπίρρημα

*δήλου ὄντος, κατὰ τὰς λογικὰς ὑποθέσεις, τοῦ, τὸ μηδαμοῦ ὂν μηδὲ εἶναι, δικαίως παντάπασιν ὁμολογεῖσθαι. Πρὸς ὃν κατὰ τὸ τῆς πτωχῆς ἡμῶν διανοίας ἐπιδεὲς ἐροῦμεν, ὅτι Εὐνόμιον καὶ τοὺς ἀμφ' αὐτόν, λέγοντας εἰδέναι τὸν Θεὸν ὡς αὐτὸς ἑαυτόν, τῆς πολλῆς ἐπισχεῖν μανίας βουλόμενος εἰς ἄτοπον δόξαν διὰ τῶν τοιούτων ἀπήγαγε λόγων. Ἢ γὰρ λέγοντας εἰδέναι τὸν Θεὸν ὡς αὐτὸς ἑαυτόν, καὶ τὸ ποῦ χρὴ τὸν γινωσκόμενον εἶναι προσεπάγειν αὐτοὺς πάντως ἀνάγκη, πρὸς τελείαν τοῦ γινωσκομένου κατάληψιν, καὶ οὐδὲν οὐδενὸς τῶν ὄντων τὸ παράπαν οὕτω γε διενήνοχε κατ' αὐτοὺς ὁ Θεός, τόπῳ καὶ αὐτὸς περιγραφόμενος, οὗ τί γένοιτ' ἂν ἀτοπώτερον; ἢ μὴ λέγοντας ποῦ, ἢ μηδὲ εἶναι τὸ σύνολον λέγειν, κατὰ τὴν αὐτοῦ τοῦ λόγου ὑπόθεσιν, οὗ τί γένοιτ' ἂν ἀθεώτερον; (πῶς γὰρ καὶ τί ἂν εἴη τὸ μὴ πάντως ποῦ τὸ εἶναι ἔχον;) ἢ πάντως εἶναι ἐξ ἀνάγκης αὐτοὺς ἡ ἀκολουθία τοῦ λόγου λέγειν βιάζεται καὶ μηδαμοῦ εἶναι, καὶ διὰ τοῦτο εἶναι μὲν καὶ ὑπάρχειν τὸ Θεῖον, τί δὲ εἶναι καὶ ὑπάρχειν μὴ εἰδέναι. Εἰ γὰρ τὸ ποῦ τὸ Θεῖον εἶναι κατ' αὐτοὺς ἄγνωστον, πολλῷ μᾶλλον αὐτὸ τὸ Θεῖον, ὅ τί ποτε κατ' οὐσίαν ἐστίν, ἀγνωστότερον ἔσται. Διὸ μηδέ που εἶναι τὸ μὴ γινωσκόμενον εὐσεβοῦντας αὐτοὺς ἀνάγκη πάντως ὁμολογεῖν.*

*Διὰ ταύτην, ὡς οἶμαι, τὴν αἰτίαν συμπεριφερόμενος μὲν τοῖς περὶ Εὐνόμιον ἀμφέβαλε τὴν ἀντιστροφὴν ὁ διδάσκαλος, τὸ «τυχὸν» ἐπίρρημα θέμενος, καὶ ἡμῖν καταλιμπάνων νοεῖν ὅτιπερ οὐ πάντως τὸ μηδαμοῦ τὸ μηδαμῇ μηδαμῶς ὂν εἰσάγει. Θεὸν γὰρ ἡμεῖς εἶναί φαμεν, καὶ μηδαμοῦ τυγχάνειν, τῷ μὴ ὡς ἐν τόπῳ οὐσιωδῶς κατὰ τὴν ὕπαρξιν περιγράφεσθαι, καὶ πάντως εἶναι, τῷ μὴ δεῖσθαι παντελῶς τοῦ παντὸς τῶν ὄντων πρὸς τὸ εἶναι, ὧν χωρὶς καὶ ἦν καὶ ἔστι, καὶ ἀεὶ εἶναι δυνήσεται, μᾶλλον δὲ ἔστιν*

«τυχόν», ἀφοῦ εἶναι φανερὸ σ' ὅλους ὅτι ὁμολογεῖται τελείως δίκαια κατὰ τοὺς ὑποθετικοὺς συλλογισμούς, πῶς αὐτὸ ποὺ δὲν ὑπάρχει πουθενά, οὔτε κὰν ὑπάρχει'. Σ' αὐτὸν ἀνάλογα μὲ τὴν ἔλλειψη τῆς φτωχῆς διάνοιάς μας θὰ ποῦμε· Τὸν Εὐνόμιο καὶ τοὺς γύρω ἀπὸ αὐτὸν ποὺ ἰσχυρίζονται ὅτι γνωρίζουν τὸ Θεὸ ὅπως ὁ ἴδιος τὸν ἑαυτό του, θέλοντας νὰ τοὺς συγκρατήσει ἀπὸ τὴ μεγάλη μανία τους, μὲ τοὺς λόγους αὐτοὺς τοὺς ὁδήγησε σὲ ἄτοπη γνώμη. Γιατί, ἢ λέγοντας ὅτι γνωρίζουν τὸ Θεὸ ὅπως ὁ ἴδιος τὸν ἑαυτό του, εἶναι ἀνάγκη νὰ προσθέσουν ὁπωσδήποτε καὶ ποῦ εἶναι αὐτὸς ποὺ γνωρίζουν, γιὰ τέλεια κατάληψη αὐτοῦ ποὺ γνωρίζουν, ὁπότε σὲ τίποτε ἀπὸ κανένα ἀπὸ τὰ ὄντα στὸ παραμικρὸ δὲν διαφέρει ὁ Θεὸς κατὰ τὴ γνώμη τους, ἀφοῦ περιγράφεται κι αὐτὸς μέσα στὸν τόπο, ἀπὸ τὸ ὁποῖο τί μπορεῖ νὰ ὑπάρξει πιὸ ἄτοπο; Ἤ, ἂν δὲν λένε ποῦ εἶναι, ἢ πρέπει νὰ λένε ὅτι δὲν ὑπάρχει καθόλου σύμφωνα μὲ τὴν ὑπόθεση τοῦ ἴδιου τοῦ λόγου, πράγμα ἀπὸ τὸ ὁποῖο τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἄθεο; (Γιατί πῶς μπορεῖ νὰ ὑπάρχει καὶ τί θὰ ἦταν αὐτὸ ποὺ δὲν ἔχει κάπου τὴν ὕπαρξή του;)· ἢ ὁπωσδήποτε ἡ ἀκολουθία τοῦ λόγου τοὺς ἀναγκάζει νὰ δεχθοῦν ὅτι κατ' ἀνάγκη ὑπάρχει καὶ δὲν βρίσκεται πουθενά, καὶ γι' αὐτὸ τὸ Θεῖο εἶναι βέβαια καὶ ὑπάρχει, δὲν γνωρίζουν ὅμως τί εἶναι καὶ ὑπάρχει. Ἂν δηλαδὴ εἶναι κατ' αὐτοὺς ἄγνωστο ποῦ εἶναι τὸ Θεῖο, πολὺ περισσότερο θὰ εἶναι πιὸ ἄγνωστο τὸ ἴδιο τὸ Θεῖο, τί αὐτὸ εἶναι στὴν οὐσία του. Γι' αὐτὸ εἶναι ἀνάγκη νὰ ὁμολογοῦν ἀπὸ εὐσέβεια ὅτι οὔτε ὑπάρχει κάπου αὐτὸ ποὺ δὲν γνωρίζουν.

Γι' αὐτὴ νομίζω τὴν αἰτία ἀντιμετωπίζοντας τοὺς γύρω ἀπὸ τὸν Εὐνόμιο ἔθεσε σὲ ἀμφιβολία ὁ δάσκαλος τὴν ἀντιστροφή, προσθέτοντας τὸ ἐπίρρημα «τυχὸν» κι ἀφήνοντας σ' ἐμᾶς νὰ καταλάβομε, ὅτι δὲν εἰσάγει ὁπωσδήποτε αὐτὸ ποὺ δὲν ὑπάρχει πουθενὰ μὲ κανέναν τρόπο. Γιατὶ ἐμεῖς λέμε ὅτι ὁ Θεὸς ὑπάρχει καὶ ὅτι δὲν βρίσκεται πουθενά, ἐπειδὴ δὲν περιγράφεται σὰν μέσα σὲ τόπο ἡ ὕπαρξή του κατὰ τὴν οὐσία καὶ ὅτι ὁπωσδήποτε ὑπάρχει, ἐπειδὴ δὲν χρειάζεται κανένα ἀπολύτως ἀπὸ τὰ ὄντα γιὰ νὰ ὑπάρχει, χωρὶς τὰ ὁποῖα καὶ ἦταν καὶ εἶναι καὶ θὰ μπορέ-

*ἀεί. Οὐ γὰρ θέσιν ἔχει τὰ ὄντα ὁ καὶ πρὶν εἶναι τὰ ὄντα ὑπάρχων. Εἰ γὰρ παρ' ἡμῖν οὐκ ἐν τοῖς τεχνητοῖς πάντως τὸ εἶναι κατὰ τὴν ὕπαρξιν ὑποστατικῶς ἔχουσιν οἱ τεχνῖται περιγεγραμμένον τὸ φθειρόμενον τοῦτο πρᾶγμα, καὶ ἀληθέστερον κυρίως εἰπεῖν μηδέποτε ὄν, τί ἄν τις φαίη περὶ τῆς ἀρρήτου καὶ ἀγνώστου καὶ ἀχωρήτου πᾶσιν ὁμοίως καὶ ἀεὶ ὡσαύτως ἐχούσης δυνάμεως;*

## *ΟΗ'*

*Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Εἴτε φαντασία τις ἦν ἡμερινή, εἴτε νυκτὸς ἀψευδὴς ὄψις, εἴτε τοῦ ἡγεμονικοῦ τύπωσις, συγγινομένου τοῖς μέλλουσιν ὡς παροῦσιν».*

*Ἄκρως καθαρθεὶς τῶν οἷς μολύνεσθαι πέφυκε τῶν ἀνθρώπων ἡ φύσις ὁ μακάριος οὗτος Πατὴρ διὰ τῆς πρακτικῆς φιλοσοφίας, καὶ τὸν νοῦν δι' ὅλου ποιωθεὶς τῷ ἁγίῳ Πνεύματι ταῖς ἐπιβουλαῖς τῶν θείων θεωρημάτων, διὰ τῆς ἀληθοῦς κατὰ τὴν γνῶσιν μυσταγωγίας, οἷα δὴ τὰ ἴσα τοῖς ἁγίοις προφήταις παθών, τὰ εἴδη τῆς προφητείας ἐν τούτοις ἡμῖν ἀπηρίθμησεν. Οἷς εἴπερ τὸ δεῖν ὅλως τολμᾶν οὕτω μεγαλοφυῶς τε καὶ ἐνθεαστικῶς εἰρημένοις, καὶ πάντων τῶν μὴ τοιούτων οἷος αὐτὸς ἦν ὁ διδάσκαλος τὴν δύναμιν ὑπερβαίνουσιν, ἐπιβάλλειν οἰόμεθα χρήσιμον στοχαστικῶς, ἀλλ' οὐκ ἀποφαντικῶς, τοῦτο ποιητέον. Οἶμαι τοίνυν στοχαστικῶς εἰπεῖν κατὰ τὴν ἐμὴν ἀμβλυωπίαν, «φαντασίαν ἡμερινὴν» αὐτὸν εἰρηκέναι τὴν τῶν ἀπροσώπως τοῖς ἁγίοις ὡς δι' αἰσθήσεως ἀκουομένων πνευματικῶς καὶ φαινομένων λόγων καὶ πραγμάτων ὄψιν τε καὶ ἐνήχησιν. Οὐ γὰρ δὴ λέγειν θέμις ἐπὶ τῶν θείων τὸ θαυμαστὸν πάντως δεῖν παρεῖναι πρὸς διατύπωσιν τῆς φαντασίας, ἀλλὰ παραδόξως τε καὶ ὑπερφυῶς καὶ μὴ παρόντος προσώπου καὶ φωνῶν αἰσθητῶν μὴ κτυπουμένων δι' ἀέρος τὴν φαντασίαν ἐνεργεῖν, ὥστε ἀληθῶς ἀκούειν καὶ ὁρᾶν τὸν τὰ θεῖα μυσταγωγούμενον. Ἐπειδὴ γὰρ*

---

**56. Ὀπ. π., κ. 19, σ. 70.**

σει νὰ εἶναι παντοτινά. Γιατὶ δὲν μπορεῖ νὰ ἔχει ὡς θέση του τὰ ὄντα αὐτὸς ποὺ ὑπάρχει πρὶν ἀπὸ τὰ ὄντα. Ἂν δηλαδὴ σ' ἐμᾶς τοὺς ἀνθρώπους οἱ τεχνίτες δὲν περιγράφουν μέσα στὰ ἔργα τῆς τέχνης τους τὴν ὕπαρξη καὶ τὴ ὑπόσταση τοῦ εἶναι, τὸ πράγμα αὐτὸ ποὺ φθείρεται καί, γιὰ νὰ ποῦμε τὴν ἀλήθεια καὶ νὰ κυριολεκτήσομε, τὸ πράγμα ποὺ δὲν ὑπάρχει ποτέ, τί θὰ μποροῦσε κανένας νὰ πεῖ γιὰ τὴ δύναμη ποὺ δὲν λέγεται καὶ δὲ γνωρίζεται καὶ δὲ χωράει σὲ ὅλα τὰ ὄντα καὶ εἶναι πάντοτε ὅμοια καὶ ἴδια;

78

Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Εἴτε ἦταν κάποια φαντασία τῆς ἡμέρας, εἴτε ἕνα δραμα τῆς νύχτας ἀληθινό, εἴτε μιὰ ἐντύπωση τοῦ λογικοῦ, ποὺ πλησιάζει τὰ μελλοντικὰ σὰν νὰ εἶναι παρόντα»[56].

Καθαρμένος στὸ ἔπακρο μὲ τὴν πρακτικὴ φιλοσοφία ὁ μακάριος αὐτὸς πατέρας ἀπὸ ὅσα εἶναι στὴ φύση τους νὰ μολύνονται οἱ ἄνθρωποι, καὶ μὲ τὴν ἐπίδραση τῶν θείων θεωρημάτων καὶ μὲ τὸ νοῦ γεμάτο ἀπὸ τὴν ποιότητα τοῦ ἁγίου Πνεύματος, μέσω τῆς ἀληθινῆς μύησης στὴ γνώση, ἐπειδὴ ἔπαθε τὰ ἴσα μὲ τοὺς ἁγίους προφῆτες, μᾶς ἀπαρίθμησε μ' αὐτὰ τὰ εἴδη τῆς προφητείας. Αὐτὰ ποὺ ἔχουν εἰπωθεῖ μὲ τόση μεγαλοφυΐα κι ἔνθεη δύναμη καὶ ποὺ ὑπερβαίνουν τὴ δύναμη ὅλων ἐκείνων ποὺ δὲν ἦταν ὅπως ὁ ἴδιος ὁ δάσκαλος, νομίζομε χρήσιμο, ἂν πρέπει νὰ τολμήσομε νὰ τὰ προσεγγίσομε, νὰ τὸ κάνομε αὐτὸ μὲ εἰκασίες κι ὄχι νὰ τὸ ἐπιχειρήσομε ἀξιωματικά. Νομίζω λοιπόν, γιὰ νὰ μιλήσω μὲ εἰκασίες, σύμφωνα μὲ τὴ δική μου ἀνικανότητα, ὅτι «φαντασία τῆς ἡμέρας» εἶπε τὴν ὄψη καὶ τὴν ἀκοὴ τῶν λόγων καὶ τῶν πραγμάτων ποὺ οἱ ἅγιοι ἀκοῦνε καὶ βλέπουν χωρὶς παρουσία προσώπου, ἀλλὰ σὰν μὲ αἴσθηση πνευματική. Γιατὶ δὲν εἶναι ἐπιτρεπτὸ νὰ λέμε γιὰ τὰ θεῖα ὅτι πρέπει νὰ εἶναι παρὸν τὸ θαυμαστὸ γιὰ διατύπωση τῆς φαντασίας, ἀλλὰ ἡ φαντασία ἐνεργεῖ μὲ τρόπο παράδοξο καὶ ὑπερφυσικὸ χωρὶς παρουσία προσώπου καὶ χωρὶς φωνὲς αἰσθητὲς ποὺ ἠχοῦν μέσω τοῦ ἀέρα, ὥστε ν' ἀκούει καὶ νὰ βλέπει ὁποιος μυεῖται στὰ θεῖα. Ἐπειδὴ κάθε

*πᾶσα φαντασία ἢ τῶν παρόντων ἢ τῶν παρελθόντων, τῶν δὲ μήπω γενομένων παντάπασίν ἐστιν οὐδαμῶς. Σχέσις γάρ ἐστι τοῖς ἄκροις δι' ἑαυτῆς μεσιτεύουσα. Ἄκρα δέ φημι τό τε φανταστικὸν καὶ τὸ φανταστόν, ἐξ ὧν διὰ μέσης τῆς φαντασίας, σχέσεως οὔσης τῶν ἄκρων, τὸ φάντασμα γίνεται, πέρας ὑπάρχον ἐνεργείας καὶ πάθους, ἐνεργείας μὲν τοῦ φανταστικοῦ, πάθους δὲ τοῦ φανταστοῦ, τῶν διὰ μέσης τῆς φαντασίας, σχέσεως αὐτῶν ὑπαρχούσης περὶ αὐτό, ἀλλήλοις συναπτομένων ἄκρων.*

*Πάντα γὰρ τὰ κατά τί τινων ἀντιλαμβανόμενα ἐνεργεῖν λέγεται, πάντα δὲ κατά τι ἄλλοις ὑποπίπτοντα πάσχειν. Τὰ οὖν καταλαμβάνοντα φυσικῶς ἐνεργοῦσι, τὰ δὲ καταλαμβανόμενα φυσικῶς πάσχουσι, πέρας ἔχοντα πάθους καὶ ἐνεργείας τὴν πρὸς ἄλληλα κατὰ τὸ μέσον συνάφειαν. Διὰ τοῦτο δεῖν ἐπὶ τῶν θείων τὸ φανταστὸν οἴεσθαι μὴ παρεῖναι τὸ καθ' ὑπόστασιν ἰδίαν πραγματειωδῶς ἤδη παρόν, καὶ ἅμα μηδὲ θεῖον εἶναι πιστεύεται, τῆς κατὰ φύσιν ἀκολουθίας πλέον ἔχον οὐδέν. Εἰ γὰρ ἡμεῖς καθ' ὕπνον νύκτωρ φανταζόμενοι καὶ ὁρῶμεν καὶ ἀκούομεν, πολλάκις μηδενὸς ὄντος τοῦ λαλοῦντος ἢ ὁρωμένου, πολλῷ μᾶλλον γρηγοροῦντες ἀληθῶς οἱ ἅγιοι πείσονται τοῦτο, τοῦ Θεοῦ ἐνεργοῦντος αὐτοῖς γρηγοροῦσι κατὰ παράδοξον χάριν, ὅπερ ἡμεῖς πάσχειν νόμῳ φύσεως κατὰ τὸν ὕπνον εἰώθαμεν.*

*«Ἀψευδῆ δὲ νυκτὸς ὄψιν» αὐτὸν ὑπολαμβάνω λέγειν ἢ τὴν ἐν τοῖς ὕπνοις κατὰ ψυχὴν ἀκριβῆ γινομένην τῶν μελλόντων πραγμάτων κατάληψιν, ὡς ἐπ' Ἰωσὴφ καὶ Δανιήλ, ἢ ὀπτασίαν τινὰ θείων πραγμάτων διὰ τὴν ἐκ πολλῆς καθαρότητος ἄκραν ἀπάθειαν καὶ σαρκὸς ὀφθαλμοῖς ἁγίων ὑποπίπτουσαν. «Τὴν δὲ*

57. Στοὺς ἁγίους τὸ ὑπερφυσικὸ γίνεται φυσικὸ ἐξαιτίας τῆς μεγάλης καθαρότητάς τους.

58. Γεν. 41,38. Δαν. 2,19.

φαντασία ἀναφέρεται εἴτε στὰ παρόντα εἴτε στὰ περασμένα καὶ φαντασία αὐτῶν ποὺ δὲν ἔγιναν δὲν ὑπάρχει μὲ κανένα τρόπο. Γιατὶ εἶναι σχέση ποὺ συνδέει μὲ τὸν ἑαυτό της τὰ ἄκρα. Καὶ ἄκρα ὀνομάζω τὸ φανταστικὸ καὶ τὸ φανταστό, τὴ δύναμη ποὺ φαντάζεται καὶ τὸ ἀντικείμενο ποὺ φανταζόμαστε, ἀπὸ τὰ ὁποῖα μ' ἐνδιάμεσο τὴ φαντασία, ποὺ εἶναι ἡ σχέση τῶν ἄκρων, δημιουργεῖται ἡ φανταστικὴ εἰκόνα, ποὺ εἶναι τὸ τέλος τῆς ἐνέργειας καὶ τοῦ πάθους, τῆς ἐνέργειας ποὺ εἶναι τοῦ φανταστικοῦ καὶ τοῦ πάθους ποὺ εἶναι τοῦ φανταστοῦ, τῶν ἄκρων ποὺ ἀλληλοσυνάπτονται μὲ τὸ ἐνδιάμεσο τῆς φαντασίας, ποὺ εἶναι ἡ σχέση τους γύρω ἀπὸ αὐτό.

Ὅλα δηλαδὴ ὅσα ἀντιλαμβάνονται κάποια ἀντικείμενα κατὰ μιὰ ἄποψη, λέμε ὅτι ἐνεργοῦν, καὶ ὅλα ὅσα ὑποπίπτουν στὴν ἀντίληψη κάποιων ἄλλων λέμε ὅτι πάσχουν. Αὐτὰ λοιπὸν ποὺ κατανοοῦν ἐνεργοῦν φυσικὰ κι αὐτὰ ποὺ κατανοοῦνται πάσχουν φυσικά, ἔχοντας ὡς τέλος τοῦ πάθους καὶ τῆς ἐνέργειάς τους τὴ μεταξύ τους συνάφεια στὴ μέση. Γι' αὐτὸ νομίζω πρέπει νὰ πιστεύομε ὅτι τὸ φανταστὸ δὲν εἶναι κατάλληλο στὰ θεῖα, γιατὶ δὲν πρόκειται πιὰ νὰ εἶναι παρὸν αὐτὸ ποὺ μὲ τὴ δική του ὑπόσταση εἶναι ἤδη παρὸν πραγματικό, καὶ συνάμα πιστεύεται ὅτι δὲν εἶναι οὔτε θεῖο, ἐπειδὴ δὲν ἔχει τίποτε περισσότερο ἀπὸ τὴ φυσικὴ ἀκολουθία. Ἂν δηλαδὴ ἐμεῖς τὴ νύχτα στὸν ὕπνο μας φανταζόμαστε βλέποντας κι ἀκούοντας, πολλὲς φορὲς χωρὶς νὰ ὑπάρχει αὐτὸς ποὺ μιλᾶ καὶ αὐτὸς ποὺ βλέπομε, πολὺ περισσότερο ὅταν εἶναι ξυπνητοὶ οἱ ἅγιοι θὰ τὸ πάθουν αὐτό, προκαλῶντας ὁ Θεὸς ὅταν εἶναι σὲ ἐγρήγορση μὲ μιὰ παράδοξη χάρη, αὐτὸ ποὺ ἐμεῖς τὸ παθαίνομε στὸν ὕπνο μας σύμφωνα μὲ τὸ νόμο τῆς φύσης[57].

«Ἀληθινὴ ὄψη τῆς νύχτας» ὑποθέτω ὅτι αὐτὸς λέει ἢ τὴν ἀκριβὴ κατανόηση τῶν μελλοντικῶν πραγμάτων ποὺ γίνεται στὴν ψυχή μας κατὰ τὸν ὕπνο μας, ὅπως ἔγινε στὸν Ἰωσὴφ καὶ στὸ Δανιήλ[58], ἢ κάποια ὀπτασία τῶν θείων πραγμάτων, ἡ ὁποία ἐξαιτίας τῆς ἄκρας ἀπάθειάς τους ἀπὸ τὴν πολλὴ καθαρότητά τους παρουσιάζεται ἀκόμα καὶ στα σαρκικὰ μάτια τῶν ἁγίων.

*τοῦ ἡγεμονικοῦ τύπωσιν» οἶμαι κατ' ἔμφασιν αὐτὸν λέγειν τοὺς μονοτρόπως, ὡς ἐν εἰκόνι, κατὰ τὴν ἁπλῆν καὶ ἀδιάστατον τοῦ νοεροῦ προσβολὴν τοῖς ἁγίοις προσφαινομένους τῶν μελλόντων τύπους.*

*Κἀγὼ μὲν ταῦτα στοχαστικῶς περὶ τούτων θαρρήσας εἶπον, τῆς κατ' αὐτὰ πείρας τὴν χάριν οὐκ εἰληφώς, διὰ τὴν τοῦ ἐπιτάξαντος κέλευσιν. Εἰ δέ τις τῶν εἰληφότων τὴν χάριν τούτοις ἐντύχοι, μή με τῆς προπετείας μέμψαιτο, ἀλλὰ μᾶλλον τῆς εὐπειθείας ἀποδείξαιτο, κἂν οὐδεμίαν ἐμφαντικὴν δύναμιν τοῦ σκοποῦ τῶν προτεθέντων ὁ παρὼν ἔχῃ λόγος.*

## *ΟΘ'*

*Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Παύλῳ δὲ ἀποδείξαιτο εἰ μὲν ἔκφορα ἦν ἃ παρέσχεν ὁ τρίτος οὐρανός, καὶ ἡ μέχρις ἐκείνου πρόοδος ἢ ἀνάβασις ἢ ἀνάληψις»*

*Φασὶν οἱ τοῖς θείοις σοφῶς ἐμμελετήσαντες λόγοις τῶν ὀνομάτων κατὰ περίληψιν τὰ μὲν οὐσίας εἶναι, τὰ δὲ σχέσεως, τὰ δὲ χάριτος ἢ ἀπωλείας. Οἷον οὐσίας μέν, ὡς ὅταν λέγωσιν 'ἄνθρωπος'· σχέσεως δέ, ὡς ὅταν λέγωσιν 'ἀγαθὸς' ἢ 'ἅγιος' ἢ 'σοφὸς ἄνθρωπος', ἢ τὸ ἐναντίον 'πονηρὸς ἄνθρωπος', ἢ 'ἄφρων', ἢ 'ἀκαθαρτος' (τὸ γὰρ πρός τί πως ἔχειν τῶν ἐκ διαμέτρου τοῖς ἐναντίοις διειλημμένων ἕκαστον ἡ σχέσις παριστῶσα δικαίως ἐξ ὧν ἔχει τὴν προαιρετικὴν ἕξιν ἐνδιάθετον προσαγορεύει)· χάριτος δέ, ὅταν Θεὸς ὁ ἄνθρωπος τοῖς λόγοις ὀνομάζηται, ὁ διὰ πάντων ὑπήκοος Θεῷ γενόμενος ἄνθρωπος, κατὰ τό, «ἐγὼ εἶπα, Θεοί ἐστε», οὔτε κατὰ φύσιν οὔτε κατὰ σχέσιν ἔχων τὸ εἶναι ἢ καλεῖσθαι Θεός, ἀλλὰ κατὰ θέσιν καὶ χάριν γενόμενός τε καὶ ὀνομαζόμενος· ἡ γὰρ χάρις τῆς θέσεως ἄσχετός ἐστι παντάπασιν, οὐκ ἔχουσα τὴν οἱανοῦν δεκτικὴν ἑαυτῆς ἐν τῇ φύσει*

---

59. Β' Κορ. 12,2.

60. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΚΗ' *Περὶ Θεολογίας, Θεολογικὸς β'*, κ. 20, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 4, σσ. 70–72.

«Ἐντύπωση τῆς ἡγεμονικῆς δύναμής μας» νομίζω ὅτι λέει μ' ἔμφαση τοὺς τύπους τῶν μελλοντικῶν ποὺ ἐμφανίζονται στοὺς ἅγιους, μ' ἕνα καὶ μόνο τρόπο, σὰν σὲ εἰκόνα, μὲ τὴν ἁπλὴ καὶ ἀδιάστατη ἔφοδο τῆς νοερῆς δύναμής μας.

Καὶ ἐγὼ βέβαια πῆρα τὸ θάρρος νὰ μιλήσω γι' αὐτὰ μὲ εἰκασίες, ἂν καὶ δὲν ἔχω λάβει τὴ χάρη τῆς πείρας γι' αὐτά, ἐξαιτίας τῆς προσταγῆς ἐκείνου ποὺ μὲ διάταξε. Ἂν ὅμως κάποιος ἀπὸ αὐτοὺς ποὺ ἔλαβαν τὴ χάρη διαβάσει αὐτὰ ποὺ ἔγραψα, ἂς μὴν κατηγορήσει τὴν αὐθάδειά μου, ἀλλὰ μᾶλλον ἂς μὲ δεχθεῖ γιὰ τὴν εὐπείθειά μου, ἀκόμα κι ἂν ὁ λόγος μου αὐτὸς δὲν ἔχει καμμιὰ δύναμη νὰ φανερώσει τὸ σκοπὸ τῶν προτεθέντων.

## 79

Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Κι ἂν στὸν Παῦλο ἀποκαλύφθηκαν ὅσα τοῦ ἔδωσε ὁ τρίτος οὐρανὸς[59] καὶ ἡ προχώρησή του ὡς ἐκεῖνον, ἢ ἀνάβαση ἢ ἀνάληψη»[60].

Λένε, ὅσοι μελέτησαν σοφὰ τοὺς θείους λόγους, ὅτι ἀπὸ τὰ ὀνόματα κατὰ κατηγορία εἶναι ἄλλα ὀνόματα οὐσίας, ἄλλα σχέσης, κι ἄλλα χάριτος ἢ ἀπώλειας. Οὐσίας ὀνόματα γιὰ παράδειγμα εἶναι ὅπως ὅταν λένε 'ἄνθρωπος'. Σχέσης, ὅπως ὅταν λένε 'ἀγαθὸς' ἢ 'ἅγιος' ἢ 'σοφὸς ἄνθρωπος', ἢ τὸ ἀντίθετο, 'ἄνθρωπος πονηρὸς' ἢ 'ἀνόητος' ἢ 'ἀκάθαρτος' (γιατὶ ἡ σχέση παριστάνοντας τὸν τρόπο ἀναφορᾶς πρὸς κάτι καθενὸς ἀπὸ τὰ διαμετρικὰ ἀντίθετα, δικαιολογημένα τὸ ὀνομάζει ἀπὸ αὐτὰ ποὺ τῆς δημιουργοῦν εὐδιάθετη τὴν προαιρετικὴ ἕξη). Ὀνόματα χάριτος εἶναι, ὅταν ὁ ἄνθρωπος χαρακτηρίζεται μὲ τοὺς λόγους θεός, ὁ ἄνθρωπος ποὺ ἔγινε ὑπήκοος τοῦ Θεοῦ σὲ ὅλα, σύμφωνα μὲ τὸ λόγο, «ἐγὼ εἶπα ὅτι εἶστε θεοί»[61], ἐνῶ δὲν ἔχει οὔτε κατὰ φύση οὔτε κατὰ σχέση τὸ νὰ εἶναι ἢ τὸ νὰ λέγεται θεός, ἀλλὰ ἔγινε καὶ ὀνομάζεται κατὰ θέση καὶ χάρη. Ἡ χάρη δηλαδὴ εἶναι τελείως ἄσχετη μὲ τὴ θέση, ἀφοῦ δὲν ἔχει στὴ φύση τὴν ὁποιαδήποτε

61. Ἰω. 10,34.

δύναμιν, ἐπεὶ οὐκ ἔτι χάρις ἐστίν, ἀλλὰ τῆς κατὰ τὴν φυσικὴν δύναμιν ἐνεργείας φανέρωσις. Καὶ οὕτω γε πάλιν οὐκ ἔσται παράδοξον τὸ γινόμενον, εἰ κατὰ δεκτικὴν φύσεως δύναμιν ἡ θέωσις ἦν. Φύσεως γὰρ ἂν εἰκότως ἔργον, ἀλλ' οὐ Θεοῦ δῶρον ἡ θέωσις ἔσται, καὶ δυνήσεται καὶ φύσει Θεὸς ὁ τοιοῦτος εἶναι καὶ κυρίως προσαγορεύεσθαι. Οὐδὲν γὰρ ἄλλο καθέστηκεν ἡ κατὰ φύσιν τῶν ὄντων ἑκάστου δύναμις ἢ φύσεως πρὸς ἐνέργειαν ἀπαράβατος κίνησις. Πῶς δὲ καὶ ἐξίστησιν ἑαυτοῦ τὸν θεούμενον ἡ θέωσις, εἰς τοῖς ὅροις τῆς φύσεως αὐτὴ περιείληπτο, συνιδεῖν οὐκ ἔχω.

Ὡσαύτως δὲ καὶ ἐκ τοῦ ἐναντίου ἀπώλειαν καὶ ᾅδην, καὶ υἱοὺς ἀπωλείας, καὶ τὰ τοιαῦτα προσαγορεύουσι τοὺς τὸ μὴ ὂν κατὰ διάθεσιν ἑαυτοῖς ὑποστήσαντας, καὶ τοῖς τρόποις αὐτῷ διὰ πάντων γενομένους παρεμφερεῖς. Οἶμαι τοίνυν τὸν ἅγιον τοῦτον καὶ μέγαν διδάσκαλον ἐπὶ νοῦν τὰ προειρημένα λαβόντα τὴν ἐν τούτοις ἁρπαγὴν τοῦ ἁγίου Ἀποστόλου διασκευάσαι, προσφυῶς ἑκάστῳ τὴν ἁρμόζουσαν φωνὴν ἀπονείμαντα. Διὸ «πρόοδον» μὲν αὐτὸν ὑπονοῶ λέγειν τὴν ἔξω τῆς φυσικῆς ἀνάγκης τὸν ἅγιον Ἀπόστολον καταστήσασαν τῆς ἀρετῆς κατὰ τὴν ἕξιν ἀπάθειαν, καθ' ἣν οὐδεμίαν εἵλετο πρὸς τὴν φύσιν ἔχειν προαιρέσεως σχέσιν, ὡς καὶ αὐτῆς τῆς κατ' αἴσθησιν φυσικῆς ἐνεργείας ἔξω γενόμενον, μᾶλλον δὲ καὶ ταύτην πρὸς πνευματικὴν ἕξιν μεταβαλόντα· «ἀνάβασιν» δὲ τήν τε τῶν αἰσθητῶν πάντων ἀπόλειψιν, οὐκ ἔτι ἐνεργούντων ἢ ἐνεργουμένων παρ' αὐτῷ κατὰ τὴν αἴσθησιν, καὶ τῆς περὶ αὐτὰ κατὰ φύσιν ἐν Πνεύματι γνωστικῆς θεωρίας ὑπέρβασιν· «ἀνάληψις» δὲ τὴν ἐν τῷ Θεῷ γενομένην αὐτῷ μετὰ ταῦτα μονήν τε καὶ ἵδρυσιν, ἣν προσφόρως «ἀνάληψιν» ὁ διδάσκαλος εἶπεν, ὡς παθόντα μᾶλλον ἢ δράσαντα τὸν Ἀπόστολον τὴν ἀνάληψιν ἐνδεικνύμενος. Ἡ ἀνάληψις γὰρ πάθος ἐστὶ τοῦ ἀναλαμβανομένου, ἐνέργεια δὲ τοῦ ἀναλαμβάνοντος. Ὧν τοιγαροῦν φυσικῶν τε καὶ σχετικῶν ὀνομάτων ὑπῆρχε Κύριος, ὁ Ἀπόστολος, κατά τε φύσιν καὶ σχέσιν ὑπερέβη τὴν κλῆσιν, ὑπὲρ φύσιν καὶ ἀρετὴν καὶ γνῶσιν ἀνθρωπίνην γενόμε-

δύναμη πού θὰ τὴ δεχθεῖ, ἐπειδὴ δὲν εἶναι πλέον χάρη, ἀλλὰ φανέρωση τῆς ἐνέργειας τῆς φυσικῆς δύναμης. Καὶ ἔτσι πάλι δὲ θὰ εἶναι παράδοξο ὅ,τι γίνεται, ἂν ἡ θέωση γινόταν σύμφωνα μὲ τὴ δεκτικὴ δύναμη τῆς φύσης. Γιατὶ θὰ ἦταν εὔλογα ἔργο τῆς φύσης ἡ θέωση καὶ ὄχι δῶρο τοῦ Θεοῦ, καὶ θὰ μποροῦσε ὁ ἄνθρωπος αὐτὸς καὶ φύσει θεὸς νὰ εἶναι καὶ ἔγκυρα νὰ ὀνομάζεται. Γιατὶ ἄλλο τίποτε δὲν εἶναι ἡ φυσικὴ δύναμη καθενὸς ἀπὸ τὰ ὄντα, παρὰ ἡ ἀπαράβατη τάση τῆς φύσης τους γιὰ ἐνέργεια. Πῶς ὅμως ἡ θέωση βγάζει ἀπὸ τὸν ἑαυτό του αὐτὸν πού θεώνεται, ἂν αὐτὴ εἶχε περιληφθεῖ μέσα στὶς συνθῆκες τῆς φύσης, δὲν μπορῶ νὰ τὸ καταλάβω.

Κατὰ τὸν ἴδιο τρόπο καὶ ἐκ τοῦ ἐναντίου ἀποκαλοῦν ἀπώλεια καὶ ἅδη καὶ υἱοὺς ἀπώλειας καὶ τὰ παρόμοια αὐτοὺς πού ὑποκατάστησαν στὴ διάθεσή τους τὸ μὴ ὂν καὶ ἔγιναν παρόμοιοί του σὲ ὅλα κατὰ τοὺς τρόπους. Νομίζω λοιπὸν ὅτι ὁ ἅγιος τοῦτος καὶ μεγάλος δάσκαλος, λαμβάνοντας ὑπόψη ὅσα προλέχθηκαν, διαμόρφωσε τὴν ἁρπαγὴ σ' αὐτὰ τοῦ ἁγίου 'Αποστόλου ἀπονέμοντας στὸ καθένα τὴν ἁρμόζουσα ὀνομασία. Γι' αὐτὸ ὑποθέτω ὅτι 'πρόοδο' ὀνομάζει τὴν ἐνάρετη ἀπάθεια τῆς ἕξης, πού ἔβγαλε τὸν ἅγιο 'Απόστολο ἔξω ἀπὸ τὴ φυσικὴ ἀνάγκη. Μὲ τὴν ἀπάθεια αὐτὴ δὲ θέλησε νὰ ἔχει καμμιὰ σχέση προαίρεσης μὲ τὴ φύση, ἐπειδὴ ἔχει βγεῖ ἔξω κι ἀπ' αὐτὴν ἀκόμα τὴ φυσικὴ ἐνέργεια τῆς αἴσθησης, ἢ καλύτερα τὴ μετέβαλε κι αὐτὴ σὲ πνευματικὴ ἕξη. «Ἀνάβαση» λέει τὴν ἐγκατάλειψη ὅλων τῶν αἰσθητῶν, πού οὔτε ἐπηρεάζουν τὶς αἰσθήσεις οὔτε ἐπηρεάζονται ἀπὸ αὐτές, καὶ τὴν ὑπέρβαση τῆς σύμφωνης μὲ τὴ φύση πνευματικῆς θεωρίας σχετικὰ μ' αὐτά. «Ἀνάληψη» λέει τὴν παραμονὴ καὶ ἐγκατάστασή του πού θὰ γίνει ἔπειτα μέσα στὸ Θεό, τὴν ὁποία πολὺ κατάλληλα ὁ δάσκαλος τὴν εἶπε «ἀνάληψη», ἐπειδὴ ἤθελε νὰ δείξει ὅτι ὁ 'Απόστολος δὲν ἐνέργησε τὴν ἀνάληψη, ἀλλὰ τὴν ἔπαθε. Γιατὶ ἡ ἀνάληψη εἶναι πάθος ἐκείνου πού ἀναλαμβάνεται καὶ ἐνέγεια ἐκείνου πού ἀναλαμβάνει. Τὰ φυσικὰ λοιπὸν καὶ σχετικὰ ὀνόματα πού εἶχε ὁ Κύριος, ὁ 'Απόστολος ξεπέρασε κατὰ φύση καὶ σχέση τὴν κλήση αὐτῶν, ἀνεβαίνοντας πιὸ πάνω ἀπὸ τὴν ἀνθρώ-

*νος. Οὗ δὲ μᾶλλον ἀπείρως ἀπέδει θείου ὀνόματος, τούτου κατὰ χάριν μετέσχε τῆς κλήσεως, Θεὸς ἀντὶ παντὸς ἄλλου προσόντος ὀνόματος φυσικοῦ τε καὶ σχετικοῦ τῇ ἀναλήψει καὶ γενόμενος καὶ καλούμενος.*

*Ἢ καὶ πάλιν οὕτω· «πρόοδος» μέν ἐστιν ἡ παντελὴς κατ' ἀρετὴν τῆς φύσεως ἄρνησις, «ἀνάβασις» δὲ ἡ τῶν ἐν οἷς ἐστιν ἡ φύσις ὑπέρβασις, λέγω δὲ τόπον καὶ χρόνον, ἐν οἷς ἡ τῶν ὄντων ἐστὶν ὑπόστασις, «ἀνάληψις» δὲ ἡ πρὸς τὸν ἐξ οὗ τὰ πάντα καὶ δι' οὗ καὶ εἰς ὄν, ὡς πρὸς πέρας τῶν ὅλων κατὰ χάριν ἀποκατάστασις. Καὶ ἄλλως δὲ φάναι, «πρόοδός» ἐστιν ἡ διὰ τῆς πρακτικῆς φιλοσοφίας ὡς διδασκάλου τοῦ Ἀποστόλου τῶν αὐτοῦ μαθητῶν εἰς ἀρετὴν προκαθήγησις· δεῖ γὰρ ἐν παντὶ προπορεύεσθαι τῶν μαθητῶν τὸν διδάσκαλον, πρὸς τὴν τῶν καθηκόντων ἐνέργειαν· «ἀνάβασις» δὲ ἡ διὰ τῆς φυσικῆς θεωρίας ἐπιστημονικὴ τῶν ἐν τοῖς οὖσι λόγων περίληψις, «ἀνάληψις» δὲ ἡ εὐσεβὴς τῆς ἀληθοῦς καὶ θεολογικῆς σοφίας ἄρρητος μύησις. Τρίτον δὲ οὐρανὸν κατὰ στοχασμὸν εἶναι νομίζω τοὺς περιγράφοντας ὅρους τῆς τε πρακτικῆς φιλοσοφίας καὶ τῆς φυσικῆς θεωρίας, καὶ τῆς θεολογικῆς μυσταγωγίας τοὺς ὑψηλοτάτους λόγους, ἤτοι τὰ τούτων πέρατα, ἐπειδὴ μέτρον ἐστί τι καταλήψεως ἀρετῆς καὶ φύσεως καὶ τῆς ἐπ' ἀμφοῖν θεολογίας, ἀναλόγως κατὰ φύσιν ἑκάστῳ τῶν ὄντων παρὰ Θεοῦ προσηρμοσμένον, ἐν οἷς ὅροις καὶ πέρασιν ὁ μακάριος Ἀπόστολος τοὺς τῶν εἰρημένων κατὰ τὸ ἐφικτὸν παρελθὼν λόγους ἐγένετο. Εἰ γὰρ περιγραφὴ τῶν ἐντὸς διειλημμένων κατὰ φύσιν ἐστὶν ὁ οὐρανός, καὶ ὅρος πάντων τῶν ὑπὸ αἴσθησιν, δηλονότι κατὰ τὸν τῆς ἀναγωγῆς λόγον καὶ πᾶσα περιγράφουσα τοὺς περί τινος ἀρετῆς ἢ γνώσεως λόγους λῆξις, ὡς ὅρος τῶν ὁριζομένων καὶ πέρας τῶν περιγεγραμμένων, τροπικῶς οὐρανὸς ὀνομάζεται.*

*Ἢ πάλιν «τρίτον οὐρανὸν» εἶναι τυχόν φησιν ἡ Γραφὴ τὰς*

πινη φύση καὶ τὴν ἀρετὴ καὶ τὴ γνώση. Καὶ τοῦ θείου ὀνόματος ἀπὸ τὸ ὁποῖο βρισκόταν σὲ ἄπειρη ἀπόσταση, αὐτοῦ ἔλαβε κατὰ χάρη τὴν κλήση κι ὀνομάσθηκε θεός, ἀντὶ ὁποιουδήποτε ἄλλου ὀνόματος ποὺ εἶχε καὶ φυσικοῦ καὶ σχετικοῦ μὲ τὴν «ἀναληψή του».

Ἢ κι ἔτσι πάλι· «Πρόοδος» εἶναι ἡ πλήρης ἄρνηση τῆς φύσης ἀπὸ ἀρετή· «ἀνάβαση» εἶναι ἡ ὑπέρβαση ἐκείνων μέσα στὰ ὁποῖα βρίσκεται ἡ φύση μας, ἐννοῶ τὸν τόπο καὶ τὸ χρόνο, ὅπου πραγματοποιεῖται ἡ ὑπόσταση τῶν ὄντων· «ἀνάληψη» εἶναι ἡ ἀποκατάσταση κατὰ χάρη ὅλων ὡς πρὸς ἕνα πέρας σ' αὐτὸν ἀπὸ τὸν ὁποῖο προῆλθαν τὰ πάντα καὶ διαμέσου του δημιουργήθηκαν καὶ στὸν ὁποῖο θὰ καταλήξουν. Ἀλλὰ νὰ τὸ πῶ κι ἀλλιῶς· «Πρόοδος» εἶναι ἡ καθοδήγηση μὲ τὴν πρακτικὴ φιλοσοφία τῶν μαθητῶν του στὴν ἀρετὴ ἀπὸ τὸν Ἀπόστολο ὡς δάσκαλό τους. Γιατὶ πρέπει σὲ κάθε βῆμα νὰ προπορεύεται ὁ δάσκαλος ἀπὸ τοὺς μαθητές του, γιὰ τὴν ἐκτέλεση τῶν καθηκόντων τους· «ἀνάβαση» εἶναι ἡ ἐπιστημονικὴ περίληψη τῶν λόγων τῶν ὄντων μὲ τὴ φυσικὴ θεωρία· καὶ «ἀνάληψη» εἶναι ἡ εὐσεβὴς καὶ ἄρρητη μύηση τῆς ἀληθινῆς καὶ θεολογικῆς σοφίας. Τρίτος οὐρανὸς κατὰ εἰκασία νομίζω πὼς εἶναι οἱ ὅροι ποὺ περιγράφουν τόσο τὴν πρακτικὴ φιλοσοφία ὅσο καὶ τὴ φυσικὴ θεωρία καὶ τοὺς ὑψηλότερους λόγους τῆς θεολογικῆς μυσταγωγίας, δηλαδὴ τὰ πέρατα αὐτῶν, ἐπειδὴ ὑπάρχει κάποιο μέτρο γιὰ τὴν κατανόηση τῆς ἀρετῆς καὶ τῆς φύσης καὶ τῆς θεολογίας καὶ τῶν δύο, ποὺ ἐφαρμόζεται ἀπὸ τὸ Θεὸ σὲ καθένα ἀπὸ τὰ ὄντα ἀνάλογα μὲ τὴ φύση του· στοὺς ὅρους αὐτοὺς καὶ σ' αὐτὰ τὰ πέρατα ἔφτασε ὁ μακάριος Ἀπόστολος προσπερνώντας κατὰ τὸ δυνατὸ τοὺς λόγους ὅσων εἶπα. Γιατί, ἂν ἡ περιγραφὴ αὐτῶν ποὺ περιέχει φυσικὰ μέσα του εἶναι ὁ οὐρανὸς καὶ ὅρος ὅλων τῶν αἰσθητῶν, εἶναι φανερὸ σύμφωνα μὲ τὸ λόγο τῆς ἀναγωγῆς ὅτι καὶ κάθε λῆξη, ποὺ περιγράφει τοὺς λόγους γιὰ κάποια ἀρετὴ καὶ γνώση, ὀνομάζεται μεταφορικὰ οὐρανός, σὰν ὅρος τῶν ὁριζομένων καὶ πέρας τῶν περιγραμμένων.

Ἢ πάλι «τρίτος οὐρανὸς» ἴσως λέει ἡ Γραφὴ πὼς εἶναι οἱ

*ὑπὲρ ἡμᾶς πρὸς τὸ ἄνω καθ' εἱρμὸν τρεῖς τῶν ἁγίων ἀγγέλων τάξεις, ἅσπερ ἔφθασεν ἴσως ὁ ἅγιος Παῦλος, ταῖς τῶν κατ' αὐτὸν γνώσεων ἀποφάσεσι τῶν κατ' ἐκείνους τὰς καταφάσεις μυούμενος καὶ ταῖς καθ' ὑπεροχὴν τῶν οἰκείων στερήσεσι τὰς ἐκείνων ἕξεις μιμούμενος. Πᾶσα γὰρ φύσις τῶν λογικῶν κατὰ τὴν ἑαυτῆς τάξιν καὶ δύναμιν τῆς ὑπὲρ αὐτὴν οὐσίας καὶ τάξεως τὰς γνωστικὰς ἕξεις τε καὶ θέσεις καταφάσεις στερητικῶς ταῖς κατ' αὐτὴν ἀφαιρετικαῖς ἀποφάσεσι μυεῖταί τε καὶ μιμεῖται, καὶ ἔστιν ἡ κατὰ τὴν γνῶσιν τῶν ὑπερκειμένων κατάφασις τῶν ὑποβεβληκότων ἀπόφασις, καὶ ἔμπαλιν τῶν ὑποβεβληκυιῶν ἡ κατὰ τὴν γνῶσιν ἀπόφασις τῶν ὑπερεχουσῶν κατάφασις, μέχρι τῆς πασῶν καθ' ὑπεροχὴν ἀνωτάτης φύσεώς τε καὶ τάξεως ἀποφατικῶς προοδεύουσα, ἣν μετὰ πάσας τάξεις τε καὶ δυνάμεις ἡ ἄμεσος περὶ Θεὸν διαδέχεται κατὰ τὴν γνῶσιν ἀπόφασις, ὑπ' οὐδενὸς παντελῶς καταφασκομένη τῶν ὄντων, μὴ ὄντος λοιπὸν ὅρου τινὸς ἢ πέρατος τοῦ ταύτην περιλαμβάνοντος τὴν ἀπόφασιν. Ὥσπερ γὰρ τῶν αἰσθητῶν κατὰ φύσιν ἀπόφασίς ἐστι τὰ νοητά, οὕτω καὶ ἐν ταῖς συμπληρούσαις τὸν ἄνω κόσμον οὐσίαις τε καὶ δυνάμεσιν αἱ τῶν πρώτων κατὰ τὴν περὶ Θεὸν γνῶσιν ὑπεροχαί, διὰ τὴν ὕφεσιν ταῖς μετ' αὐτὰς ἀποφάσκονται.*

*Ὡς γὰρ ἅπερ ἡμεῖς νοεῖν οὐ δυνάμεθα, τοῖς ὑπὲρ ἡμᾶς ἁγίοις ἀγγέλοις εἰσὶ νοητά, οὕτω καὶ τοῖς ὑπὲρ ἡμᾶς ἁγίοις ἀγγέλοις τὰ μὴ νοούμενα τοῖς ὑπὲρ αὐτοὺς ἁγίοις ἀγγέλοις εἰσὶ νοητά, καὶ οὕτω καθ' ἑξῆς ἀπὸ δυνάμεως εἰς δύναμιν ἀναβαίνων ὁ λόγος καὶ ὑψούμενος, καὶ πάσας τάξεις τε καὶ δυνάμεις διαβαίνων, εἰς τὸ ἄρρητόν τε καὶ ἀνόητον λήγει καὶ παντελῶς ἄγνωστον. Εἰ τοίνυν κατὰ τὸν Ἀρεοπαγίτην Διονύσιον αἱ μὲν ἀποφάσεις ἐπὶ τῶν θείων ἀληθεῖς, αἱ δὲ καταφάσεις ἀνάρμοστοι τῇ κρυφιότητι τῶν ἀπορρήτων, εἰκότως ὁ θεσπέσιος Ἀπόστολος πασῶν τῶν κατ' αὐτὸν γνώσεων ἀποφήσας τὴν νόησιν καὶ πάσης ὑπεράνω*

62. ΔΙΟΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ, *Περὶ μυστικῆς θεολογίας*, κεφ. 1, Φιλοκαλία τ. 3, 478.

πάνω ἀπὸ ἐμᾶς κατὰ σειρὰ ἀνοδικὴ τάξεις τῶν ἁγίων ἀγγέλων, ποὺ ἴσως ἔφτασε ὁ ἅγιος Παῦλος, μυούμενος μὲ τὶς δικές του ἀποφατικὲς γνώσεις στὶς καταφάσεις ἐκείνων καὶ μιμούμενος μὲ τὶς δικές του ἀποφατικὲς γνώσεις στὶς καταφάσεις ἐκείνων καὶ μιμούμενος τὶς ἕξεις ἐκείνων μὲ τὶς καθ' ὑπεροχὴν στερήσεις τῶν δικῶν του. Γιατὶ κάθε φύση τῶν λογικῶν σύμφωνα μὲ τὴν τάξη καὶ τὴ δύναμή της μυεῖται στὶς πάνω ἀπὸ αὐτὴν οὐσίες καὶ τάξεις τὶς γνωστικὲς ἕξεις καὶ τὶς θέσεις (καταφάσεις) κατὰ στέρηση μὲ τὶς σύμφωνες μ' αὐτὴν ἀφαιρέσεις (ἀποφάσεις) καὶ τὶς μιμεῖται. Ἔτσι εἶναι ἡ γνωστικὴ κατάφαση τῶν ὑπερκειμένων φύσεων ἀπόφαση (ἄρνηση) τῶν ὑποκειμένων καὶ τὸ ἀντίθετο ἡ γνωστικὴ ἀπόφαση (ἄρνηση) τῶν ὑποκείμενων κατάφαση τῶν ἀνωτέρων, προχωρώντας ἀρνητικὰ ὡς τὴν ἀνώτατη στὴν ὑπεροχή της πρὸς ὅλα φύση καὶ τάξη, τὴν ὁποία ἔπειτα ἀπὸ ὅλες τὶς τάξεις καὶ τὶς δυνάμεις τὴ διαδέχεται ἡ ἄμεση ἀποφατικὴ γνώση περὶ Θεοῦ, ποὺ δὲν καταφάσκεται ἀπὸ κανένα ἐντελῶς ὄν, ἐπειδὴ δὲν ὑπάρχει πιὰ κανένα ὅριο ἢ πέρας ποὺ νὰ περιλαμβάνει αὐτὴ τὴν ἄρνηση. Ὅπως δηλαδὴ φυσικὴ ἀπόφαση (ἄρνηση) τῶν αἰσθητῶν εἶναι τὰ νοητά, ἔτσι καὶ στὶς οὐσίες καὶ δυνάμεις ποὺ ὅλες μαζὶ γεμίζουν τὸν ἄνω κόσμο, οἱ ὑπεροχὲς τῶν πρώτων κατὰ τὴ γνώση περὶ Θεοῦ, ἀποφάσκονται ἀπὸ τὶς ἔπειτ' ἀπὸ αὐτὲς ἐξαιτίας τῆς κατωτερότητάς τους.

Ὅπως δηλαδὴ αὐτὰ ποὺ δὲν μποροῦμε νὰ νοήσομε, εἶναι νοητὰ στοὺς πάνω ἀπὸ ἐμᾶς ἀγγέλους, ἔτσι κι αὐτὰ ποὺ δὲ νοοῦν οἱ πάνω ἐμᾶς ἄγγελοι εἶναι νοητὰ στοὺς ἁγίους ἀγγέλους τοὺς πάνω ἀπὸ αὐτούς· κι ἔτσι καθεξῆς ἀνεβαίνοντας ὁ λόγος ἀπὸ δύναμη σὲ δύναμη καὶ διαβαίνοντας ὅλες τὶς τάξεις καὶ τὶς δυνάμεις καταλήγει σ' αὐτὸ ποὺ δὲ λέγεται καὶ ποὺ δὲ νοεῖται καὶ εἶναι τελείως ἄγνωστο. Ἂν λοιπὸν κατὰ τὸ Διονύσιο τὸν Ἀρεοπαγίτη γιὰ τὰ θεῖα ἀληθεύουν οἱ ἀποφάσεις[62], ἐνῶ οἱ καταφάσεις δὲν ἁρμόζουν στὴν κρυφιότητα τῶν ἀπορρήτων, εὔλογα ὁ θεσπέσιος Ἀπόστολος ἀποφάσκοντας τὴ νόηση ὅλων τῶν γνώσε-

*γενόμενος τῶν ὄντων σχέσεως, οὔτε ἐν σώματι, καθὼς εἶπεν, εἰκότως ἦν, ἐνεργοῦσαν οὐκ ἔχων τὴν αἴσθησιν, οὔτε ἐκτὸς αὖθις τοῦ σώματος, ἀργοῦσαν ἔχων τὴν νόησιν κατὰ τὸν καιρὸν τῆς αὐτῷ γενομένης ἁρπαγῆς, καθ' ἣν ἀφράστως τε καὶ ἀγνώστως τινὰ δεξάμενος κατὰ μύησιν ὑπερκόσμιον ῥήματα σιγῇ ταῦτα τιμήσας ἐφύλαξε παντελῶς ἀνέκφορα, ὡς μήτε νοῦ νοῆσαι, μήτε γλώσσης λαλῆσαι, μήτε ἀκοῆς αὐτὰ δέξασθαι δυναμένων.*

*Ποιεῖ δέ, καθὼς οἱ πεπειραμένοι φασί, τὴν μὲν ἐν τῇ λεχθείσῃ «προόδῳ» τῆς ἀρετῆς τελείαν πρᾶξιν πίστις ὀρθὴ καὶ φόβος εἰς Θεὸν ἀνόθευτος, τὴν δὲ κατὰ τὴν ἀνάβασιν ἄπταιστον φυσικὴν θεωρίαν ἐλπὶς βεβαία καὶ ἀλώβητος σύνεσις, τὴν δὲ κατὰ τὴν «ἀνάληψιν» θέωσιν ἀγάπη τελεία καὶ νοῦς τοῖς οὖσι καθ' ὑπεροχὴν πάμπαν ἑκουσίως πεπηρωμένος. Καὶ τῆς μὲν πρακτικῆς φιλοσοφίας πάλιν ἔργον εἶναί φασι πάσης τὸν νοῦν ἐμπαθῆ φαντασίας καθαρὸν καταστῆσαι, τῆς δὲ φυσικῆς θεωρίας πάσης τῆς ἐν τοῖς οὖσι καθ' ἣν αἰτίαν ὑπάρχουσιν ἀληθοῦς γνώσεως αὐτὸν ἐπιστήμονα δεῖται, τῆς δὲ θεολογικῆς μυσταγωγίας ὅμοιον Θεῷ καὶ ἴσον, ὡς ἐφικτόν, τῇ χάριτι κατὰ τὴν ἕξιν ποιῆσαι μηδενὸς τὸ σύνολον ἔτι τῶν μετὰ Θεὸν διὰ τὴν ὑπεροχὴν ὄντα νοήμονα.*

## *Π'*

***Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Οὐδ' ἂν αὐτὸν δυνηθῆναι χωρῆσαι τὸν κάτω κόσμον, Ἰωάννης ὁ τοῦ Λόγου πρόδρομος, ἡ μεγάλη τῆς ἀληθείας φωνή, διωρίζετο».***

***Εὔκαιρον ἦν κἀμὲ πρὸς τὸν ἅγιον τοῦτον καὶ μέγαν τῆς ἀληθείας διδάσκαλον, τὸ μέγεθος ὁρῶντα τῆς αὐτῷ παρὰ Θεοῦ δοθείσης σοφίας, εἰπεῖν ὅπερ Δαβίδ, ὁ τῶν προφητῶν καὶ βασιλέων ἐπισημότατος, πρὸς τὸν Θεόν, τὸ ἄπειρον τῆς ἐν πᾶσιν αὐτοῦ***

---

**63. Β' Κορ. 2,9.**

**64. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΚΗ' *Περὶ Θεολογίας. Θεολογικὸς β'*, κ. 20, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 4, σ. 72.**

ων ποὺ εἶχε κι ἀνεβαίνοντας πάνω ἀπὸ κάθε σχέση μὲ τὰ ὄντα, οὔτε μέσα στὸ σῶμα ἦταν, ὅπως εὔλογα εἶπε, ἐπειδὴ δὲν ἐνεργοῦσε ἡ αἴσθησή του, οὔτε πάλι ἔξω ἀπὸ τὸ σῶμα, ἐπειδὴ ἡ νόησή του ἀργοῦσε κατὰ τὸν καιρό τῆς ἁρπαγῆς του, κατὰ τὴν ὁποία, ἀφοῦ μὲ τρόπο ἄρρητο καὶ ἄγνωστο ἄκουσε κάποιους λόγους σύμφωνα μὲ μιὰ ὑπερκόσμια μύηση, τιμώντας τους μὲ σιγὴ τοὺς φύλαξε χωρὶς νὰ τοὺς ἀνακοινώσει καθόλου, ἐπειδὴ δὲν μποροῦσαν οἱ ἄλλοι οὔτε νὰ τοὺς νοήσουν οὔτε νὰ τοὺς ποῦν μὲ τὴ γλώσσα τους, οὔτε νὰ τὰ δεχθεῖ ἡ ἀκοή τους[63].

Κάνει λοιπόν, ὅπως λένε ὅσοι ἔχουν πείρα, τὴν τέλεια πράξη τῆς ἀρετῆς, κατὰ τὴν «πρόοδο» ποὺ εἶπε, ἡ ὀρθὴ πίστη καὶ ὁ ἀνόθευτος φόβος στὸ Θεό, τὴν ἀλάνθαστη φυσικὴ θεωρία κατὰ τὴν 'ἀνάβαση' ἡ σταθερὴ ἐλπίδα καὶ ἡ ἀβλαβὴς σύνεση, καὶ τὴ θέωση «τῆς ἀνάληψης» ἡ τέλεια ἀγάπη καὶ ὁ νοῦς ποὺ ἔχει τυφλωθεῖ τελείως ἀπὸ ὑπεροχὴ θεληματικὰ ὡς πρὸς τὰ ὄντα. Κι ἔργο τῆς πρακτικῆς φιλοσοφίας λένε πάλι πὼς εἶναι νὰ καθάρει τὸ νοῦ ἀπὸ κάθε ἐμπαθὴ φαντασία, τῆς φυσικῆς θεωρίας ἔργο εἶναι νὰ τὸν κάνει ἐπιστήμονα ὅλης τῆς ἀληθινῆς γνώσης τῶν ὄντων σύμφωνα μὲ τὸ λόγο ὕπαρξής τους, καὶ ἔργο τῆς θεολογικῆς μυσταγωγίας εἶναι, νὰ τὸν κάνει κατὰ χάρη ὅμοιο καὶ ἴσο μὲ τὸ Θεὸ στὴν ἕξη, ὅσο εἶναι δυνατό, ὥστε νὰ μὴν ἔχει πιὰ στὸ νοῦ του τίποτε γενικὰ ἐξαιτίας τῆς ὑπεροχῆς του ἀπὸ τὰ ἔπειτ' ἀπὸ τὸ Θεό.

## 80

Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Οὔτε ὁ κάτω κόσμος θὰ μποροῦσε νὰ τὸν χωρέσει, διακήρυττε ὁ Ἰωάννης, ὁ πρόδρομος τοῦ Λόγου, ἡ μεγάλη φωνὴ τῆς ἀλήθειας»[64].

Ἦταν εὐκαιρία νὰ πῶ κι ἐγὼ πρὸς τὸν ἅγιο αὐτὸν καὶ μεγάλο δάσκαλο τῆς ἀλήθειας, βλέποντας τὸ μέγεθος τῆς σοφίας ποὺ τοῦ ἔδωσε ὁ Θεός, ὅ,τι εἶπε ὁ Δαβίδ, ὁ πιὸ ἐπίσημος ἀπὸ τοὺς προφῆτες καὶ βασιλεῖς, πρὸς τὸ Θεό, κατάπληκτος ἀπὸ τὸ ἄπειρο μεγαλεῖο του σὲ ὅλα, μιλώντας μὲ τρόπο ἔνθεο· «μοῦ προκα-

*μεγαλειότητος καταπλαγείς, ἐνθεαστικῶς ἀπεφθέγξατο, λέγων· «ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν», ὡς ἦν δίκαιον, μάλιστα θαύματι μόνῳ περιγράψας τὴν ἀπερίγραφον δύναμιν, οὐκ ἔχων ἄλλοθί ποι περὶ τῶν ἀνεφίκτων τῆς ψυχῆς ἐρεῖσαι τὴν πολυκίνητον βάσιν· κἀμέ, ὡς εἶπον, ἀρκεῖσθαι τὸν ἐκ τοῦ θαυμάζειν σοφοῦ διδασκάλου σύνεσιν ἁγιασμὸν κομίσασθαι, καὶ μὴ πολυπραγμονεῖν, πῶς καὶ τίνι λόγῳ παρ' ἱστορίαν, ἅπερ θεία φωνὴ τοῖς ἁγίοις μυστικῶς ὀνόματα τέθεικεν, ἀλλήλοις ὁ διδάσκαλος περιτρέπει, τὸν υἱὸν τῆς βροντῆς Ἰωάννην πρόδρομον ἐνταῦθα προσαγορεύων. Ἐπειδὴ δὲ καὶ τῆς εὐπειθείας πολύς ἐστι ὁ μισθός, ἐντολῆς μάλιστα τοῖς ἡγουμένοις πείθεσθαι κελευούσης, καὶ σχολάσαι καὶ γνῶναι καὶ ἐρευνᾶν τὰς Γραφὰς καὶ μελετᾶν τὸν θεῖον νόμον ἡμέρας καὶ νυκτός, ἐν τοῖς εὖ ἔχουσι μάλιστα κείμενον ἔγνων, τοῦ τε ὄκνου καὶ τῆς ἀπειθείας τὸν κίνδυνον ὑφορώμενος, στοχαστικῶς περὶ τούτων κατὰ δύναμιν ἐρῶ, ταῖς ὑμῶν θαρρῶν τῶν ἐπιταξάντων εὐχαῖς.*

*Οἶμαι τοίνυν τὸ παρ' ἱστορίαν εἰρημένον τῷ θεοφόρῳ τούτῳ διδασκάλῳ, παρατιθεμένῳ τὸν τοῦ Χριστοῦ πρόδρομον ἀντὶ τοῦ τῆς βροντῆς υἱοῦ, μὴ δύνασθαι ἄλλως, ἢ κατὰ θεωρίαν ὁμαλίζεσθαι. Μόνη γὰρ αὕτη τῶν κατὰ τὴν ἱστορίαν ἀλλήλοις ἀντικεῖσθαι δοκούντων ἐστὶν ὁμαλισμός, ὡς τὴν ἐν ὅλοις ἀλήθειαν ἁπλῆν οὖσαν κατὰ τὴν φύσιν ἀσωμάτως ἐμφαίνουσα, μὴ συμπαχυνομένην ταῖς φωναῖς ἢ τοῖς σώμασιν. Ὥσπερ οὖν ὁ μέγας Βαπτιστὴς Ἰωάννης ἐρρέθη πρόδρομος, ὡς πρὸς τὸν ἀληθῶς προσδοκώμενον, καὶ φωνὴ πρὸς Λόγον, ὡς τούτου μηνυτικῶς προηγουμένη, καὶ λύχνος πρὸς ἥλιον, ὡς τεχνικόν τε καὶ θετικὸν καὶ πρόσκαιρον φῶς πρὸς φυσικόν τε καὶ οὐσιῶδες καὶ ἀτέχναστον καὶ αἰώνιον φῶς καὶ ἄσβεστον, οἶμαι δὲ ὅτι καὶ ὡς μετάνοια, τὴν πρὸ αὐτῆς κατὰ φύσιν ὑπάρχουσαν δικαιοσύνην μετ' αὐτὴν κατ' οἰκονομίαν γενομένην κηρύττουσα, οὕτως, οἶμαι, κἀνταῦθα τὸν θεόφρονα τοῦτον διδάσκαλον διὰ τοῦ παρ' ἱστο-*

65. Ψαλμ. 138,6. 66. Μάρκ. 3,17.

λεῖ θαυμασμὸ ἡ γνώση σου, εἶναι ἀσύγκριτη καὶ δὲν μπορῶ νὰ τὴ συλλάβω μὲ τὸ νοῦ μου»[65] ὅπως ἦταν δίκαιο, καὶ μόνο μὲ τὸ θαυμασμὸ κυρίως νὰ περιγράψω τὴν ἀπερίγραφη δύναμη, ἀφοῦ δὲν ἔχω ποῦ ἀλλοῦ νὰ στηρίξω τὴν πολυκίνητη βάση τῆς ψυχῆς γιὰ τὰ ἀδύνατα. Κι ἐγώ, ὅπως εἶπα, νὰ ἀρκεστῶ νὰ ἀποκομίσω τὸν ἁγιασμὸ ἀπὸ τὸ θαυμασμό μου πρὸς τὶς γνῶσεις τοῦ σοφοῦ δασκάλου καὶ νὰ μὴ λεπτολογῶ, πῶς καὶ γιὰ ποιὸ λόγο ἀντίθετα μὲ τὴν ἱερὴ ἱστορία ἐναλλάσσει μεταξύ τους ὁ δάσκαλος τὰ ὀνόματα ποὺ ἡ θεία φωνὴ ἔχει θέσει μυστικὰ στοὺς ἁγίους, ἀποκαλώντας ἐδῶ τὸν υἱὸ τῆς βροντῆς, τὸν Ἰωάννη, πρόδρομο[66]. Ἐπειδὴ ὅμως εἶναι πολὺς καὶ ὁ μισθὸς τῆς ὑπακοῆς, ἀφοῦ ἡ ἐντολὴ προστάζει νὰ ὑπακοῦμε ἀπόλυτα στοὺς ἀρχηγοὺς καὶ ν' ἀσχοληθοῦμε καὶ νὰ γνωρίσομε καὶ νὰ ἐρευνοῦμε τὶς Γραφὲς καὶ νὰ μελετοῦμε τὸ θεῖο νόμο μέρα καὶ νύχτα, καὶ διέγνωσα μάλιστα ὅτι εἶναι ἀνάμεσα σὲ ὅσα ἔχουν καλῶς, ἀποφεύγοντας τὸν κίνδυνο τῆς ὀλιγωρίας καὶ τῆς ἀπείθειας, θὰ μιλήσω μὲ συλλογισμοὺς γι' αὐτὰ ἀνάλογα μὲ τὴ δύναμή μου, στηρίζοντας τὸ θάρρος μου στὶς προσευχές τὶς δικές σας ποὺ μὲ προστάξατε.

Νομίζω λοιπὸν αὐτὸ ποὺ ὁ θεοφόρος αὐτὸς δάσκαλος εἶπε ἀντίθετα μὲ τὴν ἱερὴ ἱστορία, παραθέτοντας τὸν πρόδρομο τοῦ Χιρστοῦ στὴ θέση τοῦ γιοῦ τῆς βροντῆς, δὲν μπορεῖ νὰ ἐξομαλυνθεῖ ἀλλιῶς παρὰ μονάχα σύμφωνα μὲ τὴ θεωρία. Γιατὶ αὐτὴ μονάχα γίνεται ἐξομάλυνση ὅσων φαίνονται μέσα στὴν ἱστορία ὅτι εἶναι ἀντίθετα, ἐπειδὴ φανερώνει δίχως σῶμα ὅτι ἡ ἀλήθεια μέσα σὲ ὅλα εἶναι ἁπλῆ στῆ φύση καὶ δὲν συμπαχύνεται μὲ τὰ ὀνόματα ἢ τὰ σώματα. Ὅπως λοιπὸν ὁ μεγάλος βαπτιστὴς Ἰωάννης ὀνομάσθηκε πρόδρομος, ὡς πρὸς τὸν ἀληθινὰ προσδοκώμενο, καὶ φωνὴ ὡς πρὸς τὸ Λόγο, γιατὶ προηγήθηκε, ὡς προμηνύουσα αὐτόν, ἀπὸ αὐτόν, καὶ λύχνος ὡς πρὸς τὸν ἥλιο, σὰν φῶς τεχνητὸ καὶ θετικὸ καὶ πρόσκαιρο ὡς πρὸς φῶς φυσικὸ καὶ οὐσιῶδες καὶ ἀκατασκεύαστο κι αἰώνιο κι ἄσβεστο, καὶ νομίζω καὶ σὰν μετάνοια ποὺ κηρύττει τὴ δικαιοσύνη ποὺ ὑπάρχει κατὰ φύση πρὶν ἀπὸ αὐτὴ καὶ ἐκδηλώθηκε κατ' οἰκονομία ἔπειτ' ἀπὸ αὐτήν, ἔτσι νομίζω κι ἐδῶ μὲ τὸ νὰ πεῖ ὁ θεόφρων αὐτὸς δάσκα-

*τρίαν εἰπεῖν πρόδρομον τὸν μέγαν ἀπόστολον Ἰωάννην παραινίξασθαι, θέλειν, ὅτιπερ καὶ Ἰωάννης ὁ μέγας εὐαγγελιστὴς ἐν τῷ κατ' αὐτὸν Εὐαγγελίῳ πρόδρομός ἐστι τοῦ δι' αὐτοῦ μηνυομένου μυστικωτέρου καὶ μείζονος Λόγου, καὶ γράμμασι τυπωθῆναι καὶ φωνῇ γλώσσης σαρκίνης ῥηθῆναι μὴ δυναμένου.*

*Στοιχείωσις γὰρ ὡς πρὸς τὴν ἐπιγινομένην ἑκάστοτε τοῖς δι' αὐτῶν ὑψουμένοις, καὶ τὸ πάχος τοῦ σωματικοῦ φρονήματος πνευματικῶς ἑαυτῶν ἀποξέουσιν, ἢ καὶ ἐπιγενησομένην εἰς ὕστερον γνῶσιν, μετὰ τὴν τῶν κινουμένων συντέλειαν, ἡ τῶν ἁγίων εὐαγγελίων ἐστὶ συγγραφή. Ὥσπερ γὰρ ὁ νόμος στοιχείωσις ἦν, κατὰ τὴν τέως ἐμφαινομένην αὐτῷ γνῶσιν, τῶν δι' αὐτοῦ εἰς Χριστὸν τὸν ἐν σαρκὶ Λόγον παιδαγωγουμένων καὶ τῷ Εὐαγγελίῳ κατὰ τὴν αὐτοῦ πρώτην παρουσίαν συναγομένων, οὕτω καὶ τὸ ἅγιον Εὐαγγέλιον στοιχείωσίς ἐστι τῶν δι' αὐτοῦ εἰς Χριστὸν τὸν ἐν Πνεύματι Λόγον παιδαγωγουμένων, καὶ τῷ μέλλοντι κόσμῳ κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν συναγομένων· ἐπειδὴ γὰρ σὰρξ καὶ πνεῦμά ἐστιν ὁ αὐτὸς κατὰ τὴν ἑκάστῳ τῆς γνώσεως ἀναλογίαν τοῦτο ἢ ἐκεῖνο γινόμενος, πᾶς γὰρ λόγος φωναῖς ὑποπίπτων καὶ γράμμασι.*

*Θαρρῶ δὲ εἰπεῖν ὅτι καὶ πᾶν νόημα, νῷ τυπωθῆναι δυνάμενον, στοιχειώσεως οὐδὲν διενήνοχε τὰ ὑπὲρ αὐτὴν μηνυούσης. Διὸ καὶ τέσσαρα τὸν ἀριθμὸν ὑπάρχει τὰ Εὐαγγέλια, ὡς τοῖς ὑπὸ αἴσθησιν ἔτι καὶ φθορὰν οὖσι τέως χωρητά. Τοσαῦτα γὰρ καὶ τὰ στοιχεῖα τυγχάνει τοῦ κόσμου τούτου, καὶ τέσσαρες πάλιν ἀρεταί, ἐξ ὧν ὁ κατὰ διάνοιαν πνευματικὸς συνέστηκε κόσμος, ἵνα τὸν τέως ἐν ἡμῖν νοητὸν κόσμον καὶ τὸν ἐν ᾧ ἐσμεν περιγράφῃ τῆς ἀληθείας ὁ λόγος, καὶ ἀλλήλοις αὐτοὺς ἀσυγχύτως καθ' ἕνωσιν συμβάλλῃ, καὶ ἀλλήλων πάλιν ἀδιαιρέτως διακρίνῃ, ταῖς τῶν συνιστώντων αὐτοὺς στοιχείων ὁμοιότησιν. Ὅπερ γάρ ἐστιν, ὥς φασιν, ὁ αἰθήρ, ἤγουν τὸ πύρινον στοιχεῖον, ἐν τῷ κατ'*

λος ἀντίθετα μὲ τὴν ἱστορία πρόδρομο τὸ μεγάλο ἀπόστολο Ἰωάννη, ἤθελε νὰ κάνει ὑπαινιγμὸ ὅτι κι ὁ μέγας Εὐαγγελιστὴς Ἰωάνης μὲ τὸ Εὐαγγέλιό του εἶναι πρόδρομος τοῦ μυστικότερου κι ἀνώτερου Λόγου ποὺ προμηνύει ὁ ἴδιος καὶ ποὺ δὲν μπορεῖ νὰ τυπωθεῖ μὲ γράμματα καὶ νὰ λεχθεῖ μὲ τὸν ἦχο τῆς σάρκινης γλώσσας.

Γιατὶ ἡ συγγραφὴ τῶν ἁγίων εὐαγγελίων εἶναι στοιχείωση ὡς πρὸς τὴ γνώση ποὺ ἐπισυμβαίνει κάθε φορὰ σ' ὅσους ἀνυψώνονται μέσω αὐτῶν κι ἀποξέουν ἀπὸ πάνω τους πνευματικὰ τὸ πάχος τοῦ σωματικοῦ φρονήματος ἢ τὴ γνώση ποὺ θὰ ἐπισυμβεῖ σ' αὐτοὺς ἀργότερα μετὰ τὴ συντέλεια τῶν κινουμένων. Ὅπως δηλαδὴ ὁ νόμος, σύμφωνα μὲ τὴ γνώση ποὺ ἐμφανιζόταν τότε σ' αὐτόν, ἦταν στοιχείωση ἐκείνων τοὺς ὁποίους παιδαγωγοῦσε στὸ Χριστό, τὸν ἔνσαρκο Λόγο, καὶ ποὺ τοὺς μάζευε γιὰ τὸ Εὐαγγέλιο κατὰ τὴν πρώτη παρουσία του, ἔτσι καὶ τὸ ἅγιο Εὐαγγέλιο εἶναι στοιχείωση ἐκείνων ποὺ παιδαγωγεῖ στὸ Χριστό, στὸν πνευματικὸ Λόγο, καὶ ποὺ τοὺς συνάγει γιὰ τὸν μελλοντικὸ κόσμο κατὰ τὴ δευτέρα παρουσία του. Ἐπειδὴ δηλαδὴ εἶναι σάρκα καὶ πνεῦμα ὁ ἴδιος, γίνεται τοῦτο ἢ ἐκεῖνο σύμφωνα μὲ τὴ γνώση ποὺ ἀναλογεῖ στὸν καθένα· γιατὶ κάθε λόγος διακρίνεται σὲ ἤχους καὶ γράμματα.

Παίρνω τὸ θάρρος νὰ πῶ ὅτι καὶ κάθε νόημα, ποὺ μπορεῖ ν' ἀποτυπωθεῖ στὸ νοῦ, δὲ διαφέρει καθόλου ἀπὸ τὴ στοιχείωση ποὺ ἀναγγέλλει τὰ πάνω ἀπὸ αὐτήν. Γι' αὐτὸ καὶ τὰ Εὐαγγέλια εἶναι τέσσερα, ἐπειδὴ εἶναι κατανοητὰ ἀπὸ ἐκείνους ποὺ εἶναι ἀκόμα παραδομένοι στὴν αἴσθηση καὶ τὴ φθορά. Γιατὶ τόσα εἶναι τὰ στοιχεῖα τοῦ κόσμου, καὶ ἐπείσης καὶ οἱ ἀρετὲς εἶναι τέσσερις, ἀπὸ τὶς ὁποῖες ἔχει τὴ σύστασή του ὁ διανοητικὸς πνευματικὸς κόσμος, γιὰ νὰ περιγράφει ὁ λόγος τῆς ἀλήθειας τὸ νοητὸ μέσα μας κόσμο καὶ τὸν κόσμο ὅπου βρισκόμαστε, καὶ ἀσύγχυτα νὰ τοὺς πλησιάσει μεταξύ τους καὶ νὰ τοὺς ἑνώσει, καὶ πάλι νὰ τοὺς ξεχωρίσει ἀδιαίρετα τὸν ἕνα ἀπὸ τὸν ἄλλο, μὲ τὶς ὁμοιότητες τῶν στοιχείων ποὺ τοὺς συνιστοῦν. Γιατί, αὐτὸ ποὺ εἶναι, ὅπως λένε, ὁ αἰθέρας, δηλαδὴ τὸ πύρινο στοιχεῖο τοῦ αἰσθητοῦ

*αἴσθησιν κόσμῳ, τοῦτο ἐν τῷ κόσμῳ τῆς διανοίας ἐστὶν ἡ φρόνησις, ὡς ἕξις φωτιστικὴ καὶ τῶν ἐφ' ἑκάστου τῶν ὄντων ἰδίως πνευματικῶν λόγων ἀποδεικτική, τὴν ἐν ὅλοις ἀπλανῶς δι' αὐτῶν αἰτίαν ἐκφαίνουσα, καὶ τῆς κατὰ ψυχὴν περὶ τὸ Θεῖον ἐφέσεως ἑλκτική· καὶ ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ὁ ἀήρ, τοῦτο ἐν τῷ κατὰ διάνοιαν κόσμῳ ἐστὶ ἡ ἀνδρεία, ὡς ἕξις κινητικὴ καὶ τῆς ἐμφύτου κατὰ πνεῦμα ζωῆς συνεκτική τε ἅμα καὶ δραστική, καὶ τῆς κατὰ ψυχὴν περὶ τὸ Θεῖον ἀεικινησίας τομωτική· καὶ ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστὶ τὸ ὕδωρ, τοῦτο ἐν τῷ τῆς διανοίας κόσμῳ ἐστὶν ἡ σωφροσύνη, ἕξις ὑπάρχουσα τῆς ἐν Πνεύματι ζωτικῆς γονιμότητος ποιητικὴ καὶ τῆς ἀειβλύστου κατὰ τὴν ἔφεσιν περὶ τὸ Θεῖον ἐρωτικῆς θέλξεως γεννητική· καὶ ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστὶν ἡ γῆ, τοῦτο ἐν τῷ τῆς διανοίας κόσμῳ ἐστὶν ἡ δικαιοσύνη, ἕξις ὑπάρχουσα κατ' εἶδος γεννητικὴ πάντων τῶν ἐν τοῖς οὖσι λόγων καὶ τῆς ἐν Πνεύματι κατὰ τὸ ἴσον ἑκάστῳ ζωτικῆς διαδόσεως ἀπονεμητικὴ καὶ τῆς οἰκείας ἐν τῷ καλῷ κατὰ τὴν θέσιν βάσεως ἀμετάθετος ἵδρυσις.*

*Γῆς οὖν καὶ δικαιοσύνης μυστικῶς λόγον ἐπέχει τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, ὡς φυσικώτερον τὸν λόγον ποιούμενον, ὕδατος δὲ καὶ σωφροσύνης τὸ κατὰ Μάρκον, ὡς ἐκ τοῦ βαπτίσματος Ἰωάννου καὶ τῆς κηρυττομένης ὑπ' αὐτοῦ μετανοίας, καθ' ἣν ἡ σωφροσύνη συνέστηκεν, ἀρχόμενον, ἀέρος δὲ καὶ ἀνδρείας τὸ κατὰ Λουκᾶν, ὡς περιοδικώτερον καὶ πλείοσιν ἱστορίαις πυκνούμενον, αἰθέρος δὲ καὶ φρονήσεως τὸ κατὰ Ἰωάννην, ὡς πάντων ἀνώτατον, καὶ ἁπλῆν μυστικῶς τὴν περὶ Θεοῦ πίστιν εἰσάγον καὶ ἔννοιαν. Φασὶ δὲ καὶ ἄλλως σύμβολον εἶναι τὴν τῶν ἁγίων Εὐαγγελίων τετράδα, πίστεως, καὶ πρακτικῆς, καὶ φυσικῆς, καὶ θεολογικῆς φιλοσοφίας· καὶ τῆς μὲν πίστεως σύμβολον εἶναι τὸ κατὰ Ματθαῖον, ὡς ἀπίστους μετὰ δώρων προσκυνοῦντας εἰσάγον τοὺς Μάγους, τῆς δὲ πρακτικῆς τὸ κατὰ Μάρκον, ὡς ἐκ τῆς μετανοίας, καθ' ἣν πᾶσα πρᾶξίς ἐστιν ἐνάρε-*

67. Α' Κορ. 12,11.

κόσμου, αὐτὸ εἶναι ἡ φρόνηση στὸ διανοητικὸ κόσμο, σὰν φωτιστικὴ ἱκανότητα καὶ ποὺ ἀποδεικνύει τοὺς ἀτοιμικοὺς πνευματικοὺς λόγους καθενὸς ἀπὸ τὰ ὄντα, φανερώνοντας μὲ αὐτοὺς ἀλάνθαστα τὴν αἰτία τῶν ὅλων καὶ ἕλκοντας τὸν ψυχικὸ πόθο πρὸς τὸ Θεῖο. Καὶ αὐτὸ ποὺ εἶναι στὸν αἰσθητὸ κόσμο ὁ ἀέρας, αὐτὸ εἶναι στὸν πνευματικὸ κόσμο ἡ ἀνδρεία, ὡς ἱκανότητα κινητικὴ καὶ συνεκτικὴ τῆς ἔμφυτης πνευματικῆς ζωῆς, καὶ μαζὶ διεγερτικὴ καὶ ποὺ διακόπτει τὴν ψυχικὴ σχετικὰ μὲ τὸ Θεῖο ἀεικινησία. Καὶ αὐτὸ ποὺ εἶναι στὸν αἰσθητὸ κόσμο τὸ νερό, αὐτὸ εἶναι στὸ διανοητικὸ κόσμο ἡ σωφροσύνη, ὄντας ἱκανότητα ποὺ προξενεῖ τὴν πνευματική, ζωτικὴ γονιμότητα καὶ γεννᾶ στὴν ἐπιθυμία πρὸς τὸ Θεῖο τὴν πάντοτε ἀναβλύζουσα ἐρωτικὴ θέλξη. Καὶ αὐτὸ ποὺ εἶναι στὸν αἰσθητὸ κόσμο ἡ γῆ, αὐτὸ στὸν πνευματικὸ κόσμο εἶναι ἡ δικαιοσύνη, ἱκανότητα ποὺ γεννᾶ κατὰ εἶδος ὅλους τοὺς λόγους τῶν ὄντων κι ἀπονέμει ἐξίσου στὸ καθένα τὴν πνευματικὴ ζωτικὴ δόση[67] καὶ ἀμετακίνητη θεμελίωση τῆς βάσης τους μέσα στὸ καλό.

Τὸ εὐαγγέλιο λοιπὸν τοῦ Ματθαίου ἔχει μυστικὰ θέση τῆς γῆς καὶ τῆς δικαιοσύνης, ἐπειδὴ ἡ διήγησή του εἶναι φυσικότερη. Τὸ εὐαγγέλιο τοῦ Μάρκου ἔχει τὴ θέση τοῦ νεροῦ καὶ τῆς σωφροσύνης, ἐπειδὴ ἀρχίζει ἀπὸ τὸ βάπτισμα τοῦ Ἰωάννη καὶ τὴ μετάνοια ποὺ κήρυττε, ποὺ ἀποτελεῖ τὴ βάση τῆς σωφροσύνης· τὸ εὐαγγέλιο τοῦ Λουκᾶ ἔχει θέση τοῦ ἀέρα καὶ τῆς ἀνδρείας, ἐπειδὴ εἶναι ἐκτενέστερο καὶ πυκνὸ ἀπὸ περισσότερα περιστατικά· καὶ τὸ εὐαγγέλιο τοῦ Ἰωάννη ἔχει τὴ θέση τοῦ αἰθέρα καὶ τῆς φρόνησης, ἐπειδὴ εἶναι ἀνώτερο ἀπὸ ὅλα καὶ διδάσκει ἁπλὰ μὲ μυστικὸ τρόπο τὴν πίστη στὸ Θεὸ καὶ τὴν ἔννοια. Λένε ὅτι ἡ τετράδα τῶν Εὐαγγελίων ἔχει καὶ ἄλλο συμβολισμό· συμβολίζει δηλαδὴ τὴν πίστη καὶ τὴν πρακτικὴ καὶ τὴ φυσικὴ καὶ θεολογικὴ φιλοσοφία. Τῆς πίστης σύμβολο εἶναι τὸ Εὐαγγέλιο τοῦ Ματθαίου, ἐπειδὴ μιλάει γιὰ τοὺς μάγους πού, ἐνῶ ἦταν ἄπιστοι, προσκυνοῦν μὲ δῶρα· τῆς πρακτικῆς φιλοσοφίας σύμβολο εἶναι τὸ Εὐαγγέλιο κατὰ Μάρκο, ἐπειδὴ ἀρχίζει τὴ διδασκαλία του ἀπὸ τὴ μετάνοια ποὺ δίνει τὴν ἐνάρετη διάσταση σὲ κάθε πράξη·

*τος, τῆς διδασκαλίας ἀρχόμενον, τῆς δὲ φυσικῆς τὸ κατὰ Λουκᾶν, ὡς περιοδικωτέραν τοῦ λόγου τὴν ἐξήγησιν ἔχον καὶ τὴν τῆς διδασκαλίας ἱστορίαν τοῖς τρόποις κατάλληλον, τῆς δὲ θεολογίας τὸ κατὰ Ἰωάννην, ἐξ ἧς καὶ εἰς ἣν θεοπρεπῶς ἤρξατό τε καὶ ἔληξε.*

*Καὶ πάλιν, ὥσπερ ὁ αἰσθητὸς κόσμος στοιχειωτικός ἐστι κατὰ φύσιν τῶν πέντε αἰσθήσεων, ὑποπίπτων αὐταῖς καὶ πρὸς τὴν ἑαυτοῦ κατάληψιν ὁδηγῶν, οὕτω καὶ ὁ κατὰ διάνοιαν κόσμος τῶν ἀρετῶν, ταῖς τῆς ψυχῆς ὑποπίπτων δυνάμεσι στοιχειοῖ αὐτὰς πρὸς τὸ πνεῦμα, ἑνοειδεῖς ἐργαζόμενος τῷ περὶ αὐτὸ μόνον αὐτὰς κινεῖσθαι καὶ ταῖς αὐτοῦ ἀντιλήψεσιν ἐπερείδεσθαι. Καὶ αὐτὰς δὲ τὰς αἰσθήσεις τοῦ σώματος, κατὰ τὸν αὐταῖς ἐμπρέποντα θειότερον λόγον, στοιχειωτικὰς εἶναί φασι τῶν τῆς ψυχῆς δυνάμεων, στοιχειούσας αὐτὰς ἠρέμα πρὸς ἐνέργειαν, ταῖς δὴ ἑαυτῶν ἀντιλήψεσι τῶν ἐν τοῖς οὖσι λόγων, δι᾽ ὧν ὡς διὰ γραμμάτων τινῶν τοῖς ὀξυωποῦσι πρὸς τὴν ἀλήθειαν ὁ Θεὸς Λόγος ἀναγινώσκεται. Ὅθεν καὶ παραδειγματικῶς τῶν ψυχικῶν δυνάμεων εἰκόνας τὰς αἰσθήσεις ἐκάλεσαν, ὡς ἑκάστης αἰσθήσεως μετὰ τοῦ αὐτῆς ὀργάνου, ἤγουν αἰσθητηρίου, προηγουμένως ἑκάστῃ δυνάμει τῆς ψυχῆς ἀναλόγως μυστικωτέρῳ τινὶ λόγῳ κατὰ φύσιν νενεμημένης. Καί φασιν εἶναι τῆς μὲν νοερᾶς δυνάμεως, ἤτοι τοῦ νοῦ, τὴν ὀπτικὴν αἴσθησιν, τῆς δὲ λογικῆς, ἤτοι τοῦ λόγου, τὴν ἀκουστικήν, τῆς δὲ θυμικῆς τὴν ὀσφραντικήν, τῆς ἐπιθυμητικῆς δὲ τὴν γευστικήν, τῆς δὲ ζωτικῆς τὴν ἁπτικήν, καὶ ἁπλῶς, ἵνα σαφέστερον εἴπω, τοῦ μὲν νοῦ ἐστιν εἰκὼν ἡ ὄψις, ἤγουν ὁ ὀφθαλμός, τοῦ δὲ λόγου ἐστὶν ἡ ἀκοή, ἤγουν τὸ οὖς, τοῦ δὲ θυμοῦ ἐστιν ἡ ὄσφρησις, ἤγουν ἡ ῥίς, τῆς δὲ ἐπιθυμίας ἐστὶν ἡ γεῦσις, καὶ τῆς ζωῆς ἡ ἁφή.*

*Αἷς ἡ ψυχὴ κατὰ τὸν νόμον τοῦ τὰ πάντα σοφῶς δημιουργήσαντος Θεοῦ κατὰ φύσιν ἐποχουμένη διὰ τῶν αὐτῆς δυνάμεων, καὶ πρὸς τὰ αἰσθητὰ ποικίλως διαβιβαζομένη, εἰ μὲν καλῶς χρήσαιτο ταῖς αἰσθήσεσι διὰ τῶν οἰκείων δυνάμεων τοὺς παντοδαποὺς τῶν ὄντων λόγους ἀναλεγομένη, καὶ δυνηθῇ μεταβιβά-*

τῆς φυσικῆς φιλοσοφίας σύμβολο εἶναι τὸ κατὰ Λουκᾶν, ἐπειδὴ περιέχει πιὸ ἀναλυτικὴ ἐξήγηση τῶν λόγων του καὶ τὴν ἱστορία τῆς διδασκαλίας μὲ κατάλληλους τρόπους· τῆς θεολογίας σύμβολο εἶναι τὸ Εὐαγγέλιο κατὰ Ἰωάννην ἀπὸ τὴν ὁποία ἄρχισε καὶ στὴν ὁποία κατάληξε ἔτσι ὅπως ἁρμόζει στὸ Θεό.

Καὶ πάλι, ὅπως ἀκριβῶς ὁ αἰσθητὸς κόσμος δίνει κατὰ φύση τὰ στοιχεῖα στὶς πέντε αἰσθήσεις, ὑποπίπτοντας σ' αὐτὲς καὶ ὁδηγῶντας τις νὰ τὸν κατανοήσουν, ἔτσι καὶ ὁ πνευματικὸς κόσμος τῶν ἀρετῶν ὑποπίπτοντας στὶς ψυχικές δυνάμεις, δίνει σ' αὐτὲς τὰ στοιχεῖα γιὰ τὸ πνεῦμα, ἑνοποιώντας τις μὲ τὸ νὰ κινοῦνται μόνο γύρω ἀπὸ αὐτὸ καὶ νὰ στηρίζονται στὶς δικές του ἔννοιες. Ἀλλὰ καὶ οἱ ἴδιες οἱ αἰσθήσεις τοῦ σώματος, σύμφωνα μὲ τὸ θεϊκότερο λόγο ποὺ πρέπει σ' αὐτές, λένε πὼς εἶναι στοιχειωτικὲς τῶν δυνάμεων τῆς ψυχῆς, δίνοντας ἥσυχα σ' αὐτὲς τὰ στοιχεῖα γιὰ νὰ ἐνεργοῦν, μὲ τὶς ἀντιλήψεις ποὺ αὐτὲς σχηματίζουν τῶν λόγων ποὺ βρίσκονται μέσα στοὺς λόγους, καὶ μ' αὐτές, σὰ νὰ εἶναι ἕνα εἶδος γραμμάτων, ὅσοι ἔχουν δυνατὴ ὅραση γιὰ τὴν ἀλήθεια διαβάζουν τὸ Θεὸ Λόγο. Γι' αὐτὸ καὶ κάλεσαν τὶς αἰσθήσεις εἰκόνες παραδειγματικὲς τῶν ψυχικῶν δυνάμεων, ἐπειδὴ κάθε αἴσθηση μαζὶ μὲ τὸ ὄργανό της, δηλαδὴ τὸ αἰσθητήριό της, ἀπὸ πρὶν ἔχει ἀπονεμηθεῖ ἀναλόγως κατὰ ἕνα ἀπόκρυφο λόγο σὲ κάθε μία δύναμη τῆς ψυχῆς. Καὶ λένε πὼς στὴ νοερὴ δύναμη, δηλαδὴ στὸ νοῦ, ἀντιστοιχεῖ ἡ ὀπτικὴ ἱκανότητα, στὴ λογικὴ δύναμη, δηλαδὴ στὸ λόγο, ἡ ἀκουστικὴ ἱκανότητα, στὴ συναισθηματικὴ ἡ ὀσφρητική, στὴν ἐπιθυμητικὴ ἡ γευστική, στὴ ζωτικὴ δύναμη ἡ ἁπτική, καὶ γενικά, γιὰ νὰ μιλήσω σαφέστερα, τοῦ νοῦ εἰκόνα εἶναι ἡ ὄψη, δηλαδὴ τὰ μάτια, τοῦ λόγου εἶναι ἡ ἀκοή, δηλαδὴ τὰ αὐτιά, τοῦ θυμοῦ ἡ ὄσφρηση, δηλαδὴ ἡ μύτη, τῆς ἐπιθυμίας ἡ γεύση, καὶ τῆς ζωῆς ἡ ἀφή.

Μὲ αὐτὰ ἡ ψυχή, σύμφωνα μὲ τὸ νόμο τοῦ Θεοῦ ποὺ δημιούργησε τὰ πάντα μὲ σοφία, σὰν πάνω σὲ ἅρμα σύμφωνα μὲ τὴ φύση της, πηγαίνει μὲ τὶς δικές της δυνάμεις καὶ μεταφέρεται στὰ διάφορα αἰσθητά. Ἂν χρησιμοποιήσει ὅπως πρέπει τὶς αἰσθήσεις μὲ τὶς οἰκεῖες δυνάμεις συλλέγοντας τοὺς πολυειδεῖς

*σαι πρὸς ἑαυτὴν σοφῶς πᾶν τὸ ὁρώμενον, ἐν ᾧ κέκρυπται Θεὸς σιωπῇ κηρυττόμενος, κάλλιστον καὶ αὐτὴ κατὰ προαίρεσιν ἐν τῇ διανοίᾳ καὶ πνευματικὸν κόσμον ἐδημιούργησε, τὰς γενικὰς τέσσαρας ἀρετὰς στοιχείων δίκην ἀλλήλαις συνθεῖσα πρὸς σύμπηξιν τοῦ ἐξ αὐτῶν νοητῶς κατὰ πνεῦμα συμπληρουμένου κόσμου, κατὰ συμπλοκὴν μέντοι τῆς πρὸς τὰς αἰσθήσεις τῶν αὐτῆς δυνάμεων ἐνεργείας ἑκάστην ἀρετὴν ὑποστήσασα· οἷον τὴν μὲν φρόησιν ἐκ τῆς κατὰ συμπλοκὴν τῆς τε νοερᾶς καὶ λογικῆς δυνάμεως πρὸς τὴν ὀπτικήν τε καὶ ἀκουστικὴν αἴσθησιν, περὶ τὰ αὐτῶν αἰσθητά, γνωστικῆς τε καὶ ἐπιστημονικῆς ἐνεργείας, τὴν δὲ ἀνδρείαν ἐκ τῆς κατὰ συμπλοκὴν τοῦ θυμικοῦ πρὸς τὴν ὄσφρησιν, ἤγουν τὸν μυκτῆρα, ἐν ᾧ τὸ θυμικόν, ὥς φασιν, αὐλίζεται πνεῦμα, περὶ τὸ συμφυὲς αἰσθητὸν ἄκρας κατὰ τὴν ἐνέργειαν ὁμαλότητος, τὴν δὲ σωφροσύνην ἐκ τῆς κατὰ συμπλοκὴν τῆς κατ' ἐπιθυμίαν δυνάμεως πρὸς τὴν γευστικὴν αἴσθησιν περὶ τὸ οἰκεῖον αἰσθητὸν μεμετρημένης χρήσεως, τὴν δὲ δικαιοσύνην ἐκ τῆς ἐν ὅλοις διὰ τῆς ἁπτικῆς καὶ περὶ ὅλα σχεδὸν τὰ αἰσθητὰ τῆς ζωτικῆς δυνάμεως κατὰ τὴν ἐνέργειαν ἴσης καὶ εὐτάκτου καὶ ἁρμονικῆς διανεμήσεως.*

*Ἐκ δὲ τούτων αὖθις τῶν γενικῶν τεσσάρων ἀρετῶν δύο γενικωτέρας κατὰ σύνθεσιν ἀρετὰς ποιεῖν ἐκδιδάσκεται, τὴν σοφίαν φημὶ καὶ τὴν πρᾳότητα, τὴν μὲν σοφίαν ὡς πέρας οὖσαν τῶν γνωστῶν, τῶν δὲ πρακτῶν τὴν πραότητα· οἷον ἐκ μὲν τῆς φρονήσεως καὶ τῆς δικαιοσύνης ποιεῖ τὴν σοφίαν, ὡς γνώσεως τῆς κατὰ τὴν φρόνησιν καὶ τῆς κατὰ τὴν δικαιοσύνην ἐπιστήμης ὑπάρχουσαν συνεκτικὴν αἰτίαν, καὶ διὰ τοῦτο πέρας τῶν γνωστῶν, ὡς εἶπον, τυγχάνουσαν· ἐκ δὲ τῆς ἀνδρείας καὶ τῆς σωφροσύνης τὴν πρᾳότητα, μηδὲν ἄλλο τυγχάνουσαν ἢ θυμοῦ καὶ ἐπιθυμίας παντελῆ πρὸς τὰ παρὰ φύσιν ἀκινησίαν, ἣν τινες ἐκάλεσαν ἀπάθειαν, καὶ διὰ τοῦτο τῶν πρακτῶν τέλος ὑπάρχουσαν. Ταύτας δὲ πάλιν εἰς τὴν τῶν πασῶν γενικωτάτην ἀρετήν, φημὶ δὲ τὴν ἀγάπην, συνάγει, ἐκστατικὴν οὖσαν τῶν ἐξ αὐτῆς καὶ προσαγωγικὴν τῶν δι' αὐτῆς καὶ ἑνοποιητικὴν τῶν εἰς αὐτὴν*

λόγους τῶν ὄντων καὶ ἂν μπορέσει νὰ μεταβιβάσει στὸν ἑαυτό της μὲ σοφία κάθετι ποὺ βλέπει, ὅπου κρύβεται ὁ Θεὸς κι ἀποκαλύπτεται μὲ τὴ σιωπή, δημιουργεῖ καὶ αὐτὴ μὲ τὴν προαίρεσή της μέσα στὴ διάνοιά της πανέμορφο καὶ πνευματικὸ κόσμο, συνθέτοντας μεταξύ τους, σὰ νὰ ἦταν στοιχεῖα, τὶς τέσσερες γενικὲς ἀρετές, γιὰ νὰ συμπήξει ἀπὸ αὐτὲς νοητὰ τὸν κόσμο ποὺ ἀποτελεῖται ἀπὸ τὸ πνεῦμα, πραγματοποιώντας τὴν κάθε ἀρετὴ μὲ συμ–πλοκὴ τῆς ἐνέργειας τῶν δυνάμεών της μὲ τὶς αἰσθήσεις. Τὴν ἀρετὴ τῆς φρόνησης γιὰ παράδειγμα τὴν πραγματοποιεῖ ἀπὸ τὴ γνωστικὴ καὶ ἐπιστημονικὴ ἐνέργεια μὲ τὴ συμπλοκὴ τῆς νοερῆς καὶ λογικῆς δύναμης μὲ τὴν αἴσθηση τῆς ὅρασης καὶ τῆς ἀκοῆς μὲ τὰ ἀντίστοιχα αἰσθητά· τὴν ἀνδρεία, ἀπὸ τὴν ἄκρα ὁμαλότητα κατὰ τὴν ἐνέργεια μὲ συμπλοκὴ τοῦ θυμικοῦ πρὸς τὴν ὄσφρηση, δηλαδὴ τὴ μύτη, ὅπου ἔχει ἐγκατασταθεῖ, ὅπως λένε, τὸ θυμικὸ πνεῦμα μὲ τὸ σύμφυτό του αἰσθητό· τὴ σωφροσύνη, ἀπὸ τὴ μετρημένη χρήση τῆς ἐπιθυμητικῆς δύναμης μὲ συμπλοκὴ πρὸς τὴ γευστικὴ αἴσθηση γύρω ἀπὸ τὸ οἰκεῖο αἰσθητό· καὶ τὴ δικαιοσύνη, ἀπὸ τὴν ἴση κατὰ τὴν ἐνέργεια καὶ εὔτακτη καὶ ἁρμονικὴ διανομὴ τῆς ζωτικῆς δύναμης σὲ ὅλα καὶ γύρω σὲ ὅλα σχεδὸν τὰ αἰσθητὰ μέσω τῆς ἁπτικῆς δύναμης.

Ἀπὸ αὐτὲς πάλι τὶς τέσσερις γενικὲς ἀρετὲς διδάσκεται νὰ κάνει μὲ σύνθεση δύο γενικότερες, τὴ σοφία καὶ τὴν πραότητα· τὴ σοφία, ἐπειδὴ εἶναι πέρας ἐκείνων ποὺ μποροῦν νὰ γνωσθοῦν, καὶ τὴν πραότητα, ἐκείνων ποὺ μποροῦν νὰ πραχθοῦν. Γιὰ παράδειγμα ἀπὸ τὴ φρόνηση καὶ τὴ δικαιοσύνη κάνει τὴ σοφία, ἐπειδὴ εἶναι αἰτία συνεκτικὴ τῆς φρόνιμης γνώσης καὶ τῆς δίκαιης ἐπιστήμης καὶ γι' αὐτό, ὅπως εἶπα, εἶναι πέρας ὅσων μποροῦν νὰ γνωσθοῦν. Ἀπὸ τὴν ἀνδρεία καὶ τὴ σωφροσύνη κάνει τὴν πραότητα, ποὺ δὲν εἶναι τίποτε ἄλλο, παρὰ ὁλοκληρωτικὴ ἀκινησία τοῦ θυμικοῦ καὶ τῆς ἐπιθυμίας πρὸς ὅσα εἶναι παραφύση, ποὺ μερικοὶ τὴν ὀνόμασαν ἀπάθεια, καὶ γι' αὐτὸ εἶναι καὶ πέρας ὅσων μποροῦν νὰ πραχθοῦν. Αὐτὲς πάλι τὶς συνάγει στὴ γενικότατη ἀπὸ ὅλες ἀρετή, τὴν ἀγάπη, ποὺ εἶναι ἐκστατικὴ ὅσων προέρχονται ἀπὸ αὐτὴν καὶ ποὺ προσάγει ὅσα γίνονται ἀπὸ αὐτὴν καὶ ποὺ

*ἀρξαμένων τε καὶ κινηθέντων καὶ ληξάντων καὶ διαφερόντως ἐπὶ πᾶσι θεοποιητικήν.*

*Οὕτω μὲν οὖν ἡ ψυχὴ κινουμένη τε σοφῶς καὶ ἐνεργοῦσα καθ' ὃν καὶ ἔστι καὶ γεγένηται θεοτελῆ λόγον, τῶν μὲν αἰσθητῶν χρησίμως διὰ τῶν αἰσθήσεων ἀντιλαμβάνεται, τοὺς ἐν αὐτοῖς πνευματικὴ λόγους οἰκειουμένη, τὰς δὲ αἰσθήσεις αὐτάς, λογισθείσας ἤδη τῇ τοῦ λόγου περιουσίᾳ, ὥσπερ ὀχήματα λογικὰ προσίεται τῶν αὐτῆς δυνάμεων, αὐτὰς δὲ τὰς δυνάμεις ταῖς ἀρεταῖς συνάπτει, καὶ ἑαυτὴν διὰ τῶν ἀρετῶν τοῖς ἐν αὐταῖς θειοτέροις λόγοις, οἱ δὲ θειότεροι τῶν ἀρετῶν λόγοι τῷ ἐν αὐτοῖς ἀφανῶς κεκρυμμένῳ πνευματικῷ νῷ, ὁ δὲ πνευματικὸς νοῦς τῶν ἐν ταῖς ἀρεταῖς θειοτέρων λόγων, πᾶσαν τῆς ψυχῆς ἣν ἔχει πρὸς τὰ παρόντα φυσικήν τε καὶ προαιρετικὴν σχέσιν διωθούμενος, ἁπλῆν ὅλην ὅλῳ δίδωσι τῷ Θεῷ, ὁ δὲ Θεὸς ταύτην δι' ὅλου περιλαβὼν μετὰ τοῦ συμπεφυκότος αὐτῇ σώματος ἀναλόγως αὐτὰ ἐξομοιοῖ ἑαυτῷ, ὥστε δι' αὐτῆς ὅλης ἀπεριγράφως ὅλον φαίνεσθαι δύνασθαι, τὸν μηδαμῶς τινι τῶν ὄντων καθ' ὁτιοῦν ἐξ ἑαυτοῦ φαίνεσθαι φύσιν ἔχοντα. Καὶ τοῦτο τυχόν ἐστιν ὅπερ νοήσας ὁ μακάριος οὗτος καὶ μέγας διδάσκαλος ἐν τῷ εἰς Καισάριον τὸν ἀδελφὸν Ἐπιταφίῳ ἀναστάσεως ἔφη·*

*«Μικρὸν δὲ ὕστερον καὶ τὸ συγγενὲς σαρκίον ἀπολαβοῦσα» (περὶ τῆς ψυχῆς δηλονότι φάσκων) «ᾧ τὰ ἐκεῖθεν συνεφιλοσόφησε, παρὰ τῆς καὶ δούσης καὶ πιστευθείσης γῆς, τρόπον ὃν οἶδεν ὁ ταῦτα συνδήσας καὶ διαλύσας Θεός, τούτῳ συγκληρονομεῖ τῆς ἐκεῖθεν δόξης, καὶ καθάπερ τῶν μοχθηρῶν αὐτοῦ μετέσχε διὰ τὴν συμφυΐαν, οὕτω καὶ τῶν τερπνῶν ἑαυτῆς μεταδίδωσιν, ὅλον εἰς ἑαυτὴν ἀναλώσασα, καὶ γενομένη σὺν τούτῳ ἕν, καὶ πνεῦμα, καὶ νοῦς, καὶ Θεός, καταποθέντος ὑπὸ τῆς ζωῆς τοῦ θνητοῦ τε καὶ ῥέοντος». Ὡς γὰρ κατεπόθη διὰ τὴν ἁμαρτίαν ἡ σὰρξ ὑπὸ τῆς φθορᾶς, ὑπὸ δὲ τῆς σαρκὸς ἡ ψυχὴ γνωσθεῖσα ταῖς ἐνεργείαις, ὑπὸ δὲ τῆς ψυχῆς διὰ τῆς παντελοῦς ἀγνωσίας ἡ ἐπί-*

---

68. **ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ**, *Λόγος ἐγκωμιαστικὸς εἰς Καισάριον*, κ. 21, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 6, σ. 418.

ἑνοποιεῖ ὅσα ἄρχισαν ἀπὸ αὐτὴν καὶ κινήθηκαν μέσα σ' αὐτὴν καὶ περατώθηκαν σ' αὐτή, καὶ ἐξαιρετικὰ θεοποιητικὴ σὲ ὅλα.

Ἔτσι λοιπὸν ἡ ψυχὴ μὲ σοφὴ κίνηση καὶ μ' ἐνέργεια σύμφωνα μὲ τὸ θεοποιὸ Λόγο, κατὰ τὸν ὁποῖο καὶ ὑπάρχει καὶ ἔγινε, ἀντιλαμβάνεται χρήσιμα τὰ αἰσθητὰ μὲ τὶς αἰσθήσεις, μὲ τὸ νὰ οἰκειοποιεῖται τοὺς πνευματικοὺς λόγους ποὺ εἶναι μέσα σ' αὐτά, καὶ τὶς ἴδιες τὶς αἰσθήσεις ποὺ ἔχουν ἤδη λογικοποιηθεῖ μὲ τὴν περίσσεια τοῦ λόγου, τὶς χρησιμοποιεῖ σὰν λογικὰ ὀχήματα τῶν δυνάμεών της, κι αὐτὲς τὶς δυνάμεις τὶς συνάπτει μὲ τὶς ἀρετές, καὶ τὸν ἑαυτό της μέσω τῶν ἀρετῶν μὲ τοὺς θεϊκότερους λόγους ποὺ αὐτὲς ἔχουν· οἱ θεϊκότεροι λόγοι τῶν ἀρετῶν μὲ τὸν πνευματικὸ νοῦ ποὺ εἶναι κρυμμένος μέσα τους, καὶ ὁ πνευματικὸς νοῦς τῶν θεϊκότερων λόγων τῶν ἀρετῶν ὠθώντας ὅλη τῆς ψυχῆς τὴ φυσικὴ καὶ προαιρετικὴ σχέση ποὺ ἔχει πρὸς τὰ παρόντα, τὴν προσφέρει ἁπλὴ ὅλη σὲ ὅλο τὸ Θεό· κι ὁ Θεός, ἀφοῦ τὴν ἐναγκαλισθεῖ ὁλόκληρη μὲ τὸ σύμφυτο σῶμα της, τὰ ἐξομοιώνει αὐτὰ ἀνάλογα τὸ καθένα μὲ τὸν ἑαυτό του, ὥστε μὲ ὁλόκληρη αὐτὴν νὰ μπορεῖ νὰ φαίνεται ὅλος χωρὶς περιγραφή, αὐτὸς ποὺ δὲν ἔχει στὴ φύση του νὰ φαίνεται ἀπὸ μόνος του κατὰ ὁτιδήποτε καθόλου σὲ κανένα ἀπὸ τὰ ὄντα. Καὶ εἶναι αὐτὸ ἴσως ποὺ κατάλαβε ὁ μακάριος αὐτὸς καὶ μέγας δάσκαλος καὶ εἶπε στὸν Ἐπιτάφιο λόγο του γιὰ τὸν ἀδελφό του Καισάριο·

«Λίγο πιὸ ὕστερα, παίρνοντας μαζί της καὶ τὸ συγγενές της σαρκίο (εἶναι φανερὸ ὅτι μιλᾶ γιὰ τὴν ψυχή), μαζὶ μὲ τὸ ὁποῖο φιλοσόφησε τὰ ἐκεῖ, παίρνοντάς το ἀπὸ τὴ γῆ ποὺ τῆς τὸ ἔδωσε καὶ τῆς τὸ ἐμπιστεύθηκε, μὲ ἕνα τρόπο ποὺ ξέρει ὁ Θεὸς ποὺ τὰ ἔδεσε μαζὶ καὶ πάλι τὰ διάλυσε, κληρονομεῖ μαζί του τὴν ἐκεῖ δόξα, κι ὅπως συμμερίστηκε τὶς κακοπάθειές του ἀφοῦ εἶναι δεμένα μαζί, ἔτσι μεταδίδει σ' αὐτὸ καὶ τὶς ἀπολαύσεις της, ἀφοῦ τὸ ξόδεψε ὅλο στὴν ὑπηρεσία της κι ἔγινε ἕνα μαζί του πνεῦμα καὶ νοῦς καὶ Θεὸς μὲ τὸ νὰ καταποθεῖ ἀπὸ τὴ ζωὴ τὸ θνητὸ καὶ παροδικό»[68]. Ὅπως δηλαδὴ καταπόθησε ἡ σάρκα ἀπὸ τὴ φθορὰ ἐξαιτίας τῆς ἁμαρτίας κι ἀπὸ τὴ σάρκα ἡ ψυχὴ ποὺ ἔγινε γνωστὴ μὲ τὶς ἐνέργειές της, κι ἀπὸ τὴν ψυχὴ μὲ τὴν πλήρη ἀγνωσία ἡ

γνωσις τοῦ Θεοῦ, ὡς μηδὲ εἰ ἔστι Θεὸς γινώσκεσθαι, οὕτω δὴ πάντως τῷ καιρῷ τῆς ἀναστάσεως κατὰ τὴν καλῶς γενησομένην ἀντιστροφὴν ἐν Πνεύματι ἁγίῳ διὰ τὴν χάριν τοῦ σαρκωθέντος Θεοῦ καταποθήσεται ἡ σὰρξ ὑπὸ τῆς ψυχῆς ἐν πνεύματι, ἡ δὲ ψυχὴ ὑπὸ τοῦ Θεοῦ, τῆς ὄντως οὔσης ζωῆς, ὡς αὐτὸν μονώτατον διὰ πάντων ὅλον ὅλη προφαινόμενον ἔχουσα, καὶ ἁπλῶς εἰπεῖν, ἀντιστρόφως τοῖς παροῦσι, περὶ ἃ νῦν ἐσμέν τε καὶ διεξαγόμεθα, πάντα κατὰ τὸ μέλλον δείξει τὰ ἡμέτερα ἡ θεοπρεπὴς τῆς ἀναστάσεως χάρις, ἵνα, ὥσπερ διὰ τὴν ἁμαρτίαν ἐνταῦθα κατέπιεν ὁ θάνατος ἰσχύσας, οὕτω καταποθήσεται δικαίως ἀσθενήσας ἐκεῖ διὰ τὴν χάριν.

Ταῦτα μὲν εἰ καλῶς, ὡς εἴρηται, χρήσαιτο ταῖς αὐτῆς δυνάμεσι, καὶ κατὰ τὸν σκοπὸν τοῦ Θεοῦ, τὸν αἰσθητὸν κόσμον διὰ τῶν ἐν αὐτῷ πνευματικῶν λόγων ἡ ψυχὴ σοφῶς διοδεύσασα πρὸς Θεὸν ἔλθῃ μετὰ συνέσεως· εἰ δὲ κακῶς χρήσαιτο, παρὰ τὸν δέοντα λόγον τὸν παρόντα διαθρήσασα κόσμον, οὐκ ἄδηλόν πως εἰς πάθη ἀτιμίας ἐκπίπτουσα, καὶ τῆς θείας δόξης εἰκότως κατὰ τὸ μέλλον ἀποριφήσεται, φοβερὰν ἐπ' αἰῶσιν ἀπείροις λαβοῦσα κατάκρισιν τὴν πρὸς τὸν Θεὸν σχετικὴν ἀλλοτρίωσιν, ἐφ' ᾗ τρεχομένη οὐκ ἔχει λέγειν ὡς οὐ δικαίως, τὴν ὑποστήσασαν τὸ μὴ ὂν διάθεσιν κατήγορον ἔχουσα, ἣν ἀγνοῆσαι οὐδέποτε δύναται. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἡμῖν ἐπανακτέον τὸν λόγον.

Εἰπὼν γὰρ ὁ εὐαγγελιστής, «ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία», ἐνέφηνεν ἡμῖν διὰ τούτων, ὅτι τὰ γραφέντα πρὸς αὐτοῦ προομαλισμός τίς ἐστι τοῦ τελεωτέρου καὶ τέως ἀχωρήτου Λόγου. Κατὰ ταύτην οὖν τὴν ἔννοιαν εἰπών τις τὸν ἅγιον εὐαγγελιστὴν Ἰωάννην πρόδρομον, ἐν ᾧ συνέταξεν Εὐαγγελίῳ προοδοποιοῦντι τὴν διάνοιαν πρὸς παραδοχὴν τοῦ τελεωτέρου Λόγου, τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. Ταύτῃ τοι καὶ μεγάλην τῆς ἀληθείας ἀποκαλεῖ φωνὴν ὁ διδά-

---

69. Ἰω. 21,25.

ἐπίγνωση τοῦ Θεοῦ, ὥστε νὰ μὴν εἶναι γνωστὸ οὔτε ἂν ὑπάρχει Θεός, ἔτσι ὁπωσδήποτε στὸν καιρὸ τῆς ἀνάστασης κατὰ τὴν ἀντιστροφὴ ποὺ θὰ γίνει ὀρθὰ μὲ τὴ βοήθεια τοῦ ἁγίου Πνεύματος χάρη στὴν ἀγάπη τοῦ Θεοῦ ποὺ ἔλαβε σάρκα θὰ καταποθεῖ πνευματικὰ ἡ σάρκα ἀπὸ τὴν ψυχὴ καὶ ἡ ψυχὴ ἀπὸ τὸ Θεό, ποὺ εἶναι ἡ ἀληθινὴ ζωή, ἐπειδὴ ὅλη αὐτὴ τὸν ἔχει ὁλόκληρο μπροστά της νὰ φανερώνεται διαμέσου ὅλων, καὶ γιὰ νὰ μιλήσω μὲ συντομία, ἀντίστροφα πρὸς τὰ παρόντα, μέσα στὰ ὁποῖα βρισκόμαστε καὶ ζοῦμε, θὰ δείξει ὅλα ὅσα μελλοντικὰ μᾶς ἀφοροῦν ἡ θεοπρεπὴς χάρη τῆς ἀνάστασης, γιὰ νὰ καταποθεῖ δίκαια ἐξασθενημένος ἐκεῖ ἐξαιτίας τῆς χάριτος ὁ θάνατος ἔτσι, ὅπως κατάπιε ἐδῶ δυναμωμένος ἀπὸ τὴν ἁμαρτία.

Αὐτά, ὅπως εἶπα, ἂν τὰ χρησιμοποιήσει ἡ ψυχὴ ὀρθὰ μὲ τὶς δυνάμεις της καὶ σύμφωνα μὲ τὸ θεῖο σκοπό, περνώντας σοφὰ τὸν αἰσθητὸ κόσμο μέσω τῶν πνευματικῶν λόγων ποὺ περιέχει, θὰ ρθεῖ συνετὰ πρὸς τὸ Θεό· ἂν ὅμως τὰ χρησιμοποιήσει ἐσφαλμένα, ἀντιμετωπίζοντας τὸν παρόντα κόσμο παρὰ τὸν πρέποντα λόγο, ξεπέφτοντας σὲ πάθη ἀτιμίας ὄχι μὲ ἄδηλο τρόπο, θὰ ἀπορριφθεῖ εὔλογα στὸ μέλλον καὶ ἀπὸ τὴ θεία δόξα, παίρνοντας φοβερὴ κατάκριση στοὺς ἄπειρους αἰῶνες, τὴν ἀποξένωση ἀπὸ τὴ σχέση μὲ τὸ Θεό, πρὸς τὴν ὁποία (ἀποξένωση) ὁδηγούμενη δὲν μπορεῖ νὰ πεῖ πὼς δὲν καταδικάστηκε δίκαια, ἔχοντας ὡς κατήγορο τὴ διάθεσή της ποὺ ἔδωσε ὑπόσταση στὸ μὴ ὄν, τὴν ὁποία ποτὲ δὲν μπορεῖ ν' ἀγνοήσει. Ἀλλὰ ἂς ἐπαναφέρομε τὸ λόγο στὸ θέμα μας.

Λέγοντας ὁ εὐαγγελιστὴς ὅτι «ὑπάρχουν κι ἄλλα πολλὰ ὅσα ἔκανε ὁ Ἰησοῦς, ποὺ ἂν γράφονταν ἕνα–ἕνα, οὔτε ὅλος ὁ κόσμος νομίζω θὰ χωροῦσε τὰ βιβλία ποὺ θὰ εἶχαν γραφεῖ»[69], μᾶς ἔδειξε μὲ αὐτά, ὅτι ὅσα ἔγραψε ἐκεῖνος εἶναι μιὰ προοδοποίηση τοῦ τελειότερου καὶ ὡς τότε ἀκατανόητου Λόγου. Ἐὰν λοιπὸν χαρακτηρίσει κανεὶς μ' αὐτὴν τὴν ἔννοια πρόδρομο τὸν ἅγιο εὐαγγελιστὴ Ἰωάννη, ποὺ προοδοποιεῖ μὲ τὸ εὐαγγέλιο ποὺ ἔχει γράψει τὴ διάνοια γιὰ νὰ δεχθεῖ τὸν τελειότερο Λόγο, δὲ θὰ κάνει λάθος. Μὲ αὐτὴ τὴν ἔννοια τὸν ἀποκαλεῖ ὁ δάσκαλος μεγάλη φωνὴ

*σκαλος τὰ πνευματικὰ βροντήσαντα. Βροντὴ δέ ἐστι φωνὴ μόνον κατάπληξιν τοῖς ἀκούουσιν ἐμποιοῦσα, μηδὲν μέντοι τρανοῦσα, οἷόσπερ ἐστὶν ὁ στοιχειώδης λόγος. Πᾶς γὰρ λόγος θεόθεν τοῖς ἀνθρώποις κατὰ τὸν αἰῶνα τοῦτον γραφεὶς πρόδρομός ἐστι τοῦ δι' αὐτοῦ ἀγράφως ἐν Πνεύματι κατὰ νοῦν μηνυομένου καὶ ἐς ὕστερον φανησομένου τελεωτέρου Λόγου, ὡς ἀλήθειαν μὲν ἔχων ἐν αὐτῷ μηνυομένην, οὐ μὴν δὲ αὐτὴν εὐπερικαλύπτως γυμνὴν δεικνὺς τὴν ἀλήθειαν.*

*Οὕτω μὲν οὖν, ὡς οἶμαι, τῆς θείας ὅλης Γραφῆς ὁ νοῦς εὐσεβῶς ὁμαλιζόμενος οὐδὲν δυσχερὲς ἢ ἀνώμαλον διὰ τῶν καθ' ἱστορίαν δοκουσῶν ἐναντιώσεων ἔχων δειχθήσεται. Πᾶς γὰρ τῶν ἀνέκαθεν ἁγίων κατὰ τὸν ἀληθῆ λόγον τοῦ δι' αὐτοῦ μηνυομένου τε καὶ προτυπουμένου μυστηρίου πρόδρομος ἦν, δι' ὧν ἔπασχέ τε καὶ ἔδρα καὶ ἔλεγε τὰ τούτων προκηρύττων ἀρχέτυπα. Διὸ καὶ ἀντ' ἀλλήλων ἀμέμπτως παραλαμβάνονται, καὶ πάντων ἅπαντες, καὶ ἕκαστος ἑκάστου, καὶ ἀντὶ τῶν ὑπ' αὐτῶν συγγραφεισῶν βίβλων, καὶ ἀντ' αὐτῶν αἱ βίβλοι παρὰ τῇ συνηθείᾳ τῆς Γραφῆς προσαγορεύονται. Καὶ δηλοῖ τοῦτο σαφῶς τὸν Βαπτιστὴν Ἰωάννην Ἠλίαν καὶ ποιῶν καὶ λέγων ὁ Κύριος, εἴτε διὰ τὴν ἴσην τῆς ἀρετῆς ἕξιν, ὡς φασιν οἱ διδάσκαλοι, καὶ τὴν κατὰ νοῦν διὰ πάντων καθαρότητα, καὶ τὸ τῆς πολιτείας σύντονον, εἴτε διὰ τὴν ἐν ἀμφοτέροις ταυτότητα τῆς ἐν τῇ χάριτι δυνάμεως, εἴτε καθ' ἕτερον λόγον ἀπόκρυφον, αὐτὸς ἂν εἰδείη ὁ λέγων ὡς Θεὸς καὶ οἱ παρ' αὐτοῦ τὰ τοιαῦτα μυστήρια σοφιζόμενοι. Καὶ πάλι Μωϋσέα τὸν νόμον, καὶ προφήτας τὰς αὐτῶν προφητικὰς βίβλους, καλέσας, ἐν οἷς πρὸς τὸν ἐν τῇ γεέννῃ βασανιζόμενον πλούσιον φήσαντα τὸν πατριάρχην εἰσήγαγεν Ἀβραάμ· «ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν», ἀντὶ τῶν ὑπ' αὐτῶν συγγραφεισῶν θείων βίβλων αὐτοὺς ἐκείνους παραθέμενος, Μωϋσέα φημὶ καὶ τοὺς προφήτας. Καὶ θαυμαστὸν οὐδέν. Εἰ γὰρ εἷς ἐστιν ὁ δι' αὐτῶν καταγγελλόμενος, οἱ πάντες ὡς εἷς ὃν καταγγέλλουσι νοεῖσθαι δύνανται, καὶ ἀντὶ πάντων ἑκα-*

---

70. Ματθ. 11,14. 71. Λουκᾶ 16,29.

τῆς ἀλήθειας ποὺ μίλησε βροντόφωνα γιὰ τὰ πνευματικά. Καὶ βροντὴ εἶναι μόνο ἡ φωνὴ ποὺ προκαλεῖ κατάπληξη σ' ἐκείνους ποὺ τὴν ἀκοῦν, ποὺ δὲν διασαφηνίζει ὅμως τίποτε γιὰ τὸ τί εἶναι ὁ στοιχειώδης λόγος. Γιατὶ κάθε λόγος ποὺ γράφθηκε ἀπὸ τὸ Θεὸ γιὰ τοὺς ἀνθρώπους στὴ ζωὴ αὐτὴ εἶναι πρόδρομος τοῦ Λόγου, ποὺ μᾶς τὸν ἀναγγέλλει στὸ νοῦ μας πνευματικὰ χωρὶς γράμματα καὶ ποὺ θὰ φανεῖ ἀργότερα τελειότερος, γιατὶ ἔχει μέσα του ἀλήθεια καὶ μᾶς τὴ μηνύει, ἀλλὰ δὲν δείχνει τὴν ἴδια τὴν ἀλήθεια γυμνὴ καὶ χωρὶς περικάλυμμα.

Ἔτσι λοιπόν, ἐάν, ὅπως νομίζω, τὸ νόημα τῆς θείας Γραφῆς ἐξομαλυνθεῖ μ' εὐσέβεια, θὰ ἀποδειχθεῖ πὼς δὲν περιέχει καμμιὰ δυσχέρεια ἢ ἀνωμαλία μὲ τὶς νομιζόμενες ἀντιφάσεις τῆς ἱερᾶς ἱστορίας. Γιατὶ καθένας ἀπὸ τοὺς ἀνέκαθεν ἁγίους κατὰ τὸν ἀληθινὸ Λόγο ἦταν πρόδρομος τοῦ μυστηρίου ποὺ ὁ ἴδιος ἀνάγγελνε καὶ προτύπωνε, προαναγγέλλοντας τὰ πρότυπα τούτων μὲ ὅσα ἔπασχε καὶ δροῦσε καὶ ἔλεγε. Γι' αὐτὸ καὶ χρησιμοποιοῦνται ἀκατάκριτα ὁ ἕνας στὴ θέση τοῦ ἄλλου καὶ οἱ ἴδιοι στὴ θέση τῶν βιβλίων ποὺ ἔχουν συγγράψει καὶ στὴ θέση τους τὰ βιβλία τους ὀνομάζονται κατὰ τὴ συνήθεια τῆς Γραφῆς. Καὶ τὸ φανερώνει αὐτὸ μὲ σαφήνεια ὁ Κύριος κάνοντας καὶ λέγοντας Ἠλία τὸ Βαπτιστὴ Ἰωάννη[70], εἴτε ἐξαιτίας τοῦ ἴσου μέγεθους τῆς ἀρετῆς τους, ὅπως λένε οἱ δάσκαλοι, καὶ τὴν καθαρότητα τοῦ νοῦ τους σὲ ὅλα καὶ τὴν αὐστηρότητα τῆς ζωῆς τους, εἴτε γιατὶ κι οἱ δυὸ διέθεταν τὴν ἴδια δύναμη τῆς χάριτος, εἴτε κατὰ κάποιον ἄλλον λόγο ἀπόκρυφο, ποὺ μπορεῖ νὰ τὸ γνωρίζει ὁ ἴδιος ὁ Θεὸς ποὺ τὸ λέει κι ὅσοι γίνονται ἀπὸ αὐτὸν σοφοὶ στὰ μυστήρια αὐτά. Καὶ πάλι κάλεσε τὸ νόμο Μωυσῆ καὶ προφήτη κάλεσε τὰ προφητικὰ τους βιλβία μὲ ὅσα ἔκανε τὸν πατριάρχη Ἀβραὰμ νὰ λέει στὸν πλούσιο ποὺ βασανιζόταν στὴ γέεννα· «ἔχουν τὸ Μωυσῆ καὶ τοὺς προφῆτες· ἂς τοὺς ἀκούσουν»[71], ἀναφερόμενος σ' αὐτοὺς τοὺς ἴδιους, ἀντὶ ν' ἀναφέρει τὰ θεῖα βιβλία ποὺ ἔχουν συγγράψει, ἐννοῶ τὸ Μωυσῆ καὶ τοὺς προφῆτες. Καὶ δὲν εἶναι καθόλου θαυμαστό. Γιατί, ἂν εἶναι ἕνας αὐτὸς ποὺ ἀναγγέλλουν, μποροῦν ὅλοι αὐτοὶ ποὺ τὸν ἀναγγέλλουν νὰ ἐννοηθοῦν ὡς ἕνας καὶ καθέ-

*στος καὶ πάντες πάντων εὐσεβῶς ἀντιπαραλαμβάνεσθαι, τῶν τε διακονησαμένων τῷ κατὰ τὴν Παλαιὰν Διαθήκην μυστηρίῳ καὶ τῶν πιστευθέντων τὸ κῆρυγμα τῆς κατὰ τὸ Εὐαγγέλιον χάριτος.*

*Οὐκοῦν, ὥσπερ εἰς ὅλην τὴν Παλαιὰν Διαθήκην πρόδρομον οὖσαν τῆς Καινῆς Διαθήκης καὶ τῆς κατ' αὐτὴν λατρείας ὁ μέγας Βαπτιστὴς Ἰωάννης εὐσεβῶς παραλαμβάνεσθαι δύναται, οὕτω δικαίως εἰς ὅλην τὴν Καινὴν Διαθήκην καὶ τὴν κατ' αὐτὴν λατρείαν, πρόδρομον οὖσαν τῆς ἐν τῷ μέλλοντι αἰῶνι μυστικῆς τῶν ἀρρήτων ἀγαθῶν κρυφιότητος, καὶ Ἰωάννης ὁ μέγας ἀληθῶς εὐαγγελιστὴς ληφθῆναι δύναται, ὡς πρόδρομος φωνὴ τοῦ μέλλοντος τρανῶς λαλεῖσθαι θειοτέρου Λόγου, καὶ εἰκὼν τῆς δειχθησομένης ἀληθείας. Σκιᾷ γὰρ καὶ εἰκόνι καὶ ἀληθείᾳ τὸ καθ' ἡμᾶς ὅλον τῆς σωτηρίας σοφῶς ᾠκονομήθη μυστήριον. «Σκιὰν γὰρ εἶχεν ὁ νόμος», ὥς φησιν ὁ θεῖος Ἀπόστολος, «τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων», δι' ἧς τοὺς κατὰ νόμον οἰκείως ἑαυτοῖς κατ' ἀμυδράν τινα τῶν ἀληθῶν ἔμφασιν πρὸς τὴν τοῦ Εὐαγγελίου εἰκόνα κέκτηται τῶν ἀληθῶν, ὅλους ἔχον τρανῶς ἀπεντεῦθεν ἤδη τοὺς τῶν μελλόντων ἀγαθῶν ὁμοιότητα κτησαμένους. Ἑτοίμους ὁ λόγος δι' ἐλπίδος καθίστησι τῇ παραδοχῇ τῆς τῶν ἀληθῶν ἀρχετυπίας ψυχωθῆναι καὶ γενέσθαι ζώσας εἰκόνας Χριστοῦ, καὶ ταὐτὸν αὐτῷ μᾶλλον κατὰ τὴν χάριν ἢ ἀφομοίωμα, τυχὸν δὲ καὶ αὐτὸς ὁ Κύριος, εἰ μὴ φορτικὸς ὁ λόγος τισὶν εἶναι δοκεῖ. Ὡς πρόδρομος ἑαυτοῦ πρὸς τοῦ θεοφόρου διδασκάλου προσηγόρευται νῦν, ὡς ἑαυτὸν ἀναλόγως τοῖς ὑποδεχομένοις κατά τι τὴν Παλαιὰν κατά τε τὴν Νέαν Διαθήκην ἐκφαίνων, δι' αἰνιγμάτων τε καὶ φωνῶν καὶ τύπων προτρέχων αὐτὸς ἑαυτοῦ, καὶ διὰ τούτων πρὸς τὴν χωρὶς τούτων ἄγων ἀλήθειαν, τοῖς αὐτοῦ Κυρίου λόγοις τοῦτο τεκμαιρομένου, δι' ὧν ἔλεγεν, «ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι»· σημαίνων τὴν ὑψηλοτέραν μὲν τῆς προλαβούσης, χθαμαλοτέραν δὲ καὶ αὐτὴν τῆς μετ' αὐτὴν διὰ τοῦ*

72. Ἑβρ. 10,1. 73. Ἰω. 16,12.

νας στὴ θέση ὅλων καὶ ὅλοι στὴ θέση ὅλων νὰ λαμβάνονται, καὶ ὅσοι διακόνησαν τὸ μυστήριο τῆς Παλαιᾶς Διαθήκης καὶ ὅσοι τοὺς ἀνατέθηκε τὸ κήρυγμα τῆς χάριτος τοῦ Εὐαγγελίου.

῞Οπως λοιπὸν σὲ ὅλη τὴν Παλαιὰ Διαθήκη, ποὺ εἶναι Πρόδρομος τῆς Καινῆς Διαθήκης καὶ τῆς λατρείας της, μπορεῖ νὰ παραληφθεῖ εὐσεβῶς ὁ μέγας Ἰωάννης ὁ Βαπτιστής, ἔτσι δίκαια σὲ ὅλη τὴν Καινὴ Διαθήκη καὶ τὴ λατρεία της, ποὺ εἶναι πρόδρομος τῆς μυστικῆς κρυφιότητας τῶν ἄρρητων ἀγαθῶν τοῦ μελλοντικοῦ αἰώνα, μπορεῖ νὰ ληφθεῖ καὶ ὁ Ἰωάννης, ὁ ἀληθινὰ μέγας Εὐαγγελιστής, ὡς προδρομικὴ φωνὴ τοῦ θεϊκότερου Λόγου ποὺ μέλλει νὰ ἐκφωνηθεῖ μὲ σαφήνεια, καὶ εἰκόνα τῆς ἀλήθειας ποὺ θὰ φανερωθεῖ. Γιατὶ ὅλο τὸ μυστήριο τῆς σωτηρίας μας οἰκονομήθηκε σοφὰ μὲ σκιὰ καὶ εἰκόνα καὶ ἀλήθεια. Γιατί, ὅπως λέει ὁ θεῖος Ἀπόστολος, «ὁ νόμος εἶχε τὴ σκιὰ τῶν μελλοντικῶν ἀγαθῶν, ὄχι τὴν ἴδια τὴν εἰκόνα τῶν πραγμάτων»[72] κάνει, μὲ τὴν ὁποία ὁ Λόγος παιδαγωγοῦσε τοὺς ἀνθρώπους τοῦ νόμου στὴν παραδοχὴ τοῦ Εὐαγγελίου μὲ τρόπο οἰκεῖο σ' αὐτοὺς κατὰ μία ἀμυδρὴ ἔνδειξη τῶν ἀληθειῶν. Ἐνῶ τὸ Εὐαγγέλιο ἔχει τὴν εἰκόνα τῶν ἀληθινῶν, ἔχοντας ἀπὸ ἐδῶ ὅλους ὅσοι ἔχουν ἀποκτήσει τὴν ὁμοιότητα τῶν μελλοντικῶν ἀγαθῶν ποὺ τοὺς κάνει πρόθυμους ὁ Λόγος μὲ τὴν ἐλπίδα νὰ ψυχωθοῦν μὲ τὴν παραδοχὴ τῆς ἀρχετυπίας τῶν ἀληθινῶν καὶ νὰ γίνουν ζωντανὲς εἰκόνες τοῦ Χριστοῦ καὶ νὰ ταυτιστοῦν μᾶλλον μαζί του κατὰ χάρη κι ὄχι ἁπλῶς νὰ μένουν ὁμοίωμά του, καὶ ἴσως νὰ γίνουν ὁ ἴδιος ὁ Κύριος, ἂν δὲν φαίνεται πολὺ βαρὺς σὲ μερικοὺς ὁ λόγος. Ὡς πρόδρομος τοῦ ἑαυτοῦ του ἔχει τώρα ὀνομασθεῖ ἀπὸ τὸ θεοφόρο δάσκαλο, ἐπειδὴ φανερώνει τὸν ἑαυτό του ἀνάλογα μ' αὐτοὺς ποὺ τὸν δέχονται τόσο κατὰ τὴν Παλαιὰ ὅσο καὶ κατὰ τὴ Νέα Διαθήκη, προτρέχοντας ὁ ἴδιος ἀπὸ τὸν ἑαυτό του μ' αἰνίγματα καὶ φωνὲς καὶ τύπους καὶ μ' αὐτὰ ὁδηγώντας στὴν ἀλήθεια ποὺ εἶναι χωρὶς αὐτά, συμπεραίνοντάς το αὐτὸ ἀπὸ τα ἴδια τὰ λόγια τοῦ Κυρίου, ποὺ ἔλεγε· «ἔχω πολλὰ ἀκόμα νὰ σᾶς πῶ, ἀλλὰ τώρα δὲν μπορεῖτε νὰ τὰ ἀντέξετε[73]», σημαίνοντας μ' αὐτὰ τὴν ὑψηλότερη ἀπὸ τὴν προηγούμενη, κι αὐτὴν ὅμως χαμηλότερη ἀπὸ τὴν ἔπειτ'

*θείου Πνεύματος περὶ αὐτοῦ μέλλουσαν ἔσεσθαι, πρὸς αὐτοὺς διδασκαλίαν.*

*Ὅθεν εἰκότως ἐπήγαγεν· «ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς ἐν τῇ ἀληθείᾳ πάσῃ»· ᾗ καὶ δι' ὧν ἑτέρωθί φησιν· «ἰδού, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος»· οὐχ ὡς μετὰ τοῦτο παντελῶς οὐκ ἐσομένου μετ' αὐτῶν, ἀλλ' ὡς ὑψηλοτέρου δηλονότι παρ' ὃν τέως ἠπίσταντο χθαμαλώτερον, ὡς πρὸς τὴν ἑαυτῶν δύναμιν γινώσκεσθαι μέλλοντος. Ὡσαύτως γὰρ ὑπάρχων ἀεὶ δι' ἑαυτόν, καὶ μηδεμίαν παραδεχόμενος ἐξ ἀλλοιώσεως μεταβολήν, οὔτε τὸ μᾶλλον καὶ ἧττον, πᾶσι πάντα γίνεται δι' ὑπερβολὴν ἀγαθότητος, ταπεινὸς τοῖς ταπεινοῖς, ὑψηλὸς τοῖς ὑψηλοῖς, καὶ τοῖς δι' αὐτὸν θεουμένοις ὁ φύσει Θεός, ὡς εἶναι τὰ τοῦ παρόντος αἰῶνος πάντα τῆς περὶ τὸν ἄνθρωπον προνοίας εἴδη τε καὶ μυστήρια, κἂν μεγάλα ᾖ, προοδοποίησίν τινα καὶ προδιατύπωσιν τῶν μελλόντων. Συγκρινόμενος οὖν καὶ αὐτὸς ὁ τέως τοῦ Κυρίου χωρητὸς λόγος πρὸς τὸν μέλλοντα τοῖς μαθηταῖς μυστικώτερον ἐπιχορηγεῖσθαι, ἥ τε προτέρα πάλιν αὐτοῦ παρουσία τῇ δευτέρᾳ, πρόδρομός ἐστιν ἑαυτοῦ, παραδείξας μὲν ἀμυδρῶς ἐν ἑαυτῷ πρὸς τὴν τῶν ὑποδεχομένων δύναμιν, οὐ φανερώσας δὲ νῦν ἅπερ ἔχει σεσιγημένως παρ' ἑαυτῷ ἐν ἀποκρύφῳ μυστήρια, διὰ τὸ τῇ κρίσει τέως εἶναι παντελῶς ἀχώρητα. Πᾶν γὰρ ὃ γράμμασιν ὑποπίπτει, καθὼς εἴρηται, καὶ φωναῖς πάντως, ὅτι καὶ τὸ νοούμενον ἐξ αὐτοῦ, κἂν πνευματικὸν ᾖ, ὅσον πρὸς τὸ μηδόλως γράμμασι καὶ ἐκφωνήσει προσπίπτον, φωνῆς λόγον ὡς πρὸς τρανὸν λόγον ἐπέχει, καὶ διὰ τοῦτο πάντα τὰ διὰ Χριστοῦ τοῦ Θεοῦ τοῖς μαθηταῖς λαληθέντα πρὸς τὸν ἀλάλητον νοῦν, ἤτοι νόησιν, Ἰωάννην ἴσως ὁ θεσπέσιος οὗτος διδάσκαλος προσηγόρευσε, τὴν πρόδρομον χάριν ἐκ τοῦ δεκτικοῦ καλῶς τε καὶ σοφῶς ὀνομάσας.*

---

74. Ἰω. 16,13.

ἀπὸ αὐτὴν διδασκαλία ποὺ πρόκειται νὰ γίνει σ' αὐτοὺς μέσω τοῦ θείου Πνεύματος.

Γι' αὐτὸ δικαιολογημένα πρόσθεσε· «ὅταν ὅμως θὰ ἔρθει ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀλήθειας, θὰ σᾶς ὁδηγήσει σὲ ὅλη τὴν ἀλήθεια»[74], ἢ καὶ μὲ ὅσα ἀλλοῦ λέει· «κοιτάξτε, ἐγὼ θὰ εἶμαι μαζί σας ὅλες τὶς μέρες, ὣς τὴν συντέλεια τοῦ αἰῶνος»[75]. Ὄχι πὼς ἔπειτ' ἀπὸ αὐτὸ δε θὰ εἶναι καθόλου μαζί τους, ἀλλὰ πὼς πρόκειται νὰ τὸν γνωρίσουν πιὸ ὑψηλὸ ἀπὸ τὸν χαμηλότερο ποὺ ὡς τότε γνώριζαν σύμφωνα μὲ τὴ δύναμή τους. Γιατί, ἂν καὶ γιὰ τὸν ἑαυτό του εἶναι πάντοτε ὁ ἴδιος καὶ δὲ δέχεται καμμιὰ ἀλλοίωση καὶ μεταβολή, οὔτε τὸ περισσότερο καὶ τὸ λιγότερο, γίνεται ὡστόσο τὰ πάντα γιὰ τοὺς πάντες ἀπὸ ὑπερβολικὴ ἀγαθότητα, ταπεινὸς γιὰ τοὺς ταπεινούς, ὑψηλὸς γιὰ τοὺς ὑψηλούς, καὶ γιὰ ὅσους χάρη σ' αὐτὸν θεώνονται εἶναι ὁ φύσει Θεός, ὥστε νὰ ἀποτελοῦν ὅλα στὴ ζωὴ αὐτὴ τὰ εἴδη καὶ τὰ μυστήρια τῆς πρόνοιας γιὰ τὸν ἄνθρωπο, ὅσο μεγάλα κι ἂν εἶναι, κάποια προοδοποίηση καὶ προδιατύπωση τῶν μελλοντικῶν. Ἂν συγκρίνομε λοιπὸν καὶ τὸν ἴδιο τὸ λόγο τοῦ Κυρίου τὸν κατανοητὸ τότε πρὸς τὸ μυστικότερο Λόγο ποὺ ἐπρόκειτο νὰ δοθεῖ ἐπιπρόσθετα στοὺς μαθητές, καθὼς καὶ ἡ πρώτη παρουσία του πρὸς τὴ δεύτερη, εἶναι πρόδρομος τοῦ ἑαυτοῦ του, γεγονὸς ποὺ ἔδειξε ἀμυδρὰ μὲ τὸν ἑαυτό του ἀνάλογα μὲ τὴ δύναμη ἐκείνων ποὺ τὸν ὑποδέχθηκαν, χωρὶς ὅμως νὰ φανερώνει τώρα τὰ μυστήρια ποὺ ἔχει ἀποκρύψει μέσα του καὶ ἀποσιωποῦν, ἐπειδὴ ὣς τότε ἦταν τελείως ἀχώρητα στὴν κτίση. Γιατὶ ὅ,τι ἐκφέρεται μὲ γράμματα, ὅπως εἶπα, ὁπωσδήποτε ἐκφέρεται καὶ μὲ φωνές, κι ὅ,τι νοεῖται ἀπὸ αὐτό, ἀκόμα κι ἂν εἶναι πνευματικό, ὥστε νὰ μὴν ὑποπίπτει σὲ γράμματα καὶ σ' ἐκφώνηση, ἐπέχει θέσει φωνῆς ὡς πρὸς σοφὸ λόγο. Καὶ γι' αὐτὸ ὅλα ὅσα εἰπώθηκαν ἀπὸ τὸ Χριστὸ τὸ Θεὸ στοὺς μαθητές του ὡς πρὸς τὸν ἀνείπωτο νοῦ, δηλαδὴ τὴ νόηση, τὰ χαρακτήρισε ἴσως Ἰωάννη ὁ θεσπέσιος αὐτὸς δάσκαλος, ὀνομάζοντας τὴν προδρομικὴ χάρη ἀπὸ αὐτὸν ποὺ τὴ δεχόταν ὀρθὰ καὶ σοφά.

75. Ματθ. 28,20.

## *ΠΑ'*

*Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Ὁ δὲ περὶ Θεοῦ λόγος, ὅσῳ τελεώτερος, τοσούτῳ δυσεφικτότερος, καὶ πλείους τὰς ἀντιλήψεις ἔχων καὶ τὰς λύσεις ἐργωδεστέρας».*

*Εἰ πολλὰ τὰ γεγονότα ἐστί, καὶ διάφορα πάντως τὰ γεγονότα ἐστίν, εἴπερ πολλά. Οὐ γὰρ δυνατὸν τὰ πολλὰ μὴ καὶ διάφορα εἶναι. Καὶ εἰ διάφορά ἐστι τὰ πολλά, διαφόρους καὶ τοὺς οἷς κατ' οὐσίαν ὑπάρχουσι λόγους νοητέον, οἷς μᾶλλον καὶ δι' οὓς διαφέρουσι τὰ διαφέροντα· οὐ γὰρ ἂν διέφερον ἀλλήλων τὰ διαφέροντα, μὴ τῶν λόγων οἷς γεγόνασιν ἐχόντων διαφοράν. Εἰ τοίνυν ὥσπερ αἱ αἰσθήσεις φυσικῶς ἀντιλαμβανόμεναι τῶν αἰσθητῶν ἐξ ἀνάγκης κατὰ παραδοχὴν πολλὰς ποιοῦνται καὶ διαφόρους τῶν ὑποκειμένων καὶ ὑποπιπτόντων αὐταῖς τὰς ἀντιλήψεις, οὕτω καὶ ὁ νοῦς πάντων φυσικῶς ἀντιλαμβανόμενος τῶν ἐν τοῖς οὖσι λόγων, οἷς ἀπείροις ἐνθεωρῶν ἐνεργείας Θεοῦ πολλὰς ποιεῖται καὶ ἀπείρους, εἰπεῖν ἀληθές, τῶν ὧν ἀντιλαμβάνεται θείων ἐνεργειῶν διαφοράς, ἄτονον εἰκότως ἕξει τὴν δύναμιν καὶ τὴν μέθοδον ἄπορον τῆς ἐπιστημονικῆς ἐρεύνης τοῦ ὄντως ὄντος ἀληθοῦς, οὐκ ἔχων νοῆσαι πῶς ἐν ἑκάστῳ τῶν καθ' ἑαυτὸ ἑκάστων λόγῳ καὶ ἐν πᾶσιν ὁμοῦ καθ' οὓς ὑπάρχουσι τὰ πάντα λόγοις ὁ μηδὲν ὢν τῶν ὄντων ἀληθῶς καὶ πάντα κυρίως ὢν καὶ ὑπὲρ πάντα Θεός.*

*Εἰ γοῦν πᾶσα θεία κατὰ τὸν ἀληθῆ λόγον ἐνέργεια τὸν Θεὸν ἀμερῶς ὅλον δι' ἑαυτῆς ἐν ἑκάστῳ καθ' ὅνπερ τινὰ λόγον ἐστὶν ἰδικῶς ὑποσημαίνει, τίς ἀκριβῶς ἐστιν ὁ νοῆσαί τε καὶ εἰπεῖν δυνάμενος, πῶς ἐν πᾶσί τε κοινῶς ὅλος καὶ ἐν ἑκάστῳ τῶν ὄντων ἰδιαζόντως, ἀμερῶς τε καὶ ἀμερίστως ἐστὶν ὁ Θεός, μήτε ποικίλως συνδιαστελλόμενος ταῖς τῶν ὄντων οἷς ἔνεστιν ὡς ὢν ἀπείροις διαφοραῖς, μήτε οὖν συστελλόμενος κατὰ τὴν τοῦ ἑνὸς*

---

76. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΚΗ' *Περὶ Θεολογίας, Θεολογικὸς β'*, κ. 21, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 4, σ. 74.

## 81

Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Ὁ λόγος περὶ Θεοῦ, ὅσο τελειότερος εἶναι, τόσο προσεγγίζεται δυσκολότερα, ἐπειδὴ ἔχει καὶ περισσότερες ἐκδοχὲς καὶ πιὸ κοπιαστικὲς τὶς λύσεις»[76].

Ἂν τὰ γεγονότα εἶναι πολλά, τότε τὰ γεγονότα αὐτὰ εἶναι καὶ διάφορα, ἂν εἶναι πολλά. Γιατὶ δὲν εἶναι δυνατὸ τὰ πολλὰ νὰ μὴν εἶναι καὶ διάφορα. Κι ἂν τὰ πολλὰ εἶναι διάφορα, πρέπει νὰ ἐννοήσομε ὡς διάφορους καὶ τοὺς λόγους ποὺ τὰ ἐξασφαλίζουν τὴν οὐσιαστικὴ ὕπαρξή τους, βάσει τῶν ὁποίων κι ἐξαιτίας τους διαφέρουν ὅσα διαφέρουν. Γιατὶ δὲ θὰ διέφεραν μεταξύ τους ὅσα διαφέρουν, ἂν οἱ λόγοι ποὺ τὰ συγκροτοῦν δὲν ἔχουν διαφορά. Ἂν λοιπὸν ὅπως οἱ αἰσθήσεις ἀντιλαμβανόμενες φυσικῶς τὰ αἰσθητὰ σχηματίζουν κατ' ἀνάγκη καὶ παραδέχονται πολλὲς καὶ διάφορες τὶς ἀντιλήψεις γιὰ ὅσα ὑπόκεινται καὶ ὑποπίπτουν σ' αὐτές, ἔτσι κι ὁ νοῦς ἀντιλαμβανόμενος φυσικῶς ὅλους τοὺς λόγους τῶν ὄντων, μέσα στὴν ἀπειρία τῶν ὁποίων ἐνθεωρώντας τὶς ἐνέργειες τοῦ Θεοῦ δημιουργεῖ πολλὲς καὶ ἄπειρες, εἶναι ἀλήθεια, διαφορὲς τῶν θείων ἐνεργειῶν ποὺ ἀντιλαμβάνεται, θὰ ἔχει δικαιολογημένα ἀδύναμη τὴν ἱκανότητά του καὶ ἀμήχανη τὴ μέθοδο τῆς ἐπιστημονικῆς ἔρευνας αὐτοῦ ποὺ εἶναι πραγματικὰ ἀληθινό, μὴ μπορώντας νὰ ἐννοήσει πῶς σὲ κάθε λόγο καθενὸς ἀπὸ αὐτοὺς καὶ ὅλων μαζὶ τῶν λόγων, σύμφωνα μὲ τοὺς ὁποίους ὑπάρχουν τὰ πάντα, ὑπάρχει ὁ Θεὸς ποὺ δὲν εἶναι ἀληθινὰ κανένα ἀπὸ τὰ ὄντα καὶ εἶναι κυριολεκτικὰ τὰ πάντα καὶ εἶναι πάνω ἀπὸ ὅλα.

Ἂν λοιπὸν ἡ ὁποια θεία ἀληθινὰ ἐνέργεια ὑποσημαίνει μὲ τὸν ἑαυτό της τὸ Θεὸ ὅλον ἀμερῶς ἰδιαίτερα στὸ καθένα σύμφωνα μὲ ὅποιον λόγο ὑπάρχει, ποιός εἶναι αὐτὸς ποὺ μπορεῖ νὰ ἐννοήσει καὶ νὰ πεῖ, πῶς ὁ Θεὸς βρίσκεται μέσα σὲ ὅλα ὁλόκληρος ἀπὸ κοινοῦ καὶ χωριστὰ στὸ καθένα ἀπὸ τὰ ὄντα χωρὶς μέρη καὶ ἀμέριστα, χωρὶς νὰ ἁπλώνεται ποικιλότροπα μαζὶ μὲ τὶς ἄπειρες διαφορὲς τῶν ὄντων μέσα στὰ ὁποῖα αὐτὸς εἶναι ὡς ὑπάρχων, οὔτε ὅμως συστελλόμενος μέσα στην ἰδιάζουσα

ἰδιάζουσαν ὕπαρξιν, μήτε συστέλλων κατὰ τὴν ἑνικὴν ὁλότητα τὰς τῶν ὄντων διαφοράς, ἀλλὰ πάντα ἐν πᾶσίν ἐστιν ἀληθῶς, ὁ μηδέποτε τῆς οἰκείας ἀμεροῦς ἁπλότητος ἐξιστάμενος; Καλῶς οὖν ὁ διδάσκαλος ἔφη τὰς ἀντιλήψεις τοῦ περὶ θεότητος Λόγου πολλὰς εἶναι, ἐξ ὧν ὅτι ἐστὶ μόνον Θεὸς διδασκόμεθα, καὶ τὰς λύσεις ἐργωδεστέρας, ἐξ ὧν πάλιν τί οὐκ ἔστι μανθάνομεν, πρὸς τὸ παῦσαι περιεργίας ἀνωφελοῦς καὶ βλαβερᾶς τοὺς ληπτὸν οἰομένους τὸ θεῖον τοῖς διακένοις ἀναπλασμοῖς τῆς αὐτῶν διανοίας, ἢ οὐδὲ τὸ ἔσχατον τῶν ἐν τοῖς οὖσι καθ' ὃν ἐστι καὶ ὑπάρχει λόγον ἀληθῶς ἐστι ληπτόν.

## ΠΒ'

Ἐκ τοῦ περὶ Υἱοῦ πρώτου λόγου εἰς τό· «Διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι Τριάδος ἔστη».

Πᾶν κατὰ φύσιν κινούμενον δι' αἰτίαν πάντως κινεῖται, καὶ πᾶν τὸ δι' αἰτίαν κινουμένον δι' αἰτίαν πάντως καὶ ἔστι, πᾶν δὲ τὸ δι' αἰτίαν ὂν καὶ δι' αἰτίαν κινούμενον ἀρχὴν μὲν εἶχε πάντως τοῦ εἶναι τὴν δι' ἣν ἔστι καὶ ἐξ ἧς πρὸς τὸ εἶναι ἤχθη αἰτίαν, τέλος δὲ τοῦ κινεῖσθαι τὴν αὐτὴν δι' ἣν κινεῖται καὶ πρὸς ἣν ἐπείγεται αἰτίαν. Πᾶν δὲ τὸ δι' αἰτίαν καὶ ὂν καὶ κινούμενον καὶ γενητὸν πάντως. Εἰ δὲ τοῦ κινουμένου τέλος ἐστὶν ἡ δι' ἣν κινεῖται αἰτία, ἡ αὐτὴ πάντως ἐστὶ τῇ δι' ἣν γεγένηται καὶ ἔστιν αἰτίᾳ. Μία οὖν ἄρα πάντως τοῦ ὁπωσοῦν ὄντος καὶ κινουμένου κατὰ φύσιν ὡς ἀρχὴ καὶ τέλος αἰτία, δι' ἣν καὶ ἔστι καὶ κινεῖται πᾶν τὸ ὂν καὶ κινούμενον. Δραστήριος γὰρ ὑπάρχουσα δύναμις καὶ ποιεῖ τὰ γι-

77. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΚΘ' *Περὶ Υἱοῦ, Θεολογικὸς γ'*, κ. 2, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 4, σ. 106.

ὕπαρξη ἑνός, οὔτε συστέλλοντας σὲ μιὰ ἑνικὴ ὁλότητα ὅλων τὶς διαφορὲς τῶν ὄντων, ἀλλὰ εἶναι ἀληθινὰ τὰ πάντα μέσα στὰ πάντα αὐτὸς ποὺ οὐδέποτε βγαίνει ἀπὸ τὴ δική του χωρὶς μέρη ἁπλότητα; Καλὰ λοιπὸν εἶπε ὁ δάσκαλος ὅτι οἱ ἐκδοχὲς τοῦ λόγου περὶ τῆς θεότητας εἶναι πολλές, ἀπὸ τὶς ὁποῖες διδασκόμαστε μόνο ὅτι ὑπάρχει ὁ Θεὸς καὶ ὅτι οἱ ἀπαντήσεις εἶναι πιὸ περίπλοκες, ἀπὸ τὶς ὁποῖες πάλι μαθαίνουμε τί δὲν εἶναι, ὥστε νὰ σταματήσει ἀπὸ τὴν ἀνώφελη καὶ βλαβερὴ περιέργεια ἐκείνους ποὺ νομίζουν ὅτι μποροῦν νὰ κατανοήσουν τὴ θεότητα μὲ τὰ κενὰ πλάσματα τῆς διάνοιάς τους, μὲ τὴν ὁποία δὲν μπορεῖ νὰ κατανοηθεῖ οὔτε τὸ ἔσχατο ἀπὸ τὰ ὄντα ἀληθινὰ σύμφωνα μὲ τὸ λόγο ποὺ εἶναι καὶ ὑπάρχει.

82

Ἀπὸ τὸν πρῶτο λόγο περὶ Υἱοῦ στὸ λεγόμενο· «Γι' αὐτό, ἐνῶ ἦταν ἀπὸ τὴν ἀρχὴ μονάδα, προχώρησε στὴ δυάδα καὶ στάθηκε ὡς τὴν Τριάδα»[77].

Ὅποιο κινεῖται ἀπὸ τὴ φύση του, κινεῖται ὁπωσδήποτε γιὰ κάποια αἰτία, καὶ ὅποιο κινεῖται γιὰ κάποια αἰτία, ὁπωσδήποτε καὶ ὑπάρχει, καὶ ὅποιο ὑπάρχει γιά κάποια αἰτία καὶ κινεῖται γιὰ κάποια αἰτία, εἶχε ὁπωσδήποτε ὡς ἀρχὴ τοῦ εἶναι του τὴν αἰτία γιὰ τὴν ὁποία ὑπάρχει καὶ ἡ ὁποία τὸ ὁδήγησε στὸ εἶναι, καὶ τέλος τῆς κίνησής του ἔχει τὴν ἴδια αἰτία γιὰ τὴν ὁποία κινεῖται καὶ πρὸς τὴν ὁποία σπεύδει. Καὶ ὅποιο ὑπάρχει καὶ κινεῖται γιὰ κάποια αἰτία, εἶναι ὁπωσδήποτε καὶ γεννητό. Κι ἂν τέλος τοῦ κινούμενου εἶναι ἡ αἰτία γιὰ τὴν ὁποία κινεῖται, εἶναι ὁπωσδήποτε ἡ ἴδια αἰτία μ' αὐτὴν χάρη στὴν ὁποία ἔγινε καὶ ὑπάρχει. Ἐπομένως εἶναι μία ἡ αἰτία ὅποιου κατὰ κάποιο τρόπο ὑπάρχει καὶ κινεῖται κατὰ φύση ὡς ἀρχὴ καὶ τέλος, χάρη στὴν ὁποία καὶ ὑπάρχει καὶ κινεῖται ὅποιο ὑπάρχει καὶ κινεῖται. Ἐπειδὴ εἶναι δηλαδὴ δραστικὴ δύναμη καὶ δημιουργεῖ καί, ὡς

*νόμενα θεοπρεπῶς ὡς ἀρχὴ καὶ προβάλλεται, καὶ ἕλκει τὰ κινούμενα προνοητικῶς ὡς τέλος καὶ ὁρίζει. Εἰ δὲ πᾶν κινούμενον καὶ γενητὸν δι' αἰτίαν ἔστι τε καὶ κινεῖται καὶ γεγένηται, πᾶν ὃ μὴ δι' αἰτίαν ἐστὶν οὐδὲ ποιητόν ἐστιν, οὐδὲ κινητὸν δηλονότι. Οὐ γὰρ κινεῖται τὸ παντάπασι μὴ ἔχον τοῦ εἶναι αἰτίαν. Εἰ δὲ τὸ ἀναίτιον πάντως καὶ ἀκίνητον, ἀκίνητον ἄρα τὸ Θεῖον, ὡς τοῦ εἶναι μηδεμίαν ἔχον αἰτίαν, καὶ πάντων τῶν ὄντων ὑπάρχον αἰτία.*

*Πῶς οὖν, ἴσως ἐρεῖ τις, ὁ θαυμαστὸς οὗτος διδάσκαλος κινούμενον εἰσάγει τὸ Θεῖον ἐν τοῖς προτεθεῖσι; Πρὸς ὃν ἐροῦμεν ὅτι παντὸς μᾶλλον ᾔδει, τό· Ἑκάστης τέχνης συνεκτικὸς λόγος, ἀκίνητος μένων παντάπασιν ἐφ ἑαυτόν, ἵνα παραδείγματι χρήσωμαι, καθ' ἕκαστον εἶδος τῶν ὑπὸ τὴν αὐτὴν τέχνην μορφούμενος, κινεῖσθαι λέγεται τῷ κινεῖν μᾶλλον καθ' ἑαυτὸν τὸ τεχνούμενον ἢ τῷ κινεῖσθαι προφαινόμενος· ἤ, ὡς φῶς πρὸς τὸ ὁρᾶν τὴν ὄψιν λινῶν λέγεται κινεῖσθαι, κινητικὸν ὑπάρχον πάσης ὄψεως κυρίως ἤπερ κινητόν, οὕτω καὶ τὸ Θεῖον ἀκίνητον πάντη καθ' οὐσίαν καὶ φύσιν ὑπάρχον, ὡς ἄπειρον καὶ ἄσχετον καὶ ἀόριστον, οἱονεί τις ἐπιστημονικὸς λόγος ἐνυπάρχων ταῖς τῶν ὄντων οὐσίαις λέγεται κινεῖσθαι, τῷ κινεῖν προνοητικῶς ἕκαστον τῶν ὄντων καθ' ὃν κινεῖσθαι πέφυκε λόγον, καὶ ὡς αἴτιον πάντα τὰ κατηγορούμενα κατὰ τῶν ὧν ἐστιν αἴτιον ἀπαθῶς ἀναδεχόμενον. Ἀνελεῖται τοῦτο ζητήσας ὁ θεοφάντωρ καὶ μέγας Ἀρεογίτης ἅγιος Διονύσιος ἐν οἷς φησι· «Τί δήποτε τὸ Θεῖον οἱ θεολόγοι ποτὲ μὲν ἔρωτα, ποτὲ δὲ ἀγάπην, ποτὲ δὲ ἐραστὸν καὶ ἀγαπητὸν ἀποκαλοῦσι;». Συμπεραίνει τὸν λόγον οὑτωσὶ φάσκων· «Ὅτιπερ τῷ μὲν κινεῖται, τῷ δὲ κινεῖ»· καὶ σαφέστερον εἰπεῖν, Ὡς μὲν ἔρως ὑπάρχον τὸ Θεῖον καὶ ἀγάπη κινεῖται, ὡς δὲ ἐραστὸν καὶ ἀγαπητὸν κινεῖ πρὸς ἑαυτὸ πάντα τὰ ἔρωτος καὶ*

---

78. ΔΙΟΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ, *Περὶ θείων ὀνομάτων* κ. 4, Φιλοκαλία τ. 3. σ. 90β.

ἀρχὴ καὶ τέλος, παράγει ὅπως ἁρμόζει στὸ Θεὸ ὅσα γίνονται, ἕλκει προνοητικὰ ὅσα κινοῦνται. Ἂν τώρα ὅποιο κινεῖται καὶ γίνεται γιὰ κάποια αἰτία καὶ ὑπάρχει καὶ κινεῖται καὶ ἔχει γίνει, κάθετι ποὺ δὲν ὑπάρχει γιὰ κάποια αἰτία, εἶναι φανερὸ ὅτι οὔτε ἔχει δημιουργηθεῖ, οὔτε κινεῖται. Γιατὶ δὲν κινεῖται ὅποιο τοῦ λείπει τελείως ἡ αἰτία τοῦ εἶναι. Κι ἂν ὅποιο δὲν ἔχει αἰτία εἶναι ὁπωσδήποτε καὶ ἀκίνητο, ἄρα τὸ Θεῖο εἶναι ἀκίνητο, ἐπειδὴ δὲν ἔχει καμμιὰ αἰτία γιὰ νὰ ὑπάρχει, ἐνῶ εἶναι αἰτία ὅλων τῶν ὄντων.

Πῶς λοιπόν, θὰ παρατηρήσει ἴσως κάποιος, ὁ θαυμαστὸς αὐτὸς δάσκαλος διδάσκει στὸ ἐπικεφαλῆς ἐδάφιο ὅτι τὸ Θεῖο κινεῖται; Θὰ ἀπαντήσομε σ' αὐτὸν ὅτι γνώριζε περισσότερο ἀπὸ τὸν καθένα τοῦτο· Ὁ λόγος ποὺ διέπει κάθε τέχνη, μένοντας τελείως ἀκίνητος στὸν ἑαυτό του, γιὰ νὰ χρησιμοποιήσω ἕνα παράδειγμα, παίρνοντας τὴ μορφὴ κάποιου εἴδους αὐτῆς τῆς τέχνης, λέγεται ὅτι κινεῖται ἐνῶ παρουσιάζεται ὅτι κινεῖ μᾶλλον σύμφωνα μὲ τὸν ἑαυτό του τὸ κατασκεύασμα κι ὄχι ὅτι κινεῖται. Ἤ, κινώντας ὅπως τὸ φῶς τὴν ὅρασή μας γιὰ νὰ βλέπομε, λέγεται ὅτι κινεῖται, ἐνῶ οὐσιαστικὰ κινεῖ κάθε ὅραση καὶ δὲν κινεῖται, ἔτσι καὶ τὸ Θεῖο εἶναι τελείως ἀκίνητο στὴν οὐσία καὶ στὴ φύση του, ἀφοῦ εἶναι ἄπειρο, ἀπερίληπτο καὶ ἀόριστο, σὰν κάποιος ἐπιστημονικὸς λόγος ποὺ ὑπάρχει μέσα στὶς οὐσίες τῶν ὄντων λέγεται ὅτι κινεῖται, μὲ τὸ νὰ κινεῖ προνοητικὰ καθένα ἀπὸ τὰ ὄντα σύμφωνα μὲ τὸ λόγο κατὰ τὸν ὁποῖο κινεῖται ἀπὸ τὴ φύση του καὶ ποὺ ὡς αἴτιος δέχεται ἀπαθῶς ὅλα τὰ κατηγορούμενα ἐκείνων τῶν ὁποίων εἶναι αἴτιός τους. Ἐρεύνησε τὸ θέμα καὶ θὰ δώσει λύση ὁ θεοφάντωρ καὶ μέγας Ἀρεοπαγίτης ἅγιος Διονύσιος μὲ τοὺς λόγους του· «γιατί τάχα οἱ θεολόγοι ἀποκαλοῦν τὸ Θεῖο ἄλλοτε ἔρωτα, ἄλλοτε ἀγάπη, κι ἄλλοτε ἐραστὸ καὶ ἀγαπητό;». Καὶ κλείνει τὸ ἐρώτημά του μὲ τὸ συμπέρασμα· «ἐπειδὴ μὲ τὸ ἕνα κινεῖται καὶ μὲ τὸ ἄλλο κινεῖ»[78]. Καὶ γιὰ νὰ τὸ πῶ σαφέστερα· ὡς ἔρωτας ποὺ εἶναι τὸ Θεῖο καὶ ἀγάπη κινεῖται, ἐνῶ ὡς ἐραστὸ καὶ ἀγαπητὸ κινεῖ πρὸς τὸν ἑαυτό του ὅλα ὅσα ἐπιδέχονται τὸν ἔρωτα καὶ τὴν

*ἀγάπης δεκτικά· καὶ τρανότερον αὖθις φάναι· Κινεῖται μὲν ὡς σχέσιν ἐμποιοῦν ἐνδιάθετον ἔρωτος καὶ ἀγάπης τοῖς τούτων δεκτικοῖς, κινεῖ δὲ ὡς ἑλκτικὸν φύσει τῆς τῶν ἐπ' αὐτῷ κινουμένων ἐφέσεως· καὶ πάλιν· Κινεῖ καὶ κινεῖται, ὡς διψῶν τὸ διψᾶσθαι, καὶ ἐρῶν τὸ ἐρᾶσθαι, καὶ ἀγαπῶν τὸ ἀγαπᾶσθαι.*

*Κατὰ τοῦτον τὸν τρόπον καὶ ὁ θεόφρων Γρηγόριός φησι· «Μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι Τριάδος ἔστη». Κινεῖται γὰρ ἐν τῷ ταύτης δεκτικῷ νῷ, εἴτε ἀγγελικῷ, εἴτε ἀνθρωπίνῳ, δι' αὐτῆς καὶ ἐν αὐτῇ τὰς περὶ αὐτῆς ἐξετάσεις ποιουμένῳ, καὶ σαφέστερον εἰπεῖν, διδάσκει αὐτὸν ἀμερίστως ἐν τῇ πρώτῃ προσβολῇ τὸν περὶ μονάδος λόγον, ἵνα μὴ διαίρεσις τῷ πρώτῳ αἰτίῳ ἐπεισαχθῇ, προβιβάζει δὲ αὐτὸν καὶ τὴν θείαν καὶ ἀπόρρητον τούτου γονιμότητα δέξασθαι, λέγουσα μυστικῶς τε καὶ κρυφίως αὐτῷ μὴ δεῖν ἄγονον εἶναι πώποτε φρονεῖν τοῦτο τὸ ἀγαθὸν λόγου καὶ σοφίας, ἢ ἁγιαστικῆς δυνάμεως, ὁμοουσίων τε καὶ ἐνυποστάτων, ἵνα μὴ σύνθετον ἐκ τούτων ὑποληφθῇ τὸ Θεῖον ὡς συμβεβηκότων, καὶ οὐχὶ ταῦτα ὑπάρχον ἀεὶ πιστευθῇ. Κινεῖσθαι οὖν ἡ θεότης λέγεται ὡς αἰτία τῆς καθ' ὃν ὑπάρχει τρόπον ἐξετάσεως. Ἄνευ γὰρ ἐλλάμψεως ἐπιβάλλειν θεότητι τῶν ἀμηχάνων ἐστί. Λέγεται δὲ κινεῖσθαι πάλιν καὶ διὰ τὴν κατὰ μέρος φανέρωσιν τοῦ περὶ αὐτῆς τελεωτέρου Λόγου κατὰ τὴν ἁγίαν Γραφήν, ἀπὸ τοῦ Πατέρα ὁμολογεῖν ἀρχομένου, καὶ εἰς τὸ Υἱὸν συνομολογεῖν Πατρὶ προβαίνοντος, καὶ Πατρὶ καὶ Υἱῷ συμπαραδέχεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ συμπροσκυνεῖν τοὺς διδασκομένους ἐνάγοντος Τριάδα τελείαν μονάδι τελείᾳ, ἤγουν μίαν οὐσίαν καὶ θεότητα καὶ δύναμιν καὶ ἐνέργειαν ἐν τρισὶν ὑποστάσεσιν.*

## *ΠΓ'*

***Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Ἀλλ' ἕτερον, οἶμαι, θέλων καὶ θέλησις, γεννῶν καὶ γέννησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύομεν· τὰ μὲν ὁ κινούμενος, τὰ δὲ οἷον ἡ κίνησις. Οὐκουν θελή-***

ἀγάπη. Κι ἀκόμα σαφέστερα· κινεῖται, ἐπειδὴ προκαλεῖ ἐνδιάθετα σὲ ὅσα εἶναι δεκτικὰ σχέση ἔρωτα κι ἀγάπης, κι ἐπειδὴ ἕλκει ἀπὸ τὴ φύση του τὸν πόθο ἐκείνων ποὺ κινοῦνται πρὸς αὐτό. Καὶ πάλι κινεῖ καὶ κινεῖται, ἐπειδὴ διψᾶ νὰ τὸ διψοῦν καὶ ποθεῖ νὰ τὸ ποθοῦν κι ἀγαπᾶ νὰ τὸ ἀγαποῦν.

Μ' αὐτὸ τὸ νόημα λέει καὶ ὁ θεόφρων Γρηγόριος· «ἐνῶ ἀπὸ τὴν ἀρχὴ ἦταν Μονάδα, προχώρησε στὴ δυάδα καὶ στάθηκε στὴν Τριάδα». Κινεῖται δηλαδὴ μέσα στὸ νοῦ ποὺ μπορεῖ νὰ τὴ δεχθεῖ, εἴτε ἀγγελικὸ εἴτε ἀνθρώπινο, καὶ κάνει γι' αὐτὴν μὲ αὐτὴ μέσα σ' αὐτὴ τὶς ἐξετάσεις γι' αὐτήν, καὶ γιὰ νὰ τὸ πῶ σαφέστερα, διδάσκει τὸν λόγο γιὰ τὴ Μονάδα ἀμέριστο στὴν πρώτη προσέγγιση, γιὰ νὰ μὴν εἰσαχθεῖ διαίρεση στὸ πρῶτο αἴτιο, καὶ μᾶς ὠθεῖ νὰ δεχθοῦμε αὐτὸν καὶ τὴ θεία κι ἀπόρρητη γονιμότητά του, λέγοντάς του μυστικὰ καὶ κρυφὰ ὅτι δὲν πρέπει νὰ φρονοῦμε ποτὲ πὼς τοῦτο τὸ ἀγαθὸ εἶναι ἄγονο λόγου καὶ σοφίας ἢ ἁγιαστικῆς δύναμης, ὁμοούσιων καὶ ἐνυπόστατων, γιὰ νὰ μὴ νομισθεῖ πὼς τὸ Θεῖο εἶναι σύνθετο ἀπὸ αὐτὰ ὡς συμβεβηκότα καὶ δὲν πιστευθεῖ ὅτι αὐτὰ εἶναι πάντοτε ἡ οὐσία του. Ἡ θεότητα λοιπὸν λέγεται ὅτι κινεῖται ὡς αἰτία τῆς ἐξέτασης κατὰ ποιό τρόπο ὑπάρχει. Γιατὶ τὸ νὰ προσεγγίσει κανεὶς τὴ θεότητα χωρὶς θεῖο φωτισμὸ εἶναι ἀπὸ τὰ ἀδύνατα. Ἀκόμα λέγεται ὅτι κινεῖται καὶ χάρη στὴν κατὰ μέρος φανέρωση τοῦ τελειότερου λόγου γι' αὐτὴν στὴν ἁγία Γραφή, ποὺ ἀρχίζει ἀπὸ τὴν ὁμολογία τοῦ Πατέρα, καὶ προχωρῶντας συνομολογεῖ μὲ τὸν Πατέρα τὸν Υἱό, καὶ συμπαραδέχεται τὸ Πνεῦμα τὸ ἅγιο μαζὶ μὲ τὸν Πατέρα καὶ τὸν Υἱό, ὁδηγώντας ὅσους διδάσκονται νὰ συμπροσκυνοῦν Τριάδα τέλεια σὲ μονάδα τέλεια, δηλαδὴ μία οὐσία καὶ θεότητα καὶ δύναμη καὶ ἐνέργεια σὲ τρεῖς ὑποστάσεις.

## 83

**Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Ἀλλὰ εἶναι, νομίζω, διαφορετικὰ τὸ 'θέλων καὶ θέληση', 'γεννῶν καὶ γέννηση', 'λέγων καὶ λόγος', ἂν δὲν εἴμαστε μεθυσμένοι· τὰ πρῶτα ἀπὸ**

> *σεως τὸ θεληθέν, οὐδὲ τὸ γεννηθὲν γεννήσεως (οὐδὲ γὰρ ἕπεται πάντως), οὐ δὲ τὸ ἀκουσθὲν ἐκφωνήσεως, ἀλλὰ τοῦ θέλοντος καὶ τοῦ γεννῶντος καὶ τοῦ λέγοντος. Τὰ τοῦ Θεοῦ δὲ καὶ ὑπὲρ πάντα ταῦτα, ᾧ γέννησίς ἐστιν ἴσως ἡ τοῦ γεννᾶν θέλησις».*

*Πρὸς τοὺς Ἀρειανοὺς πάντα κινοῦντας τρόπον, πρὸς τὸ εὐέπίβατον αὐτοῖς εἶναι τὴν κατὰ τοῦ Μονογενοῦς βλασφημίαν, καὶ λέγοντας θελήσεως, ἀλλ' οὐ Πατρὸς Υἱὸν εἶναι τὸν μονογενῆ Υἱόν, ταῦτά φησιν ὁ σοφὸς διδάσκαλος, εὐδιάλυτον οὖσαν δεικνὺς πᾶσαν αὐτῶν ἐντεῦθεν τὴν κατὰ τῆς ἀληθείας μηχανήν. Εἰ γὰρ τὰς τῆς ψυχῆς δυνάμεις, ἃς ἴσως φαίη τις εἶναι συμπληρωτικὰς τῆς οὐσίας αὐτῆς, δύνασθαι μὲν ταύτας ἐνεργεῖν λέγομεν ἐν ᾗ σύνεισιν οὐσίᾳ, μὴ μέντοι καὶ κινεῖσθαι πάντως κατ' ἐνέργειαν ἀποτελεσματικὴν χωρὶς τῆς τοῦ θέλοντος ἐπινεύσεως δύνασθαι. Εἰ δὲ καὶ δοθείη καθ' ὑπόθεσιν τὸ ἴδιον ἐθέλειν αὐτὰς ἐνεργεῖν ἐκ τῆς φυσικῆς κινήσεως, χωρὶς τῆς τοῦ ταύτας, ἵν' οὕτως εἴπω, κεκτημένου ῥοπῆς μηδὲν ἰσχεῖν αὐτὰς καθάπαξ ἀποτελεσματικῶς ἐνεργεῖν τῆς ἰδίας ὁρμῆς. Οὐ γὰρ ἀκολουθεῖ πάντως τῇ δυνάμει τὸ ἔργον, μὴ ἐχούσῃ τὴν τοῦ οὗ ἐστι δύναμις ῥοπήν, συνεισφέρουσαν αὐτῇ τὸ κατ' ἐνέργειαν ἐν πράγματι τέλος, καθ' ἑαυτὴν οὔσῃ ἀνυποστάτῳ. Μάτην τὴν θέλησιν προεβάλοντο, μὴ οὖσάν τινος ἀποτελεστικήν, χωρὶς τοῦ αὐτὴν ἔχοντός τε καὶ θέλοντος. Καὶ τοῦτό ἐστιν ὅ φησιν ὁ διδάσκαλος. Οὐδὲ γὰρ ἕπεται πάντως δηλονότι τῇ θελήσει τὸ θεληθέν, καὶ ταῖς λοιπαῖς ὡσαύτως τὰ λοιπά, χωρὶς τῆς τοῦ ταύταις ὑποκειμένου ἐν ᾧ καὶ εἰσὶ συνεισφορᾶς.*

**Εἰ τοίνυν ἐκ τῶν καθ' ἡμᾶς παραδειγμάτων τεκμαίρεσθαι τὰ θεῖα, ὦ οὗτοι, δέξασθε ταῖς ὑμῶν γοῦν αὐτῶν στοιχοῦντες**

---

79. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΚΘ' *Περὶ Υἱοῦ, Θεολογικὸς γ'*, κ. 6, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 4, σσ. 114–116.

αὐτὰ εἶναι αὐτὸς ποὺ κινεῖται, τὰ ἄλλα εἶναι ὅπως ἡ κίνηση. Δὲν εἶναι λοιπὸν αὐτὸ ποὺ θελήσαμε τῆς θέλησης οὔτε αὐτὸ ποὺ γεννήθηκε τῆς γέννησης (γιατὶ ὁπωσδήποτε δὲν εἶναι ἐπακόλουθο), οὔτε αὐτὸ ποὺ ἀκούστηκε εἶναι τῆς ἐκφώνησης, ἀλλὰ αὐτοῦ ποὺ θέλει (θέλων) καὶ αὐτοῦ ποὺ γεννᾶ (γεννῶν) κι αὐτοῦ ποὺ λέει (λέγων). Τὰ τοῦ Θεοῦ ὅμως εἶναι καὶ πάνω ἀπὸ ὅλα αὐτά, γιὰ τὸν ὁποῖο γέννηση εἶναι ἴσως ἡ θέληση νὰ γεννᾶ»[79].

Οἱ Ἀρειανοὶ μεταχειρίζονταν κάθε τρόπο γιὰ νὰ μποροῦν νὰ χρησιμοποιοῦν τὴ βλασφημία κατὰ τοῦ Μονογενοῦς καὶ ἰσχυρίζονταν ὅτι ὁ μονογενὴς Υἱὸς ἦταν ὄχι Υἱὸς τοῦ Πατέρα, ἀλλὰ τῆς θέλησης. Πρὸς αὐτοὺς ἀπευθύνει τοὺς παραπάνω λόγους ὁ σοφὸς δάσκαλος κι ἀπὸ αὐτὰ δείχνει ὅτι μπορεῖ εὔκολα νὰ διαλυθεῖ κάθε μηχανή τους κατὰ τῆς ἀλήθειας. Γιατί, ἂν λέμε ὅτι οἱ δυνάμεις τῆς ψυχῆς, ποὺ ἴσως θὰ πεῖ κάποιος ὅτι συμπληρώνουν τὴν οὐσία της, μποροῦν νὰ ἐνεργοῦν στὴν οὐσία ὅπου βρίσκονται, ὁπωσδήποτε ὅμως δὲν μποροῦν νὰ κινοῦνται μὲ μιὰ ἐνέργεια ἀποτελεσματικὴ χωρὶς τὴ συγκατάθεση ἐκείνου ποὺ θέλει. Κι ἂν δεχθοῦμε ὑποθετικὰ ὅτι ἀπὸ τὴ φυσικὴ κίνηση θέλουν νὰ ἐνεργοῦν τὸ δικό τους, χωρίς, γιὰ νὰ πῶ ἔτσι, τὴν ὤθηση ἐκείνου ποὺ τὶς ἔχει, τίποτε δὲν τὶς ἐμποδίζει ἀπὸ τὴν ὁρμή τους νὰ ἐνεργοῦν διὰ μιᾶς ἀποτελεσματικά. Γιατὶ τὸ ἔργο δὲν ἀκολουθεῖ ὁπωσδήποτε τὴ δύναμη, ἂν δὲν ἔχει τὴν ὤθηση ἐκείνου τοῦ ὁποίου εἶναι δύναμη, ἡ ὁποία ὤθηση συνεισφέρει σ' αὐτὴ τὴν σύμφωνη μὲ τὴν ἐνέργεια ἐμπράγμονη τελείωση, ἐνῶ εἶναι καθεαυτὴν χωρὶς ὑπόσταση. Ἄδικα πρόβαλαν τὴ θέληση, γιατὶ δὲν μπορεῖ νὰ ἔχει κανένα ἀποτέλεσμα, δίχως αὐτὸν ποὺ τὴν ἔχει καὶ θέλει. Κι αὐτὸ εἶναι ποὺ λέει ὁ δάσκαλος. Γιατὶ εἶναι φανερὸ οὔτε ἀκολουθεῖ ὁπωσδήποτε τὴ θέληση αὐτὸ ποὺ θελήσαμε καὶ τὶς ἄλλες ἐπίσης δυνάμεις τὰ λοιπά, χωρὶς τὴ συνεισφορὰ τοῦ ὑποκειμένου στὸ ὁποῖο αὐτὲς εἶναι.

Ἂν λοιπὸν ἀπὸ τὰ δικά μας παραδείγματα ἐσεῖς τεκμαίρεσθε γιὰ τὰ θεῖα, δεχθεῖτε, ἀκολουθώντας τὶς ἴδιες σας τὶς ὑπο-

*ὑποθέσεσι τῶν ἅμα πάντως εἶναι τὰ κατὰ τὴν μέσην σχέσιν ἀλλήλοις συνόντα, λέγω δὴ τὸν θέλοντα καὶ τὸ θεληθέν, τὸν γεννῶντα καὶ τὸ γεννηθέν, κατὰ τὴν σχέσιν, φημὶ δὲ τὴ θέλησιν καὶ τὴν γέννησιν, ἀλλήλοις συνόντα. Ὡς γὰρ τοῦ ὁρῶντος καὶ τοῦ ὁρωμένου χωρὶς οὐκ ἔστιν ὅρασις, οὔτε τοῦ νοοῦντος καὶ τοῦ νοουμένου νόησις, οὕτως οὐδὲ τοῦ γεννῶντος καὶ τοῦ γεννωμένου γέννησις, οὐδὲ τοῦ θέλοντος καὶ τοῦ θελομένου θέλησις, ὅτι μηδὲ ἕπεται θελήσει τὸ θεληθέν, ὡς ἐδείχθη, χωρὶς τῆς τοῦ θέλοντος συνεισφορᾶς. Εἰ δὲ τῶν ἅμα ταῦτά ἐστι κατὰ τὴν σχέσιν, ἀκίνητος γὰρ ἡ ἐπ' ἀμφοῖν σχέσις, ἅμα ἦν ἄρα τῷ γεννῶντι Πατρί, ἀεὶ ὄντι Πατρί, διὰ γεννήσεως, καὶ καθ' ὑμᾶς ὁ γεννώμενος Υἱός, μὴ παραδεχόμενος καθ' οἱονδήποτε τρόπον μεταξὺ αὐτοῦ καὶ τοῦ γεννῶντος Πατρὸς παρενθήκην χρόνου, καὶ οὐκ ἔτι θελήσεώς ἐστιν Υἱὸς ὁ Υἱός, ἀλλὰ τοῦ γεννῶντος Πατρός.*

*Καὶ ταῦτα, φησίν, ἐκ τῶν καθ' ἡμᾶς παραδειγμάτων εἰρήσθω, τὰ δὲ τοῦ Θεοῦ καὶ ὑπὲρ πάντα ταῦτα, ᾧ γέννησις ἴσως ἐστὶν ἡ τοῦ γεννᾶν θέλησις. Ἀμφέβαλε δὲ τοῦτο διὰ τοῦ «ἴσως» ἐπιρρήματος διὰ τὸ καὶ ὑπὲρ θέλησιν εἶναι τὴν ἐκ τοῦ Πατρὸς τοῦ Υἱοῦ γέννησιν. Οὐ γὰρ μεσάζεται θελήσει ἐκ τοῦ Πατρὸς ὁ Υἱός, οὐδὲ προεπινοεῖται τοῦ Υἱοῦ καθ' ὁτιοῦν ἡ τοῦ Πατρὸς θέλησις, ὅτι μηδὲ προϋπῆν ὁ Πατὴρ τοῦ Υἱοῦ, ὥσπερ οὐδὲ νοῦς λόγου τοῦ ἐξ αὐτοῦ, οὔτε φῶς τοῦ ἀπαυγάσματος. Ἅμα γὰρ τὸ εἶναι ἔχοντες καὶ θέλησιν μίαν ἔχουσιν ὅ τε Πατὴρ καὶ ὁ ἐξ αὐτοῦ ἀνάρχως γεννηθεὶς Υἱός, ἁπλῆν τε καὶ ἀδιαίρετον, ὥσπερ οὖν καὶ οὐσίαν μίαν καὶ φύσιν.*

## ΠΔ'

**Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Ἐπεὶ τί κωλύει κἀμὲ ταύτην πρότασιν ποιησάμενον τὴν ὅτι, Ὁ Πατὴρ μείζων τῇ φύσει,**

θέσεις, ὅτι εἶναι ὁπωσδήποτε ἀπὸ τὰ ταυτόχρονα, αὐτὰ ποὺ συνυπάρχουν σύμφωνα μὲ τὴ μέση σχέση, λέγω αὐτὸν ποὺ θέλει κι αὐτὸ ποὺ αὐτὸς θέλησε, αὐτὸν ποὺ γεννᾶ κι αὐτὸ ποὺ γεννήθηκε, ποὺ ὑπάρχουν μαζὶ σύμφωνα μὲ τὴ σχέση, ἐννοῶ τὴ θέληση καὶ τὴ γέννηση. Ὅπως δηλαδὴ δὲν ὑπάρχει ὅραση χωρὶς αὐτὸν ποὺ βλέπει καὶ αὐτὸ ποὺ αὐτὸς βλέπει, καὶ νόηση χωρὶς αὐτὸν ποὺ νοεῖ κι αὐτὸ ποὺ νοεῖται, ἔτσι καὶ χωρὶς αὐτὸν ποὺ γεννᾶ κι αὐτὸ ποὺ γεννιέται δὲν ὑπάρχει γέννηση, οὔτε καὶ θέληση χωρὶς αὐτὸν ποὺ θέλει κι αὐτὸ ποὺ αὐτὸς θέλει, ἐπειδὴ δὲν ἀκολουθεῖ τὴ θέληση αὐτὸ ποὺ θελήσαμε, ὅπως ἔδειξα, χωρὶς τὴ συνεισφορὰ ἐκείνου ποὺ θέλει. Κι ἂν αὐτὰ εἶναι ἀπὸ τὰ ταυτόχρονα κατὰ τὴ σχέση, γιατὶ ἡ σχέση ἐπάνω στὰ δύο εἶναι ἀμετακίνητη, ἄρα ἦταν μαζὶ μὲ τὸν Πατέρα ποὺ γεννᾶ, ποὺ εἶναι πάντοτε Πατέρας, μέσω τῆς γέννησης, καὶ κατὰ τὴν ἄποψή σας ὁ Υἱὸς ποὺ γεννιέται, χωρὶς νὰ δέχεται μὲ ὁποιοδήποτε τρόπο παρεμβολὴ χρόνου ἀνάμεσα σ' αὐτὸν καὶ τὸν Πατέρα ποὺ τὸν γεννᾶ.

Κι αὐτά, λέει, ἂς λεχθοῦν ἀπὸ τὰ δικά μας παραδείγματα, τὰ σχετικὰ ὅμως μὲ τὸ Θεὸ εἶναι καὶ πάνω ἀπ' ὅλα αὐτά, γιὰ τὸν ὁποῖο ἡ γέννηση εἶναι ἴσως ἡ θέληση νὰ γεννᾶ. Αὐτὸ τὸ ἔθεσε σὲ ἀμφιβολία μὲ τὸ ἐπίρρημα «ἴσως», ἐπειδὴ ἡ γέννηση τοῦ Υἱοῦ ἀπὸ τὸν Πατέρα εἶναι πάνω ἀπὸ τὴ θέληση. Γιατὶ ἀνάμεσα στὸν Πατέρα καὶ τὸν Υἱὸ δὲν μεσολαβεῖ ἡ θέληση, οὔτε ἡ θέληση τοῦ Πατέρα ἐπινοεῖται κατὰ ὁτιδήποτε πρὶν ἀπὸ τὸν Υἱό, ἐπειδὴ οὔτε ποὺ ὑπῆρχε ὁ Πατέρας πρὶν ἀπὸ τὸν Υἱό, ὅπως οὔτε ὁ νοῦς ὑπάρχει πρὶν ἀπὸ τὸ λόγο ποὺ προέρχεται ἀπὸ αὐτόν, οὔτε τὸ φῶς ἀπὸ τὴν ἀκτινοβολία του. Γιατί, ἀφοῦ ἔχουν ταυτόχρονα τὸ εἶναι, ἔχουν καὶ μιὰ θέληση ὁ Πατέρας καὶ ὁ Υἱὸς ποὺ γεννήθηκε χωρὶς ἀρχὴ ἀπὸ αὐτόν, θέληση ἁπλὴ καὶ ἀδιαίρετη, ὅπως ἀκριβῶς καὶ μιὰ οὐσία καὶ μιὰ φύση.

## 84

**Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Γιατί, τί μ' ἐμποδίζει κι ἐμένα νὰ κάνω αὐτὴ τὴν πρόταση ὅτι 'ὁ Πατέρας εἶναι μεγα-**

*ἔπειτα ποσλαβόντα τό, Φύσει δὲ οὐ πάντως μεῖζον, οὐδὲ Πατήρ, συναγαγεῖν, Τὸ μεῖζον οὐ πάντως μεῖζον, ἤ, Ὁ Πατὴρ οὐ πάντως Πατήρ»;*

*Ἐπειδήπερ μείζονα τῷ αἰτίῳ τοῦ Υἱοῦ τὸν Πατέρα σοφῶς ὁ διδάσκαλος, ὡς ἐκ τοῦ Πατρὸς ὄντος τοῦ Υἱοῦ, ἀλλ' οὐκ ἐκ τοῦ Υἱοῦ τοῦ Πατρὸς ὑπάρχοντος, διωρίζετο, προσλαβόντες οἱ Ἀρειανοὶ τὴν τὸ αἴτιον φύσει πρότασιν συνῆγον αὐτῷ κακούργως τὸ φύσει μεῖζον. Πρῶτον μὲν ἐπιλύεται γενναίως τὸ παραλελογισμένως ὑπ' αὐτῶν συναχθὲν εἰπών· «Οὐκ οἶδα πότερον ἑαυτοὺς παραλογίζονται, ἢ τοὺς πρὸς οὓς ὁ λόγος». Οὐ γὰρ ἁπλῶς ὅσα κατά τινος λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου τούτῳ ρηθήσεται, ἀλλὰ δῆλον κατὰ τίνος καὶ τίνα τοῦτ' ἔστιν. Οὐ γὰρ ὅσα κατὰ τοῦ αἰτίου ὡς αἰτίου, φησί, λέγεται, ταῦτα καὶ κατὰ τοῦ φύσει ρηθήσεται. Οὐκ ἔστι γὰρ λόγου τὰ κατά τινος φέρε εἰπεῖν σοφοῦ ἢ βασιλέως ὡς σοφοῦ ἢ ὡς βασιλέως λεγόμενα καὶ κατὰ τοῦ ὑποκειμένου τούτοις ρηθῆναι, ὡς ἀνθρώπων, καὶ συμπαραλαμβάνειν ἀθέσμως τῷ τῆς οὐσίας ὅρῳ τῶν ὑποκειμένων τὰ κατὰ τῆς σοφίας ὡς σοφίας, καὶ τὰ κατὰ τῆς βασιλείας ὡς βασιλείας λεγόμενα, τὰ μηδὲν καθόλου τῷ λόγῳ τῆς οὐσίας ἐπικοινωνοῦντα ὡς συστατικὰς διαφορὰς αὐτῆς καὶ συμπληρωτικὰς τοῦ κατ' αὐτὴν ὅρου παραλαμβάνειν.*

*Ἔπειτα σοφώτερον συμπλέξας αὐτοῖς ἐκ τῆς αὐτῶν προτάσεως συλλογισμὸν περιτρέπει αὐτοὺς ἑαυτοῖς. Ἔχει δὲ οὕτως· Ἐπεὶ τί κωλύει κἀμὲ ταύτην πρότασιν ποιησάμενον τὴν ὅτι, ὁ Πατὴρ μείζων τῇ φύσει, ἔπειτα προσλαβόντα τό, Φύσει δὲ οὐ πάντως μεῖζον οὐδὲ Πατήρ, ἐντεῦθεν συναγαγεῖν, τὸ Μεῖζον οὐ πάντως μεῖζον, ἤ, Ὁ Πατὴρ οὐ πάντως Πατήρ. Πρὸς δὲ τὸ σαφέστερον ἡμῖν γενέσθαι καὶ συνεκτικώτερον διαγράψωμεν, εἰ δοκεῖ, σχήματι τὸ λεγόμενον, ἐκ μὲν τῆς τῶν ἐναντίων ἐπιχειρή-*

80. Ὁπ. π., κεφ. 15, σ. 134.

λύτερος κατὰ τὴ φύση', κι ἔπειτα παίρνοντας κι αὐτό, ὅτι 'τὸ κατὰ τὴ φύση δὲν εἶναι ὁπωσδήποτε μεγαλύτερο, οὔτε Πατέρας', νὰ συμπεράνω 'Τὸ μεγαλύτερο δὲν εἶναι ὁπωσδήποτε μεγαλύτερο', ἢ 'ὁ Πατέρας δὲν εἶναι ὁπωσδήποτε Πατέρας'»[80];

Ἐπειδὴ ὁ δάσκαλος προσδιόριζε σοφὰ ὡς πρὸς τὴν αἰτία ὅτι ὁ Πατέρας εἶναι μεγαλύτερος ἀπὸ τὸν Υἱό, ἐπειδὴ ὁ Υἱὸς προῆλθε ἀπὸ τὸν Πατέρα καὶ δὲν προῆλθε ὁ Πατέρας ἀπὸ τὸν Υἱό, ἀφοῦ πῆραν οἱ Ἀρειανοὶ τὴν πρόταση μὲ τὸ φυσικὸ αἴτιο, συμπέραναν δόλια τὸ φυσικὸ μεγαλύτερο. Πρῶτα λοιπὸν διαλύει ἀποφαστιστικὰ τὸ παράλογο συμπέρασμά τους λέγοντας· «Δὲν ξέρω ποιό ἀπὸ τὰ δύο, τοὺς ἑαυτούς τους μπλέκουν μέσα στοὺς παραλογισμούς τους ἢ αὐτοὺς πρὸς τούς ὁποίους ἀπευθύνονται». Γιατὶ ὅλα ὅσα λέγονται γενικὰ γιὰ κάτι, δὲ θὰ είπωθοῦν καὶ γιὰ ὅ,τι ὑπόκειται σ' αὐτό, ἀλλὰ εἶναι φανερὸ γιὰ ποιόν λέγονται καὶ τί λογῆς εἶναι. Γιατὶ λέει, ὅσα λέγονται γιὰ τὸ αἴτιο ὡς αἴτιο δὲ θὰ λεχθοῦν καὶ γιὰ τὸ κατὰ φύση. Γιατὶ δὲν εἶναι λογικὸ ὅσα λέγονται γιὰ κάποιον σοφὸ λόγου χάρη ἢ βασιλιὰ ὡς σοφὸ ἢ ὥς βασιλιὰ νὰ λεχθοῦν καὶ γιὰ τὸ ὑποκείμενό τους, ὡς ἀνθρώπους δηλαδή, καὶ νὰ συμπαραλάβομε ἄθεσμα στὸν ὅρο τῆς οὐσίας τῶν ὑποκειμένων ὅσα λέγονται γιὰ τὴ σοφία ὡς σοφία καὶ γιὰ τὴ βασιλεία ὡς βασιλεία, ποὺ δὲν ἐπικοινωνοῦν καθόλου μὲ τὸ λόγο τῆς οὐσίας ὥς συστατκὲς διαφορές της καὶ συμπληρωτικὲς τοῦ ὅρου της.

Ἔπειτα συνθέτοντας σοφότερο συλλογισμὸ ἀπὸ τὴν πρότασή τους, τοὺς ἀνατρέπει μὲ τὸν ἴδιο τὸν ἑαυτό τους. Καὶ ἔχει ὡς ἑξῆς ὁ συλλογισμός· «Γιατί, τί μ' ἐμποδίζει κι ἐμένα νὰ κάνω αὐτὴ τὴν πρόταση, ὅτι "Ὁ Πατέρας εἶναι μεγαλύτερος κατὰ τὴ φύση', κι ἔπειτα παίρνοντας τὸ 'Κατὰ φύση δὲν εἶναι ὁπωσδήποτε μεγαλύτερο, οὔτε Πατέρας', κι ἀπὸ δῶ νὰ συμπεράνω 'Τὸ μεγαλύτερο δὲν εἶναι ὁπωσδήποτε μεγαλύτερο' ἢ 'ὁ Πατέρας δὲν εἶναι ὁπωσδήποτε Πατέρας'. Καὶ γιὰ νὰ γίνει σαφέστερο σ' ἐσᾶς ἂς τὸ περιγράψομε, ἂν νομίζετε, αὐτὸ ποὺ λέμε μὲ πιὸ συνεπτυγμένο σχῆμα, ἀρχίζοντας ἀπὸ τὴν ἀπόπειρα

*σεως ἀρχόμενοι, εἰς δὲ τὴν τοῦ Πατρὸς καταπαύοντες διδασκαλίαν.*

*Πρότασις Ἀρειανῶν, ἤγουν Εὐγνομιανῶν·*

*«Εἰ φύσει αἴτιος ὁ Πατὴρ τοῦ Υἱοῦ, μείζων δὲ ὁ Πατὴρ τοῦ Υἱοῦ, μείζων ἄρα τῇ φύσει ὁ Πατὴρ τοῦ Υἱοῦ».*

*Ἐπίλυσις τοῦ ἁγίου Πατρὸς ἡμῶν Γρηγορίου διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς περιτρέποντος τοὺς ἐναντίους·*

*«Εἰ φύσει μείζων καθ' ὑμᾶς ὁ Πατὴρ τοῦ Υἱοῦ, τὸ δὲ φύσει οὐ πάντως μείζων ἢ Πατήρ, τὸ μεῖζον ἄρα οὐ πάντως μεῖζον, ἢ ὁ Πατὴρ οὐ πάντως Πατήρ».*

*Οὕτω περιτρέπονται τοῖς οἰκείοις ἑαλωκότες μηχανήμασιν οἱ τὴν ἀλήθειαν ἀπαναινόμενοι, κενοὶ κενῶς τῆς εὐσεβείας ἐκτιναχθέντες. Ἐπὶ γὰρ τῶν τοιούτων λόγων τὰ συμπεράσματα τῶν προτάσεών εἰσι συστατικά, τῶν δὲ συμπερασμάτων αἱ προτάσεις ὑπάρχουσιν ὁριστικαί, οἷς περιπεπτώκασιν ἐκ πολλῆς ἀμαθίας οἱ ἑαυτοὺς οἰόμενοι σοφούς.*

## *ΠΕ'*

*«Ἔστω δὲ καὶ ἐνεργείας, εἰ δοκεῖ, οὐδὲ οὕτως ἡμᾶς αἱρήσετε. Αὐτὸ δε τοῦτο ἐνεργηκὼς ἂν εἴη τὸ ὁμοούσιον, εἰ καὶ ἄτοπος ἄλλως ἡ τῆς περὶ τοῦτο ἐνεργείας ὑπόληψις».*

***Ἐπειδὴ οἱ τὴν γλῶσσαν ὡσεὶ ξυρὸν κατὰ τῆς ἀληθείας ἠκονημένην ἔλεγον δῆθεν ἐρωτῶντες, Ὁ Πατὴρ οὐσίας ἐστὶν ἢ ἐνεργείας ὄνομα; ἵνα εἰ μὲν εἴπωμεν οὐσίας ὄνομα εἶναι τό, Πατήρ, ἐντεῦθεν συναγάγωσι τὸ ἑτεροούσιον εἶναι τῷ Πατρὶ τὸν Υἱόν, ὡς τῆς αὐτῆς οὐσίας δύο μὴ ἐπιδεχομένης καὶ διάφορα κυρίως ὀνόματα (εἰ γὰρ τὸ Πατὴρ οὐσίας ἐστὶν ὄνομα, οὐκ ἄν ποτε***

---

**81. Ὀπ. π., κεφ. 16. σ. 136.**

τῶν ἀντιθέτων μας καὶ σταματώντας στὴ διδασκαλία τοῦ Πατέρα.

Πρόταση τῶν Ἀρειανῶν, δηλαδὴ τῶν Εὐνομιανῶν.

«Ἂν εἶναι κατὰ τὴ φύση αἴτιος ὁ Πατέρας τοῦ Υἱοῦ καὶ εἶναι μεγαλύτερος ὁ Πατέρας ἀπὸ τὸν Υἱό, ἄρα ὁ Πατέρας εἶναι μεγαλύτερος κατὰ τὴ φύση ἀπὸ τὸν Υἱό».

Ἡ λύση τοῦ ἁγίου πατέρα μας Γρηγορίου ποὺ ἀνατρέπει μὲ τὴν ἀπαγωγὴ σὲ ἄτοπο τοὺς ἀντίθετους.

«Ἂν κατὰ τὴν ἄποψή σας εἶναι ὡς πρὸς τὴ φύση μεγαλύτερος ἀπὸ τὸν Υἱὸ ὁ Πατέρας καὶ τὸ κατὰ τὴ φύση δὲν εἶναι ὁπωσδήποτε μεγαλύτερο ἢ Πατέρας, ἄρα τὸ μεγαλύτερο δὲν εἶναι ὁπωσδήποτε μεγαλύτερο, ἢ ὁ Πατέρας δὲν εἶναι ὁπωσδήποτε Πατέρας».

Ἔτσι ἀνατρέπονται πιασμένοι στὰ δικά τους τεχνάσματα αὐτοὶ ποὺ ἀποκρούουν τὴν ἀλήθεια, τιναγμένοι μακριὰ ἀπὸ τὴν εὐσέβεια κούφιοι καὶ ἄδειανοί. Σ' αὐτοὺς τοὺς λόγους συστατικὰ εἶναι τὰ συμπεράσματα τῶν προτάσεων, καὶ τὰ συμπεράσματα τὰ καθορίζουν οἱ προτάσεις, στὰ ὁποία συμπεράσματα περιπλέχτηκαν ἀπὸ τὴν πολλή τους ἀμάθεια αὐτοὶ ποὺ νομίζουν τὸν ἑαυτό τους σοφό.

85

«Μὰ καὶ ὄνομα ἐνέργειας νὰ εἶναι, ἂν νομίζετε, οὔτε ἔτσι δὲ θὰ μᾶς πιάσετε. Κι αὐτὸ τὸ ἴδιο τὸ ὁμοούσιο θὰ εἶχε ἐνεργήσει ἐκεῖνος, γιατὶ ἀλλιῶς εἶναι ἄτοπη ἡ ἄποψη γιὰ τὴν ἐνέργεια σχετικὰ μ' αὐτό»[81].

Ὅσοι εἶχαν ἀκονισμένη τὴ γλώσσα τους σὰν ξυράφι κατὰ τῆς ἀλήθειας ἔλεγαν ρωτώντας τάχα· 'Ὁ Πατέρας εἶναι ὄνομα οὐσίας ἢ ἐνέργειας;' Ὥστε, ἂν λέγαμε εἶναι ὁ Πατέρας ὄνομα οὐσίας, ἀπὸ αὐτὸ νὰ συμπεράνουν ὅτι ὁ Υἱός εἶναι διαφορετικῆς οὐσίας ἀπὸ τὸν Πατέρα, ἐπειδὴ ἡ ἴδια οὐσία δὲν ἐπιδέχεται δυὸ καὶ διαφορετικὰ κύρια ὀνόματα (ἂν δηλαδὴ τὸ Πατέρας εἶ-

*τῆς αὐτῆς ὄνομα εἴη τὸ Υἱός), εἰ δὲ ἐνεργείας, σαφῶς τοῦ Πατρὸς ποίημα τὸν Υἱὸν ὁμολογοῦντας δείξωσιν, ὡς ἐνέργημα, μετὰ τὸ τὴν κυριολεξίαν ἀντιθετικῶς διεξελθεῖν εὐθέως πρὸς αὐτοὺς τὸν διδάσκαλον εἰρηκότα οὔτε οὐσίας εἶναι τὸ πατὴρ ὄνομα, οὔτε ἐνεργείας, ἀλλὰ σχέσεως, καὶ τοῦ πῶς ἔχει πρὸς τὸν Υἱὸν ὁ Πατήρ, ἢ ὁ Υἱὸς πρὸς τὸν Πατέρα, συμπεριφορικῶς ἐνήγαγεν εἰπών· «Ἔστω καὶ ἐνεργείας, εἰ τοῦτο δοκεῖ», καὶ ἐπιφέρει· «αὐτὸ δὲ τοῦτο ἐνηργηκὼς ἂν εἴη τὸ ὁμοούσιον». Πῶς οὖν ἐνεργεῖ τὸ ὁμοούσιον; ζητῆσαι τις ἂν τυχὸν τῶν ἄγαν ἐξεταστικῶν καὶ μηδὲν τῶν συμφερόντων ἀγνοεῖν ἀνεχομένων. Τοῦτο δὲ κατὰ τοιόνδε τρόπον ὁμαλισθήσεται.*

*Δύο καθόλου τὰς ἐνεργείας εἶναί φασιν ἐν τοῖς οὖσι, μίαν μὲν τὴν προάγουσαν ἐκ τῶν ὄντων φυσικῶς τὰ ὁμογενῆ καὶ ὁμοούσια καὶ ἑαυτοῖς πάντῃ ταὐτά. Καθ' ἣν συμπεριενεχθεὶς τοῖς λογολέσχαις ἐπιεικῶς πρὸς τὸ μικρὸν γοῦν ἐπισχεῖν αὐτοὺς τοῦ βλασφημεῖν, φησὶν ὁ διδάσκαλος, «Ἔστω δὲ καθ' ὑμᾶς», κατὰ τὸν ἀποδοθέντα σκοπὸν τοῦ λόγου, «καὶ ἐνεργείας ὄνομα ὁ Πατήρ». Οἷς ἐπάγει· «Αὐτὸ δὲ τοῦτο ἐνηργηκὼς ἂν εἴη ὁ Πατήρ», δηλονότι τὸ ὁμοούσιον, ὡς ἐνέργειαν οὐσιωδῶς ὑφεστῶσαν καὶ ζῶσαν, ὥσπερ οὖν ἀμέλει καὶ Λόγον ζῶντα καὶ δύναμιν καὶ σοφίαν αὐθυπόστατον τὸν μονογενῆ Θεοῦ Λόγον καὶ Υἱὸν τοῦ Πατρὸς εἰρήκασιν οἱ θεόφρονες τῆς ἀληθείας διδάσκαλοι. Τὴν δὲ ἑτέραν ἐνέργειάν φασιν εἶναι τῶν ἐκτὸς ἀπεργαστικήν, καθ' ἣν περί τι τῶν ἔξωθεν καὶ ἑτεροουσίων ἐνεργῶν τις ἕτερόν τι τῆς ἰδίας οὐσίας ἀλλότριον ἐκ προϋποκειμένης ὕλης τινὸς κατασκευάζει. Ταύτην δὲ τὴν ἐνέργειαν ταῖς τέχναις ἐπιστημονικῶς συγκεῖσθαί φασι. Περὶ ἧς ὁ θεόφρων διδάσκαλός φησι, «εἰ καὶ ἄτοπος ἄλλως», παρ' ὃν ἐλήφθη δηλονότι τρόπον, «ἡ τῆς περὶ*

ναι ὄνομα οὐσίας, θὰ ἦταν ποτὲ ὄνομα τῆς ἴδιας οὐσίας καὶ τὸ Υἱός). Ἂν ποῦμε ὅτι εἶναι ὄνομα ἐνέργειας, νὰ ἀποδείξουν σαφῶς ὅτι ὁμολογοῦμε τὸν Υἱὸ δημιούργημα τοῦ Πατέρα, ὡς ἀποτέλεσμα τῆς ἐνέργειάς του (ἐνέργημα). Γι' αὐτό, ἀφοῦ ὁ δάσκαλος ἀνέπτυξε τὴν ἀντίθεση τῶν κυρίων ὀνομάτων, εἶπε εὐθέως πρὸς αὐτοὺς ὅτι τὸ ὄνομα Πατέρας δὲν εἶναι οὔτε οὐσίας οὔτε ἐνέργειας, ἀλλὰ σχέσης καὶ τῆς θέσης τοῦ Πατέρα πρὸς τὸν Υἱὸ ἢ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, καὶ μὲ τρόπο τοὺς κατηγόρησε λέγοντας· «Ἔστω καὶ ὄνομα ἐνέργειας, ἂν ἔτσι νομίζετε», καὶ προσθέτει· «Ἀλλὰ θὰ εἶχε ἐνεργήσει ἐκεῖνος αὐτὸ τὸ ἴδιο τὸ ὁμοούσιο». Πῶς λοιπὸν ἐνεργεῖ τὸ ὁμοούσιο, θὰ ζητοῦσε ἴσως νὰ μάθει κάποιος ἀπὸ τοὺς ὑπερβολικὰ ἀπαιτητικοὺς καὶ ποὺ δὲ θέλουν ν' ἀγνοοῦν τίποτε ἀπὸ ὅ,τι τοὺς συμφέρει. Αὐτὸ θὰ ἐξομαλυνθεῖ κατὰ τὸν ἀκόλουθο τρόπο.

Λένε ὅτι γενικὰ μέσα στὰ ὄντα ὑπάρχουν δύο ἐνέργειες. Μία αὐτὴ ποὺ προάγει φυσικὰ ἀπὸ τὰ ὄντα τὰ ὁμογενὴ καὶ ὁμοούσια καὶ ἴδια σὲ ὅλα μὲ τὸν εαυτό τους. Σύμφωνα μ' αὐτὴν συμπεριφερόμενος μ' ἐπιείκεια στὴ λογική τους γιὰ νὰ τοὺς ἐμποδίσει κάπως στὴ βλασφημία τους λέει ὁ δάσκαλος· «Μὰ καὶ ὄνομα ἐνέργειας κατὰ τὴν ἄποψή σας», σύμφωνα μὲ τὴν ἐξήγηση ποὺ δώσαμε, «νὰ εἶναι ὁ Πατέρας». Σ' αὐτὰ προσθέτει· «αὐτὸ τὸ ἴδιο θὰ τὸ εἶχε ἐνεργήσει ὁ Πατέρας», δηλαδὴ τὸ ὁμοούσιο, ἐπειδὴ εἶναι ἐνέργεια ποὺ ὑπάρχει οὐσιαστικὰ καὶ ζεῖ, ὅπως ἀκριβῶς βέβαια καὶ λόγο ζωτικὸ καὶ δύναμη καὶ σοφία αὐθυπόστατη εἶπαν τὸ μονογενὴ Λόγο τοῦ Θεοῦ καὶ Υἱὸ τοῦ Πατέρα οἱ θεόφρονες δάσκαλοι τῆς ἀλήθειας. Ἡ ἄλλη ἐνέργεια λένε ὅτι ἀπεργάζεται τὰ ἐξωτερικὰ καὶ σύμφωνα μ' αὐτὴν ἐνεργώντας κάποιος κάτι ἀπὸ τὰ ἐξωτερικὰ καὶ ἑτεροούσια, παράγει κάτι ἄλλο ἀλλότριο ἀπὸ τὴ δική του οὐσία καὶ ἀπὸ κάποια ἄλλη προϋπάρχουσα ὕλη. Αὐτὴ ἡ ἐνέργεια λένε ὅτι ὑπάρχει ἐπιστημονικὰ στὶς τέχνες. Γι' αὐτὴν λέει ὁ θεόφρων δάσκαλος· «Ἂν καὶ εἶναι ἄτοπο ἀπὸ ἄλλη ἄποψη», δηλαδὴ ἀντίθετη ἀπὸ τὸν τρόπο ποὺ εἰπώθηκε, «ἡ ἄποψη γιὰ τὴν ἐνέργεια σχετικὰ μ' αὐτό», καὶ μάλιστα ὅταν διατυπώνεται γιὰ τὸν

*τοῦτο ἐνεργείας ὑπόληψις», καὶ μάλιστα ἐπὶ Πατρὸς καὶ Υἱοῦ λαμβανομένης, ἐφ' ὧν οὐδὲ τὴν πρώτην κυρίως δέξασθαι ὁ εὐσεβὴς ἀνέχεται νοῦς, διὰ τὸ καὶ ὑπὲρ ταύτην εἶναι τὴν ἐκ τοῦ Πατρὸς καὶ ἅμα τῷ Πατρὶ καὶ ἐν τῷ Πατρὶ ἄφραστον καὶ ἀπερινόητον ὕπαρξιν τοῦ Μονογενοῦς.*

## *ΠS'*

*Ἐκ τοῦ β' περὶ Υἱοῦ λόγου, εἰς τό· «Θεὸς δὲ λέγοιτο ἂν οὐ τοῦ Λόγου, τοῦ ὁρωμένου δέ. Πῶς γὰρ εἴη τοῦ κυρίως Θεοῦ Θεός; ὥσπερ καὶ Πατὴρ οὐ τοῦ ὁρωμένου, τοῦ Λόγου δέ. Καὶ γὰρ ἦν διπλοῦς, ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν, τὸ δὲ οὐ κυρίως· ἐναντίως δὲ ἐφ' ἡμῶν ἔχει. Ἡμῶν γὰρ κυρίως Θεὸς ὁ Θεός, οὐ κυρίως δὲ Πατήρ».*

*Τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν θετέον, τοῦ, Πατήρ, καὶ τοῦ, Θεός, ὡς ἀμφοῖν ἐπὶ Χριστοῦ κυρίως λέγεσθαι δυναμένων διὰ τὴν μίαν ὑπόστασιν. Χριστοῦ γὰρ Πατὴρ κυρίως ἐστὶν ὁ Θεός, ὡς Υἱοῦ καὶ Θεοῦ Λόγου καὶ ἑνὸς τῆς ἁγίας Τριάδος ὑπάρχοντος καὶ μετὰ τὴν σάρκωσιν, καὶ Θεοῦ τοῦ αὐτοῦ Χριστοῦ πάλιν κυρίως ἐστίν, ὡς ἀνθρώπου κατὰ ἀλήθειαν ὄντος διὰ τὴν σάρκα, καὶ ἑνὸς τῶν ἀνθρώπων χρηματίζοντος· τὰ γαρ τῶν μερῶν τοῦ ἐξ αὐτῶν ὅλου κυρίως κατηγορεῖται, ὡς ἐπιδεχομένου πάντα κυρίως τὰ φυσικῶς προσόντα τοῖς μέρεσιν, ἐξ ὧν καὶ ὑφέστηκε. «Τὸ δὲ οὐ κυρίως ὡσαύτως ἐπ' ἀμφοῖν» ληπτέον, τοῦ, Θεός, καὶ τοῦ, Πατήρ, ὡς ἀμφοῖν ἐπὶ Χριστοῦ κυρίως λεχθῆναι μὴ δυναμένων, διὰ τὴν φυσικὴν διαφορὰν τῶν ἐξ ὧν καὶ ἐν αἷς συνέστηκε φύσεων. Τὰ γὰρ τῷ κατὰ σύνθεσιν ὅλῳ προσόντα θατέρου τῶν ἑαυτοῦ μερῶν οὐδέποτε κυρίως κατηγορηθήσεται.*

*«Ἐναντίως» δὲ «ἡ ἐφ' ἡμῶν ἔχει», τουτέστιν ἔμπαλιν καθὼς ἐφ' ἡμῶν ἔχει. Ἡνίκα γὰρ τὴν διαφορὰν θεωρῶ τῶν φύσε-*

---

82. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος Λ' *Περὶ Υἱοῦ, Θεολογικὸς δ'*, κ. 8, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 4, σ. 166.

Πατέρα καὶ τὸν Υἱό, γιὰ τοὺς ὁποίους οὔτε τὴν πρώτη δὲν δέχεται καὶ δὲν ἀνέχεται ὡς ἔγκυρη ὁ εὐσεβὴς νοῦς, ἐπειδὴ εἶναι καὶ πάνω ἀπὸ αὐτὴν ἡ ἀπὸ τὸν Πατέρα καὶ μαζὶ μὲ τὸν Πατέρα καὶ μέσα στὸν Πατέρα ἄφραστη καὶ ἀπερινόητη ὕπαρξη τοῦ Μονογενοῦς.

86

Ἀπὸ τὸ β' λόγο περὶ τοῦ Υἱοῦ στὰ λεγόμενα· «Θεὸς θὰ λεγόταν ὄχι τοῦ Λόγου, ἀλλὰ τοῦ ὁρατοῦ. Γιατὶ πῶς θὰ ἦταν Θεὸς τοῦ κυρίως Θεοῦ; Ὅπως καὶ Πατέρας δὲ θὰ λεγόταν τοῦ ὁρατοῦ ἀλλὰ τοῦ Λόγου. Γιατὶ βέβαια ἦταν διπλός, ὥστε τὸ ἕνα κυριολεκτεῖται καὶ στὰ δύο, ἐνῶ τὸ ἄλλο δὲν κυριολεκτεῖται. Σ' ἐμᾶς ὅμως εἶναι τὸ ἀντίθετο. Γιατὶ εἶναι γιὰ μᾶς κυριολεκτικὰ Θεὸς καὶ ὄχι κυριολεκτικὰ Πατέρας»[82].

Τὸ 'κυρίως' πρέπει νὰ τεθεῖ καὶ στὰ δύο, καὶ στὸ Πατέρα καὶ στὸ Θεό, ἐπειδὴ μπορεῖ τὸ καθένα τους νὰ κυριολεκτηθεῖ ἐξειτίας τῆς κοινῆς ὑπόστασης. Γιατὶ Πατέρας τοῦ Χριστοῦ εἶναι κυριολεκτικὰ ὁ Θεός, ἐπειδὴ εἶναι Υἱὸς καὶ Θεὸς Λόγος κι ἕνας ἀπὸ τὴν ἁγία Τριάδα καὶ μετὰ τὴ σάρκωση, καὶ Θεὸς τοῦ ἰδίου τοῦ Χριστοῦ εἶναι κυριολεκτικὰ πάλι, ἐπειδὴ εἶναι ἀληθινὰ ἄνθρωπος ἐξαιτίας τῆς σάρκας, καὶ χρημάτισε ἕνας ἀπὸ τοὺς ἀνθρώπους· γιατὶ τὰ μέρη γίνονται κατηγορούμενα τοῦ ὅλου ποὺ αὐτὰ ἀποτελοῦν, ἐπειδὴ τὸ ὅλο δέχεται κυριολεκτικὰ ὅλα τὰ φυσικὰ γνωρίσματα τῶν μερῶν, ἀπὸ τὰ ὁποῖα ἔχει τὴν ὑπόστασή του. «Καὶ τὸ ὄχι κυριολεκτικὰ ὅμοια», πρέπει νὰ ληφθεῖ καὶ γιὰ τὰ δύο, καὶ γιὰ τὸ Θεὸ καὶ γιὰ τὸν Πατέρα, ἐπειδὴ δὲν μποροῦν νὰ κυριολεκτηθοῦν καὶ τὰ δύο στὸ Χριστό, ἐξαιτίας τῆς φυσικῆς διαφορᾶς τῶν φύσεων ἀπὸ τὶς ὁποῖες καὶ μὲ τὶς ὁποῖες ἀποτελέστηκε. Γιατὶ τὰ γνωρίσματα ἑνὸς σύνθετου ὅλου, ποτὲ δὲ θὰ γίνουν κατηγορήματα τοῦ ἑνὸς ἀπὸ τὰ μέρη του.

«Καὶ εἶναι ἀντίθετο μ' ἐμᾶς», δηλαδὴ «εἶναι ἀντίθετο ἀπὸ ὅ,τι σ' ἐμᾶς». Γιατὶ ὅταν παρατηρῶ τὴ διαφορὰ τῶν φύσεων καὶ

*ων, καὶ τὴν αὐτῶν κατ᾽ ἐπίνοιαν ποιοῦμαι διάκρισιν, οὐ δύναμαι τὸ ἐπ᾽ ἐμφοῖν κυρίως τιθέναι, τοῦ, Πατήρ, φημὶ καὶ τοῦ, Θεός. Οὐ γὰρ κυρίως τοῦ Λόγου Θεός ἐστιν ὁ Πατήρ, οὐ δὲ κυρίως Πατὴρ τῆς σαρκός ἐστιν ὁ Θεός. «Ἐναντίως δέ», τουτέστιν ἔμπαλιν δέ, ἢ ἀντιστρόφως δέ, τοῦ τε «κυρίως» δηλονότι καὶ «οὐ κυρίως», ἐπί τε τῆς ἑνώσεως καὶ τῆς μιᾶς ὑποστάσεως, ἐπί τε τῆς διαφορᾶς τῶν φύσεων καὶ τῆς κατ᾽ ἐπίνοιαν αὐτῶν μιᾶς διακρίσεως λαμβανομένων, ὡς τῆς μὲν μίαν ὑποστάσεως κυρίως Θεὸν καὶ Πατέρα λεγόμενον, ὡς ἑνὸς Χριστοῦ, τὸν Θεὸν ἐπιδεχομένης κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν, τῆς δὲ κατ᾽ οὐσίαν διαφορᾶς τῶν φύσεων ἔμπαλιν τὸ μὴ κυρίως ἐπιδεχομένης, καθὼς ἐφ᾽ ἡμῶν ἔχει. Ἡμῶν γὰρ κυρίως μὲν Θεὸς ὁ Θεός, ὥσπερ καὶ τῆς τοῦ Λόγου σαρκός, οὐ κυρίως δὲ Πατήρ, ὥσπερ οὐδὲ τῆς τοῦ Λόγου σαρκός. Ἐνηλλαγμένως οὖν τὰ τοῦ ὅλου τοῖς μέρεσι, καὶ τῷ ὅλῳ τὰ τῶν οἰκείων μερῶν ἐκφωνητέον, καὶ ἔσται ῥᾳδία καὶ σαφὴς ἡ τοῦ προκειμένου κατάληψις.*

*Καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, ἡνίκα μὲν ὡς ὑπόστασις ὁ Χριστὸς θεωρεῖται, τὸ «κυρίως ἐπ᾽ ἀμφοῖν», τοῦ, Θεός, λέγω καὶ τοῦ, Πατήρ, θετέον, ἡνίκα δὲ διὰ τὴν ἀσύγχυτον ὕπαρξιν τῶν ἐν οἷς καὶ ἐξ ὧν ἐστιν αἱ τοῦ Χριστοῦ φύσεις θεωροῦνται, τὸ «ἔμπαλιν» θετέον, ὅπερ ἐστὶ τὸ μὴ κυρίως, καθὼς ἐφ᾽ ἡμῶν ἔχει. Καὶ δηλοῖ τοῦτο σαφῶς λέγων ὁ διδάσκαλος διὰ τοῦ ἐπαγαγεῖν, «καὶ τοῦτο ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις, ἐπαλλαττομένων τῶν ὀνομάτων διὰ τὴν σύγκρασιν». Σημεῖον δέ, ἡνίκα αἱ φύσεις διΐστανται ταῖς ἐπινοίαις, συνδιῄρηνται καὶ τὰ ὀνόματα. Τουτέστιν, ἕως ὑπόστασιν μίαν σκοπεῖς τὸν Χριστόν, ἡ κατ᾽ ἐπαλλαγὴν τῶν ὀνομάτων ἐπίζευξίς ἐστιν ἀδιαίρετος, ἐπειδὰν δὲ ταῖς ἐπινοίαις διαστήσῃς τὰς συμπληρούσας τὴν μίαν ὑπόστασιν τοῦ Χριστοῦ φύσεις, συνδιεῖλες ταῖς φύσεσι καὶ τὰ ὀνόματα· ἢ πάλιν, ἐπείπερ τὴν φύσιν διπλοῦς ὁ Χριστός, ἄμφω κατηγορεῖται αὐτοῦ, τὸ Θεὸς καὶ Πατήρ,*

τὴ νοητὴ διάκρισή τους, δὲν μπορῶ νὰ τὸ θέσω κυριολεκτικὰ καὶ γιὰ τὰ δύο, ἐννοῶ γιὰ τὸν Πατέρα καὶ τὸν Υἱό. Γιατὶ δὲν εἶναι κυριολεκτικὰ ὁ Πατέρας Θεὸς τοῦ Λόγου οὔτε εἶναι κυριολεκτικὰ Πατέρας τῆς σάρκας ὁ Θεός. «Ἀλλὰ ἀντίθετα», δηλαδὴ τανάπαλιν ἢ ἀντίστροφα λαμβάνονται καὶ στὸ «κυριολεκτικά», δηλαδὴ καὶ στὸ «ὄχι κυριολεκτικά», ἐξαιτίας τῆς ἕνωσης καὶ τῆς μιᾶς ὑπόστασης καὶ ἐξαιτίας τῆς διαφορᾶς τῶν φύσεων καὶ τῆς νοητῆς διάκρισής τους, γιατὶ στὴ μιὰ ὑπόσταση ποὺ κυριολεκτεῖται Θεὸς καὶ Πατέρας, ἐπειδὴ ὁ Χριστὸς εἶναι ἕνας, δέχεται τὸ Θεὸ κατὰ τὴν ἐξήγηση ποὺ δώσαμε, ἐνῶ ἡ διαφορὰ τῶν φύσεων στὴν οὐσία ἄντίθετα δέχεται τὸ ὄχι κυριολεκτικά, ὅπως συμβαίνει μ' ἐμᾶς. Ὁ Θεὸς δηλαδὴ εἶναι κυριολεκτικὰ Θεὸς γιὰ μᾶς, εἶναι ὅμως ὄχι κυριολεκτικὰ Πατέρας, ὅπως δὲν εἶναι οὔτε γιὰ τὴ σάρκα τοῦ Λόγου. Κατὰ ἀμοιβαιότητα λοιπὸν πρέπει νὰ ποῦμε ὅτι τὰ τοῦ ὅλου ἀνήκουν στὰ μέρη καὶ τὰ τῶν οἰκείων μερῶν στὸ ὅλο, καὶ θὰ γίνει εὔκολη καὶ σαφὴς ἡ κατανόηση αὐτῶν ποὺ πραγματευόμαστε.

Καὶ γιὰ νὰ γίνει σαφέστερο αὐτὸ ποὺ λέμε, ὅταν ὁ Χριστὸς θεωρεῖται ὡς ὑπόσταση, τότε πρέπει νὰ θέσομε τὸ 'κυριολεκτικὰ καὶ στὰ δύο', στὸ «Θεὸς» ἐννοῶ καὶ στὸ «Πατέρας»· ὅταν ὅμως θεωροῦνται οἱ φύσεις τοῦ Χριστοῦ, γιὰ τὴν ἀσύγχυτη ὕπαρξη αὐτῶν στὰ ὁποῖα καὶ ἀπὸ τὰ ὁποῖα εἶναι, πρέπει νὰ θέσομε τὸ ἀντίθετο, ποὺ εἶναι, τὸ 'ὄχι κυριολεκτικά', ὅπως συμβαίνει μ' ἐμᾶς. Κι αὐτὸ τὸ φανερώνει μιλῶντας μὲ σαφήνεια ὁ δάσκαλος μὲ τὸ νὰ προσθέσει· «Κι αὐτὸ προκαλεῖ στοὺς αἱρετικοὺς τὴν πλάνη, ἡ σύζευξη τῶν ὀνομάτων μὲ ἐναλλαγὴ τῶν ὀνομάτων ἐξαιτίας τῆς σύγκρασης». Ἀπόδειξη αὐτοῦ εἶναι τὸ ὅτι ὅταν χωρίζονται νοητὰ οἱ φύσεις, διαιροῦνται μαζὶ καὶ τὰ ὀνόματα. Δηλαδή, ὅσο θεωρεῖς τὸ Χριστὸ σὰν μία ὑπόσταση, ἡ ἐναλλακτικὴ σύζευξη τῶν ὀνομάτων εἶναι ἀδιαίρετη, ὅταν ὅμως διαστείλεις μὲ τὴ διάνοια τὶς φύσεις ποὺ συμπληρώνουν τὴ μία ὑπόσταση τοῦ Χριστοῦ, συνδιαιρεῖς μαζὶ μὲ τὶς φύσεις καὶ τὰ ὀνόματα. Ἢ πάλι, ἐπειδὴ ὁ Χριστὸς εἶναι διπλὸς στὴ φύση, ἀποδίδονται σ' αὐτὸν ὡς κατηγορήματα καὶ τὰ δύο, τὰ ὀνόματα

*κυρίως μὲν ἡνίκα συνεκφωνεῖται καταλλήλως ταῖς φύσεσι τὰ ὀνόματα, οὐ κυρίως δὲ ὅταν ἡ κατὰ φύσιν ἑκατέρου τῶν ἐξ ὧν ἐν οἷς τε καὶ ἅπερ ἐστὶ θατέρῳ διὰ τὴν μίαν ὑπόστασιν ἐπηλλαγμένως ἀντιδίδοται κτῆσις. Ὅπερ ποιεῖν μὴ γινώσκοντες, ἤ, κυριώτερον εἰπεῖν, μὴ ἀνεχόμενοι, οἱ τότε καὶ οἱ νῦν αἱρετικοὶ τὸν μονογενῆ Θεὸν Λόγον βλασφημεῖν οὐ παραιτοῦνται, οἱ μὲν εἰς κτίσμα κατάγοντες διὰ τὰ ἀνθρώπινα, οἱ δὲ τὴν οἰκονομίαν συγχέοντες διὰ τὴν ἄρνησιν τῶν ἐξ ὧν ἐστι φύσεων.*

*Ἄλλος δὲ πάνυ τὰ θεῖα σοφὸς τοῦτον ἐρωτηθεὶς παρ᾽ ἐμοῦ τὸν τόπον ἔφη· Τὸ μὲν «κυρίως», τὸ δὲ «οὐ κυρίως ἐπ᾽ ἀμφοῖν», τῆς αὐτῆς ἐστι κατηγορίας τῆς σχετικῆς, εἴτε τῆς Πατήρ, εἴτε τῆς Θεός, ἢ καὶ ἑκατέρας, ὡς ἐφ᾽ ἑνὸς Χριστοῦ τιθεμένης, τοῦ συνεστῶτος ἐκ δυοῖν τῶν ἐναντίων, «κυρίως» καὶ «οὐ κυρίως». Εἰ μὲν Θεὸς ὁ Πατὴρ τοῦ Χριστοῦ λεχθείη κατὰ τὴν ἐπίνοιαν τῶν δύο φύσεων, «κυρίως» μὲν τοῦ κτίσματος ἂν λέγοιτο, «οὐ κυρίως» δὲ τοῦ Θεοῦ Λόγου. Ὁμοίως δὲ καὶ ἐκ τῶν ἐναντίων Πατὴρ «κυρίως» τοῦ Λόγου, τοῦ δὲ κτίσματος «οὐ κυρίως», καθὰ καὶ ἐφ᾽ ἡμῶν ἔχει ταῦτα λεγόμενα. Ἡμῶν γὰρ «κυρίως» μὲν Θεός, «οὐ κυρίως» δὲ Πατήρ. Ταύτην ἀποδεξάμενος ἐγὼ τοῦ σοφοῦ τὴν ἐπιβολὴν ὡς καλῶς ἔχουσαν, συνεῖδον ἐνταγῆναι τῷ γράμματι.*

## *ΠΖ'*

***Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Λαμβάνειν αὐτόν, δηλαδὴ τὸν Χριστόν, ζωὴν ἢ κρίσιν ἢ κληρονομίαν ἐθνῶν ἢ ἐξουσίαν πάσης σαρκὸς ἢ δόξαν ἢ μαθητὰς ἢ ὅσα λέγεται», καὶ τούτοις ἐπαγαγεῖν τὸν διδάσκαλον ὅτι, «Καὶ τοῦτο τῆς ἀνθρωπότητος», εἶτα προσεπαγαγεῖν», «Εἰ δὲ καὶ τῷ Θεῷ δοίης, οὐκ***

Θεὸς καὶ Πατέρας, κυριολεκτικὰ ὅταν συνεκφωνοῦνται τὰ ὀνόματα κατάλληλα πρὸς τὶς φύσεις καὶ ὄχι κυριολεκτικά, ὅταν ἡ φυσικὴ κτίση καθενὸς ἀπὸ τὰ ὁποῖα προέρχεται καὶ στὰ ὁποῖα σύγκειται καὶ τὰ ὁποῖα εἶναι ἀνταποδίδεται στὸ ἄλλο κατ' ἐναλλαγή. Αὐτὸ ἐπειδὴ δὲν ξέρουν νὰ τὸ κάνουν, ἢ ἀκριβέστερα ἐπειδὴ δὲν ἀνέχονται, οἱ τότε καὶ τώρα αἱρετικοὶ δὲν παύουν νὰ βλασφημοῦν τὸν μονογενὴ Θεὸ Λόγο, ἄλλοι κατεβάζοντάς τον στὸ ἐπίπεδο τοῦ κτίσματος γιὰ τὰ ἀνθρώπινα, κι ἄλλοι συγχέοντας τὴν οἰκονομία μὲ τὸ νὰ ἀρνοῦνται τὶς φύσεις ἀπὸ τὶς ὁποῖες ἀποτελεῖται.

Κάποιος ἄλλος ἐξαιρετικὰ σοφὸς στὰ θεῖα, ὅταν τὸν ρώτησα γι' αὐτὸ τὸ χωρίο μοῦ εἶπε· Τὸ κυριολεκτικὰ ἀπὸ τὴ μιὰ καὶ τὸ ὄχι κυριολεκτικὰ καὶ γιὰ τὰ δύο ἀπὸ τὴν ἄλλη ἀνήκουν στὴ ἴδια κατηγορία τῆς σχέσης εἴτε τῆς σχέσης τοῦ Πατέρα εἴτε τοῦ Θεοῦ ἢ καὶ τῶν δύο, ἐπειδὴ ἡ σχέση τοποθετεῖται στὸν ἕνα Χριστὸ, ποὺ συνίσταται ἀπὸ τὰ δύο ἀντίθετα τὸ 'κυριολεκτικὰ' καὶ τὸ 'ὄχι κυριολεκτικά'. Ἂν ὁ Πατέρας τοῦ Χριστοῦ εἰπωθεῖ Θεὸς μὲ τὴν ἔννοια τῶν δύο φύσεων, θὰ μποροῦσε νὰ λεχθεῖ 'κυριολεκτικὰ' γιὰ τὴ φύση τοῦ κτίσματος καὶ 'ὄχι κυριολεκτικὰ' γιὰ τοῦ Θεοῦ Λόγου. Ὅμοια κι ἀντίθετα Πατέρας 'κυριολεκτικὰ' τοῦ Λόγου, ἐνῶ τοῦ κτίσματος 'ὄχι κυριολεκτικά', σύμφωνα μὲ αὐτὰ ποὺ λέγονται καὶ γιὰ μᾶς. Γιὰ μᾶς εἶναι 'κυριολεκτικὰ' Θεός, 'ὄχι κυριολεκτικὰ' ὅμως Πατέρας. Δέχθηκα αὐτὴ τὴν ἐξήγηση τοῦ σοφοῦ ὡς ὀρθὴ κι ἀποφάσισα ν' ἀκολουθήσω τὸ κείμενο.

## 87

**Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Αὐτός, δηλαδὴ ὁ Χριστός, νὰ παίρνει τὴ ζωὴ ἢ τὴν κρίση ἢ τὴν κληρονομία τῶν ἐθνῶν ἢ τὴν ἐξουσία κάθε σάρκας ἢ τὴ δόξα ἢ μάθηση ἢ ὅσα λέγονται». Καὶ σ' αὐτὰ ὁ δάσκαλος προσθέτει, «Κι αὐτὸ εἶναι τῆς ἀνθρώπινης φύσης του», καὶ στὴ συνέχεια προσθέτει ἀκόμα· «Κι ἂν τὰ ἀποδώσεις καὶ στὸ Θεό, δὲν εἶναι ἄτοπο, γιατὶ δὲ θὰ τοῦ τ' ἀποδώσεις ὡς ἐπίκτητα, ἀλλὰ σὰν αὐτὰ**

*ἄτοπον. Οὐ γὰρ ὡς ἐπίκτητα δώσεις, ἀλλ' ὡς ἐξαρχῆς συνυπάρχοντα, καὶ λόγῳ φύσεως, ἀλλ' οὐ χάριτος».*

*Πρὸς ἐμαυτὸν περὶ τούτου πολλάκις διαπορήσας, πῶς καὶ τίνι λόγῳ, καθώς φησιν ὁ διδάσκαλος, ὃ κατὰ φύσιν ἔχει λαμβάνειν ὁ Θεὸς λέγεται, καὶ μὴ δυνηθεὶς ἐμαυτὸν πληροφορῆσαι, τέλος καλῶς ἔχειν ἐρέσθαι γέροντα σοφὸν διέγνων, ὅστις τὸν περὶ τούτου λόγον ἐπιστημόνως μάλα διΐθυνεν οὑτωσὶ λέγων, ὅτιπερ καθ' ὑπόθεσιν εἰδῶμέν τινα σαφηνίζοντά τισι τὰς τῶν ὄντων φύσεις, ἐρεῖν πρὸς αὐτούς· Δῶμεν τῷ Θεῷ τὸ παντοδύναμον, τὸ σοφόν, τὸ ἀγαθόν, τὸ δίκαιον· ὡσαύτως τῇ κτίσει τὸ δοῦλον, τὸ ὑπήκοον, τὸ περιγραπτόν, τὸ ἐκ μὴ ὄντων ὑποστῆναι, καὶ τὰ τούτοις ἀκόλουθα, ὡς τῆς φύσεως ἑκάστου ἐν ταῖς κοιναῖς ἐννοίαις ἀπαιτούσης τὰ ἴδια. Φάσκων οὖν ὁ τυχὼν τό· «Δῶμεν τῷ Θεῷ», οὐχὶ τὸ μὴ προσὸν αὐτῷ παρεῖχεν, ἀλλ' ὅπερ ἡ φύσις ἔχει. Τοῦτο γὰρ τὸ «δῶμεν» σημαίνει οἷον τὸ διορίζειν τὴν φύσιν διὰ τῶν αὐτῇ προσόντων ἀπὸ τῶν μὴ τοιούτων. Τὸν αὐτὸν τρόπον κἀνταῦθα λέγοντα τὸν διδάσκαλον εὐσεβῶς ἐκδέχου, «εἰ δὲ καὶ τῷ Θεῷ δῶμεν», τουτέστι τῆς φύσεως τὸ προσὸν αὐτῇ πρὸς τῶν διευκρινούντων τὰ πράγματα λαμβανούσης.*

## *ΠΗ'*

*Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Ὡς γὰρ ἀδύνατον εἶναι λέγομεν πονηρὸν εἶναι Θεόν, ἢ μὴ εἶναι».*

***Καὶ τοῦτο τὸν προλεχθέντα σοφὸν ἐρωτήσας γέροντα ἔφη μὴ ἠρτῆσθαι τὸ «μὴ εἶναι» τῷ προλεχθέντι, ἵνα μὴ συναχθῇ τὸ εἶναι τὸν Θεὸν πονηρόν· «Ὡς γὰρ ἀδύνατον εἶναι λέγομεν πονηρὸν εἶναι Θεόν, ἢ μὴ εἶναι» πονηρόν, ἀλλ' εἶναι πονηρόν, κατὰ κοινοῦ τοῦ «πονηρὸν» κειμένου. Δύο γὰρ ἀρνήσεις μίαν συγκατάθεσιν ἐπάγουσιν. Ἔστιν οὖν ἀρνητικὸν τὸ «ἀδύνατον», συμ-***

83. Ὁπ. π., κ. 9, σ. 166.
84. Ὁπ. π., κ. 11, σ. 170.

πού συνυπάρχουν σ' αὐτὸν ἀπὸ τὴν ἀρχὴ καὶ κατὰ τὸ λόγο τῆς φύσης, καὶ ὄχι κατὰ χάρη»[83].

Ἀναρωτήθηκα πολλὲς φορὲς μέσα μου γι' αὐτό, πῶς καὶ γιὰ ποιό λόγο, ὅπως λέει ὁ δάσκαλος, ὁ Θεὸς ἀποκαλεῖται μὲ αὐτὸ πού ἔχει λάβει σύμφωνα μὲ τὴ φύση του. Κι ἐπειδὴ δὲν μπόρεσα νὰ δώσω ἱκανοποιητικὴ ἀπάντηση στὸν ἑαυτο μου, στὸ τέλος ἔκρινα ὅτι θὰ ἦταν καλὸ νὰ ρωτήσω κάποιο σοφὸ γέροντα, κι αὐτὸς μὲ πολλὴ ἐπιστήμη κατηύθυνε τὸ λόγο μὲ τὸ θέμα αὐτὸ μιλώντας ὡς ἑξῆς· Ἂν ὑποθέσομε πὼς ξέρομε κάποιον πού διασαφηνίζει σὲ ἄλλους τὶς φύσεις τῶν ὄντων καὶ τοὺς λέει· Ἂς ἀποδώσομε στὸ Θεὸ τὴν παντοδυναμία, τὴ σοφία, τὴν ἀγαθότητα, τὴ δικαιοσύνη, κι ἐπίσης στὴν κτίση τὴ δουλεία, τὴν ὑπακοή, τὴν περιγραφή, τὴν ὑποστατοποίησή της ἀπὸ τὰ μὴ ὄντα καὶ τὰ ἐπακόλουθά τους, ἐπειδὴ ἡ φύση καθενὸς ἀπαιτεῖ τὰ δικά της στὶς κοινὲς ἔννοιες. Ὅταν λοιπὸν ὁ τυχὼν λέει, «ἂς δώσομε στὸ Θεό», δὲν ἔδινε σ' αὐτὸν ἐκεῖνο πού δὲν εἶχε, ἀλλ' ἐκεῖνο πού εἶχε ἡ φύση. Γιατὶ τὸ «ἂς δώσομε», σημαίνει τὸ νὰ προσδιορίσομε τὴ φύση ἀπὸ ὅσα ἀνήκουν σ' αὐτὴν σὲ σχέση μ' αὐτὰ πού δὲν ἀνήκουν. Μὲ τὸν ἴδιο τρόπο καὶ τὸ δάσκαλο νὰ τὸν ἀποδεχθεῖς μ' εὐσέβεια λέγοντας, «Κι ἂν τ' ἀποδώσομε καὶ στὸ Θεό», δηλαδὴ νὰ λάβει ἡ φύση του αὐτὸ πού τῆς ἀνήκει ἀπὸ αὐτοὺς πού διευκρινίζουν τὰ πράγματα.

## 88

Ἀπὸ τὸν ἴδιο λόγο στὸ λεγόμενο· «Ὅπως δηλαδὴ λέμε ὅτι εἶναι ἀδύνατο νὰ εἶναι ὁ Θεὸς πονηρὸς ἢ νὰ μὴν εἶναι»[84].

Καὶ γι' αὐτὸ ρώτησα τὸ σοφὸ γέροντα πού ἀνέφερα καὶ εἶπε νὰ μὴ συναρτηθεῖ τὸ «νὰ μὴν εἶναι» μὲ τὸ προηγουμένως λεχθέν, γιὰ νὰ μὴ βγεῖ τὸ συμπέρασμα ὅτι ὁ Θεὸς εἶναι πονηρός. «Γιατὶ ὅπως θεωροῦμε ἀδύνατο ὅτι εἶναι ὁ Θεὸς πονηρὸς ἢ ὅτι δὲν εἶναι» πονηρός, ἀλλὰ ὅτι εἶναι πονηρός, ἐπειδὴ τὸ «πονηρὸς» τίθεται ἀπὸ κοινοῦ. Γιατὶ δύο ἀρνήσεις κάνουν μία κατάφαση. Τὸ «ἀδύνατο» λοιπὸν εἶναι ἀρνητικό, καὶ συμπλεκό-

*πλεκόμενον δὲ τῷ «μὴ εἶναι πονηρόν», συνάγει τὸ πονηρὸν εἶναι. Ὅπερ οὐχ οὕτως ἔχει, μὴ γένοιτο. Ἀλλ' ἕκαστον ἀπὸ ἰδίας ἀρχῆς ἔχει τὸν εἱρμόν, ἵνα ᾖ τὸ κῶλον οὕτως ὁμαλιζόμενον, «ὡς γὰρ ἀδύνατον εἶναι λέγομεν πονηρὸν εἶναι Θεόν», καὶ στίξαι καὶ πάλιν ἄρξασθαι νοήματος ἑτέρου καὶ προσεπαγαγεῖν, «ἢ μὴ εἶναι», ἀντὶ τοῦ ἀνύπαρκτον εἶναι.*

## *ΠΘ*

*Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Ἔχεις τὰς τοῦ Υἱοῦ προσηγορίας, βάδιζε δι' αὐτῶν, ὅσαι ὑψηλαί, θεϊκῶς, καὶ ὅσαι σωματικαί, συμπαθῶς, μᾶλλον δὲ ὅλον θεϊκῶς, ἵνα γένῃ Θεὸς κάτωθεν ἀνελθὼν διὰ τὸν κατελθόντα δι' ἡμᾶς ἄνωθεν».*

*Ὁ τὸν νοῦν διὰ τῆς ὑψηλῆς θεωρίας κατὰ τὴν ἑκάστου τῶν θείων ὀνομάτων ἐπίνοιαν καταφωτίσας καὶ πρὸς τὸν ἀρχικὸν ἑκάστου καὶ πνευματικὸν λόγον ἀναγαγών τε καὶ μεταποιήσας, καὶ τοῖς ὑπὲρ ἀρετῆς πόνοις τὸ φρόνημα τῆς σαρκὸς καθυποτάξας τῷ πνεύματι, ὑπήκοός τε μέχρι θανάτου γενόμενος, οὗτος ἀληθῶς βάδιζε «διὰ τῶν θείων προσηγοριῶν» ἀμέμπτως κατά τε πνεῦμα καὶ σάρκα, τὴν θείαν καὶ πρὸς Θεὸν ἄγουσαν πορείαν ποιούμενος, «ὑψηλῶς» μὲν κατὰ τὴν μυστικὴν θεωρίαν διὰ τῶν ὑψηλῶν ὀνομάτων, «συμπαθῶς» δὲ κατὰ τὴν πρακτικὴν φιλοσοφίαν, διὰ τῶν σωματικῶν πρὸς τὴν ἄνω λῆξιν ἐπειγόμενος, «μᾶλλον δὲ τὸ ὅλον θεϊκῶς», ὡς θεωρητικῆς οὔσης καὶ τῆς πράξεως καὶ λογικῆς χάριτος μὴ ἀμοιρούσης· ἀλλ' ὅτου χάριν τὴν πρὸς τὴν σάρκα γνωμικὴν ἀλλοτρίωσιν διὰ τῆς τελείας περιτομῆς τῶν αὐτῆς φυσικῶν κινημάτων εἵλετο σαφῶς ὑπαγορεύων ὅτιπερ, ἵνα γένηται καὶ αὐτὸς χάριτι Θεός, ὑπὲρ τὴν ὕλην κατὰ σάρκα διὰ τῆς πράξεως, καὶ κατὰ νοῦν διὰ θεωρίας ὑπὲρ τὸ εἶδος, ἐξ ὧν ἡ τῶν ὄντων ὕπαρξις ὑφέστηκεν, ἑαυτὸν καταστήσας, καὶ τὸ ὅλον εἰπεῖν, κατὰ τὴν ἕξιν τῆς ἀρετῆς καὶ τῆς*

85. Ὁπ. π., κ. 21, σ. 194.
86. Φιλ. 2,8.

μενο μὲ τὸ «ὅτι δὲν εἶναι πονηρός», βγάζει τὸ συμπέρασμα ὅτι εἶναι πονηρός. Αὐτὸ βέβαια δὲν εἶναι ἔτσι, μὴ γένοιτο. Ἀλλὰ τὸ καθένα ἔχει τὸ λογικὸ εἱρμό του ἀπὸ τὴν ἴδια του τὴν ἀρχή, γιὰ νὰ εἶναι ἡ περίοδος ἐξομαλισμένη ἡ ἀκόλουθη· «Ὅπως λέμε πὼς εἶναι ἀδύνατο νὰ εἶναι πονηρὸς ὁ Θεός», νὰ βάλομε στίξη καὶ ν' ἀρχίσομε πάλι ἄλλο νόημα προσθέτοντας, «ἢ νὰ μὴν εἶναι», ἀντὶ τοῦ «εἶναι ἀνύπαρκτος».

89

Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Ἔχεις τὶς προσηγορίες τοῦ Υἱοῦ, βάδιζε μ' αὐτές, θεϊκὰ μὲ ὅσες εἶναι ὑψηλὲς καὶ μὲ ὅσες εἶναι σωματικὲς ἀνθρώπινα, ἢ καλύτερα τελείως θεϊκά, γιὰ νὰ γίνεις Θεὸς ἀνεβαίνοντας ἀπὸ τὰ κάτω χάρη σ' αὐτὸν ποὺ κατέβηκε γιὰ χάρη μας ἀπὸ ἄνω»[85].

Σὺ ποὺ καταφώτισες τὸ νοῦ μὲ τὴν ὑψηλὴ θεωρία σύμφωνα μὲ τὴν ἔννοια καθενὸς ἀπὸ τὰ θεῖα ὀνόματα καὶ ποὺ ἀνέβηκες καὶ μετασχηματίστηκες πρὸς τὸν ἀρχικὸ καὶ πνευματικὸ λόγο τοῦ καθενὸς καὶ καθυπόταξες στὸ πνεῦμα τὸ φρόνημα τῆς σάρκας μὲ τοὺς κόπους τῆς ἀρετῆς κι ἔγινες ὑπάκουος μέχρι θανάτου[86], ἐσὺ ἀληθινὰ βάδιζε, σύμφωνα μὲ τὶς θεῖες προσηγορίες, ἄμεμπτα καὶ κατὰ τὸ πνεῦμα καὶ κατὰ τὴ σάρκα, βαδίζοντας τὸ θεῖο δρόμο ποὺ ὁδηγεῖ στὸ Θεό, θεϊκά, σύμφωνα μὲ τὴ μυστικὴ θεωρία μὲ τὰ ὑψηλὰ ὀνόματα, κι ἀνθρώπινα συμπάσχοντας σύμφωνα μὲ τὴν πρακτικὴ φιλοσοφία, σπεύδοντας μὲ τὶς σωματικὲς ἀσκήσεις πρὸς τὴν οὐράνια κατάπαυση, «ἢ καλύτερα τελείως θεϊκά», ἐπειδὴ καὶ ἡ πράξη εἶναι θεωρητικὴ καὶ δὲν εἶναι ἄμοιρη ἀπὸ λογικὴ χάρη. Ἀλλὰ γιὰ χάρη ὁποιου προτίμησε τὴν ἐθελούσια ἀποξένωση πρὸς τὴ σάρκα μὲ τὴν τέλεια περιτομὴ τῶν φυσικῶν ὁρμῶν της ὑπαγορεύοντας σαφῶς ὁτιδήποτε, γιὰ νὰ γίνει κι αὐτὸς Θεὸς κατὰ χάρη, φτάνοντας τὸν ἑαυτό του, ὄντας μέσα στὴ σάρκα ἀκόμα, μὲ τὶς πράξεις πάνω ἀπὸ τὴν ὕλη, καὶ κατὰ νοῦ μὲ τὴ θεωρία πάνω ἀπὸ τὸ εἶδος, ἀπὸ τὰ ὁποῖα ἔχει τὴν ὑπόστασή της ἡ ὕπαρξη τῶν ὄντων, καὶ γιὰ νὰ ὁλοκλη-

*γνώσεως ἄϋλος καὶ ἀνείδεος πάντη γενόμενος, διὰ τὸν δι᾿ ἡμᾶς ἐν ὕλῃ καὶ εἴδει καθ᾿ ἡμᾶς ἀληθῶς ἐξ ἡμῶν γενόμενον Θεὸν Λόγον, τὸν κατὰ φύσιν κυρίως ἄϋλον καὶ ἀνείδεον. Ἢ καὶ πάλιν τό· «μᾶλλον δὲ ὅλον θεϊκῶς», διὰ τὴν ἐγγενομένην αὐτῷ κατορθώσαντι τὴν ἐφικτὴν ἀνθρώποις ἀρετὴν καὶ γνῶσιν, ἐκ τῆς πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον συμπαθείας, ἀπάθειαν, ὑπὲρ τῆς τῶν ἄλλων ὀφειλῆς πάσχειν καὶ τὴν ψυχὴν ἑτοίμως προϊέσθαι, ὡς κηλίδων παντάπασιν ὑπάρχων ἐλεύθερος.*

## ϛ΄

*Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὰ Γενέθλια λόγου, εἰς τό· «Νόμοι φύσεως καταλύονται· πληρωθῆναι δεῖ τὸν ἄνω κόσμον. Χριστὸς κελεύει· μὴ ἀντιτείνωμεν».*

*Κατὰ ἀλήθειαν οἱ νόμοι τῆς φύσεως καταλυθέντες τὴν τοῦ ἄνω κόσμου πλήρωσιν εἰργάσαντο. Δηλονότι μὴ καταλυθέντων ἐλλιπὴς ἂν ὁ ἄνω κόσμος διέμεινε καὶ ἀπλήρωτος. Τίνες δὲ οἱ καταλυόμενοι νόμοι τῆς φύσεώς εἰσιν; Ἡ διὰ σπορᾶς σύλληψις καὶ ἡ διὰ φθορᾶς ἐστιν, ὡς οἶμαι, γέννησις, ὧν οὐδέτερον τὴν ἀληθινὴν τοῦ Θεοῦ σάρκωσιν καὶ τελείαν ἐνανθρώπησιν παντελῶς ἐχαρακτήρισε. Σπορᾶς γὰρ ἀληθῶς ἡ σύλληψις, καὶ φθορᾶς γέγονε πάμπαν ἡ γέννησις, καθαρὰ καὶ ἀνέπαφος, καὶ διὰ τοῦτο Παρθένος καὶ μετὰ τὸν τόκον τοῦ γεννηθέντος ἡ Μήτηρ, διὰ τοῦ τοκετοῦ μᾶλλον ἀπαθὴς διαμείνασα, ὃ καὶ παράδοξον καὶ πάντα φύσεως νόμον τε καὶ λόγον ἐκβεβηκός, καὶ Θεὸς ὁ ἐξ αὐτῆς σαρκὶ γεννηθῆναι καταξιώσας, διασφίγξας αὐτῇ μᾶλλον ὡς μητρὶ τὰ τῆς παρθενίας δεσμὰ διὰ τῆς γεννήσεως. Τὸ θαυμαστὸν ὄντως καὶ πρᾶγμα καὶ ἄκουσμα, γέννησιν γενέσθαι βρέφους καὶ πρόοδον, τῶν γεννητικῶν κλείθρων τῆς τεκούσης μὴ ἀνοιγέντων. Ἔδει γὰρ ὄντως, ἔδει τὸν ποιητὴν τῆς φύσεως δι᾿ ἑαυτοῦ τὴν φύσιν ἐπανορθούμενον πρώτους καταλῦσαι τοὺς νόμους τῆς φύ-*

---

87. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΛΗ΄ *Εἰς τὰ Θεοφάνια*, κ. 2, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 5, σ. 38.

ρώσω, ἀφοῦ γίνει στὴν ἀρετὴ καὶ τὴ γνώση τελείως ἄυλος καὶ ἀνείδεος χάρη στὸ Θεὸ Λόγο ποὺ ἔλαβε γιὰ μᾶς ὕλη καὶ εἶδος σύμφωνα μ' ἐμᾶς καὶ ἀληθινὰ ἀπὸ ἐμᾶς, αὐτὸς ποὺ κατὰ φύση εἶναι ἄυλος κι ἀνείδεος. Ἢ πάλι καὶ τοῦτο· «Ἢ καλύτερα τελείως θεϊκά», ἐξαιτίας τῆς ἀπάθειας ποὺ κέρδισε ἀπὸ τὴ δυνατὴ στοὺς ἀνθρώπους ἀρετὴ καὶ τὴ γνώση ποὺ κατόρθωσε καὶ διαμόρφωσε μέσα του, ἀπὸ τὴ συμπ–πάθεια πρὸς τὸ Θεὸ καὶ τὸν πλησίον, νὰ πάσχει γιὰ τὴν ὀφειλὴ τῶν ἄλλων καὶ πρόθυμα νὰ θυσιάζει τὴ ζωή του, ἐπειδὴ εἶναι τελείως ἀπαλλαγμένος ἀπὸ κηλίδες.

## 90

Τοῦ ἰδίου ἀπὸ τὸ λογο στὰ Γενέθλια στὸ λεγόμενο· «Οἱ νόμοι τῆς φύσης καταλύονται· πρέπει νὰ γεμίσει ὁ ἄνω κόσμος. Τὸ προστάζει ὁ Χριστός· ἂς μὴν ἐναντιωθοῦμε»[87].

Ἀληθινὰ μὲ τὴν κατάλυσή τους οἱ νόμοι τῆς φύσης προξένησαν τὴν πλήρωση τοῦ ἄνω κόσμου. Εἶναι φανερὸ ὅτι, ἂν δὲν καταλύονταν, θὰ ἔμενε ὁ ἄνω κόσμος ἐλλιπὴς κι ἀνολοκλήρωτος. Καὶ ποιοί εἶναι οἱ νόμοι τῆς φύσης ποὺ καταλύονται; Εἶναι, νομίζω, ἡ σύλληψη μὲ σπέρμα καὶ ἡ γέννηση μὲ φθορά, τὰ ὁποῖα οὔτε τὸ ἕνα οὔτε τὸ ἄλλο χαρακτήρισαν καθόλου τὴν ἀληθινὴ σάρκωση τοῦ Θεοῦ καὶ τὴν τέλεια ἐνανθρώπησή του. Γιατὶ ἡ σύλληψή του ἔγινε ἀληθινὰ καθὼς καὶ ἡ γέννησή του τελείως καθαρὴ καὶ ἀνέπαφη ἀπὸ σπορὰ καὶ φθορά. Καὶ γι' αὐτὸ μετὰ τὸν τοκετὸ παρέμεινε παρθένα ἡ Μητέρα καὶ πιὸ ἀπαθὴς μετὰ τὴ γέννηση τοῦ παιδιοῦ, γεγονὸς παράδοξο καὶ ἔξω ἀπὸ κάθε νόμο καὶ λόγο τῆς φύσης, καὶ ἦταν Θεὸς αὐτὸς ποὺ ἔκρινε ἀντάξιό του νὰ γεννηθεῖ σαρκικὰ ἀπὸ αὐτὴν κι ἔσφιξε ἀκόμα περισσότερο μὲ τὴ γέννησή του τὰ δεσμὰ τῆς παρθενίας στὴ μητέρα του. Τὸ ἀληθινὰ ἀξιοθαύμαστο καὶ γεγονὸς καὶ ἄκουσμα, τὸ νὰ συλληφθεῖ βρέφος καὶ νὰ γεννηθεῖ, χωρὶς ν' ἀνοίξουν τὰ γεννητικὰ κλεῖθρα τῆς μητέρας. Ἔπρεπε βέβαια, ἔπρεπε ὁ ποιητὴς τῆς φύσης διορθώνοντας τὴ φύση μὲ τὸν ἑαυ-

*σεως, οἷς ἡ ἁμαρτία διὰ τῆς παρακοῆς τὴν αὐτὴν τοῖς ἀλόγοις ζώοις τοὺς ἀνθρώπους ἔχειν τῆς ἐξ ἀλλήλων διαδοχῆς ἰδιότητα κατεδίκασε, καὶ οὕτω τῆς πρώτης καὶ ὄντως θείας δημιουργίας τοὺς νόμους ἀνανεώσασθαι, ἵνα ὅπερ ὁ ἄνθρωπος ἐξ ἀπροσεξίας ὡς ἀσθενὴς ἠφάνισε, τοῦτο διὰ φιλανθρωπίαν ὁ Θεὸς ὡς δυνατὸς ἐπανορθώσηται.*

*Εἰ τοίνυν οἱ διὰ τὴν ἁμαρτίαν νόμοι τῆς φύσεως ἐν Χριστῷ κατελύθησαν, καὶ πᾶσα δουλοπρεπὴς τῶν παθῶν ἐπανάστασις διὰ τῆς παρουσίας τοῦ Λόγου παντελῶς ἀπεγένετο, πληρωθῆναι δεῖ πάντως τὸν ἄνω κόσμον, ὥς φησιν ὁ διδάσκαλος. Καὶ πρὸς τοῦτο μὴ ἀντιτείνωμεν. Εἰ γὰρ ὁ παλαιὸς ὑπὸ τὴν ἁμαρτίαν Ἀδὰμ ψιλὸς ἄνθρωπος ὢν τοὺς πρώτους ἐν πνεύματι νόμους τῆς φύσεως διὰ τῆς παρακοῆς καταλύσας τὸν κάτω κόσμον ἐπλήρωσε τῶν κατ' αὐτὸν σαρκὶ γεννηθένων εἰς φθοράν, τῷ ὁμοιώματι τῆς αὐτοῦ παραβάσεως γενόμενος ἀρχηγός, καὶ οὐδεὶς ἀντερεῖ, πολλῷ μᾶλλον ὁ ἀναμάρτητος νέος, ὁ Ἀδὰμ Χριστὸς ὁ Θεὸς τοὺς διὰ τὴν ἁμαρτίαν ἐπεισαχθέντας τῇ φύσει νόμους τῆς ἀλογίας καταλύσας, ὡς Λόγος, τὸν ἄνω κόσμον πληρώσειεν ἂν δικαίως τῶν κατ' αὐτὸν εἰς ἀφθαρσίαν Πνεύματι γεννωμένων, τῷ ὁμοιώματι τῆς αὐτοῦ ὑπακοῆς γενόμενος ἀρχηγός. Καὶ ἀπιστείτω μηδεὶς τῶν κἂν μικρὸς ἐπῃσθημένων τῆς τοῦ Θεοῦ δυναστείας καὶ τὸ μέγεθος αὐτῆς μὴ ἀγνοούντων. Οὕτω μὲν οὖν ὁ ἄνω κόσμος πληροῦται τῶν κατὰ Χριστὸν ἐν Πνεύματι γεννωμένων, καὶ οὕτω πέρας δέχεται πρόσφορον ὁ κατὰ σάρκα νόμος καὶ τῆς κάτω γεννήσεως, καὶ πρὸς τὸν ἄνω κόσμον πάντα ἀναρρυθμίζεται.*

## ϞΑ'

***Ἄλλη ἐπιβολὴ εἰς τὸ αὐτό.***

***Ἐπειδὴ δὲ καὶ ἄλλον νοῦν πρὸς τούτοις ὁ τοῦ διδασκάλου λόγος ἔχων μοι φαίνεται, λεκτέον καὶ τοῦτον ὡς καθ' ἡμᾶς ἐστι***

τό του πρῶτος νὰ καταλύσει τοὺς νόμους τῆς φύσης, μὲ τοὺς ὁποίους ἡ ἁμαρτία καταδίκασε τοὺς ἀνθρώπους μὲ τὴν παρακοή τους νὰ ἔχουν τὴν ἴδια μὲ τ' ἄλογα ζῶα ἰδιότητα μὲ διαδοχὴ τοῦ ἑνός ἀπὸ τὰ ἄλλα καὶ νὰ ἀνανεωθοῦν οἱ νόμοι τῆς πρώτης κι ἀληθινὰ θείας δημιουργίας, γιὰ νὰ ἀποκαταστήσει ἀπὸ φιλανθρωπία ὁ Θεὸς ὡς δυνατὸς αὐτὸ ποὺ ἐξαφάνισε ἀπὸ ἀπροσεξία ὡς ἀσθενὴς ὁ ἄνθρωπος.

Ἂν λοιπὸν καταλύθηκαν οἱ νόμοι τῆς φύσης ποὺ ἴσχυσαν ἐξαιτίας τῆς ἁμαρτίας κι ἀφανίστηκε μὲ τὴν παρουσία τοῦ λόγου κάθε ἐπανάσταση τῶν παθῶν ποὺ πρέπουν σὲ δούλους, πρέπει ὁπωσδήποτε νὰ γεμίσει ὁ ἄνω κόσμος, ὅπως εἶπε ὁ δάσκαλος. Καὶ ἂς μὴν ἀντιτείνομε σ' αὐτό. Γιατί, ἂν ὁ παλαιὸς καὶ κάτω ἀπὸ τὴν κυριαρχία τῆς ἁμαρτίας Ἀδάμ, ἐνῶ ἦταν ἁπλὸς ἄνθρωπος, ἀφοῦ κατέλυσε μὲ τὴν παρακοή του τοὺς πρώτους πνευματικοὺς νόμους τῆς φύσης, γέμισε τὸν κάτω κόσμο μὲ αὐτοὺς ποὺ γεννήθηκαν ἀπὸ αὐτὸν γιὰ τὴ φθορὰ κι ἔγινε ἀρχηγὸς μὲ τή μίμηση τὴς παράβασής του, καὶ κανένας δὲν ἔχει ἀντίρρηση, πολὺ περισσότερο ὁ ἀναμάρτητος νέος Ἀδάμ, ὁ Χριστὸς ὁ Θεός, ἀφοῦ καταλύσει ὡς Λόγος τοὺς νόμους τῆς ἀλογίας, ποὺ ἐξαιτίας τῆς παρακοὴς εἰσῆλθαν ἔπειτα στὴ φύση, μπορεῖ νὰ γεμίσει δίκαια τὸν ἄνω κόσμο μ' αὐτοὺς ποὺ γεννιοῦνται ἀπὸ αὐτὸν πνευματικὰ γιὰ τὴν ἀφθαρσία κι ἔγινε ἀρχηγὸς μὲ τὸ ὁμοίωμα τῆς ὑπακοῆς του. Κι ἂς μὴ δυσπιστεῖ κανένας ἀπὸ ὅσους ἔστω καὶ λίγο ἔνιωσαν τὴ δύναμη τοῦ Θεοῦ καὶ δὲν ἀγνοοῦν τὸ μέγεθός της. Ἔτσι λοιπὸν ὁ ἄνω κόσμος γεμίζει ἀπὸ αὐτοὺς ποὺ γεννιοῦνται πνευματικὰ ἀπὸ τὸ Χριστό, καὶ ἔτσι ὁ νόμος τῆς σάρκας καὶ τῆς κάτω γέννησης δέχεται τὸ κατάλληλο τέλος καὶ ὅλα ἀναρρυθμίζονται πρὸς τὸν ἄνω κόσμο.

## 91

### Ἄλλη ἑρμηνεία γιὰ τὸ ἴδιο.

Ἐπειδὴ ὅμως μοῦ φαίνεται ὅτι ὁ λόγος τοῦ δασκάλου ἔχει κι ἄλλο νόημα, πρέπει νὰ τὸ ἐκθέσω κι αὐτό ὅσο μοῦ εἶναι δυ-

*δυνατόν, Θεοῦ τὸν λόγον ἰθύνοντος ἐν τοῖς Εὐαγγελίοις. Ἡ μόνη τῶν ὅλων αἰτία καὶ Θεὸς Ἰησοῦς ὁ ἐμὸς ἐν παραβολαῖς κρυφίως διδάσκων πρόβατον θείας ἑκατοντάδος ἀποφοιτῆσαν, καὶ δραχμὴν θείας δεκάδος παραπολομένην, καὶ υἱὸν ἄσωτον ἀφραδῶς τοῦ πατρὸς ἀποπηδήσαντα καὶ ἀδελφικῆς θείας δυάδος τὴν ὁμόνοιαν λύσαντα, τὸν ἄνθρωπον ἐκάλεσε πρόβατον μὲν ὡς προνοητόν, οἶμαι, καὶ ἀγόμενον, καὶ ταττόμενον, καὶ τριῶν χρειωδῶν τῷ κεκτημένῳ παρεκτικόν, μαλοῦ καὶ ἀμνοῦ καὶ γάλακτος, ὡς τρεφόμενόν τε καὶ τρέφοντα, τῷ λόγῳ τε καὶ τῷ τρόπῳ τῆς φυσικῆς θεωρίας, καὶ ἐνδυόμενον καὶ ἐνδύοντα τῷ τρόπῳ τῆς ἠθικῆς φιλοσοφίας, καὶ πλουτοῦντα καὶ πλουτίζοντα κατὰ τὴν τοῦ ὁμοίου γέννησιν τῷ μυστηρίῳ τῆς ἀληθοῦς ἐποψίας· δραχμὴν δέ, ὡς λαμπρὸν καὶ βασιλικὸν καὶ τῷ τῆς εἰκόνος λόγῳ χαρακτηριστικὸν τῆς θείας ἀρχετυπίας, καὶ ὅλης ὑπάρχοντα τῆς θεϊκῆς ὡραιότητος ὡς ἐφικτὸν δεκτικόν· υἱὸν δέ, ὡς κληρονόμον τῶν πατρικῶν ἀγαθῶν καὶ ἰσότιμον τῷ πατρὶ κατὰ τὴν ἐκ χάριτος δωρεάν.*

*Τοῦτον δὲ τὸν ἄνθρωπον ὡς μὲν πρόβατον πλανηθέντα ὁ προνοητὴς Θεὸς ζητήσας ὡς ποιμὴν εὗρε, καὶ τοῖς οἰκείοις ὤμοις ἐπιθεὶς πρὸς τὴν τῶν συννόμων ἐπανήγαγε μάνδραν· ὡς δὲ εἰκόνα συγχωσθεῖσαν τοῖς πάθεσι καὶ τὸ ἀρχικὸν κάλλος ἀχρειώσαντα ὡς σοφία τὴν ἑαυτοῦ σάρκα λύχνου τρόπον ἐξάψας τῷ φωτὶ τῆς ἑαυτοῦ θεότητος ὁ Λόγος εὗρε, καὶ χαρᾶς ὑπόθεσιν μεγάλης ποιεῖται τὴν εὕρεσιν, δι' ἧς τῆς θείας δεκάδος τὴν ἔλλειψιν ἀνεπλήρωσεν. Ὡς δὲ υἱὸν νεκρωθέντα τῇ ἁμαρτίᾳ καὶ ἀπολόμενον τῇ περὶ τὸν Θεὸν ἀγνωσίᾳ ὡς Πατὴρ ἀγαθὸς ἐπιστρέφοντα προσήκατο, καὶ τῆς προτέρας ἀξίας ἐπιτίθησι πάλιν ἀνελλιπῶς τὰ γνωρίσματα, καὶ τὸ δὴ μέγιστον πάντων καὶ μυστικώτατον, τὸν μόσχον θύει τὸν σιτευτόν, ὅστις ποτὲ ἦν ὁ μόσχος οὗτος καὶ ἡ τούτου παράδοξος θυσία (οἶμαι δὲ ὅτι ὁ ἀκρότατός ἐστι τοῦ κατὰ τὴ θείαν καὶ ἄρρητον πρόνοιαν ἀπερινοήτου*

---

88. Λουκᾶ 15,4. 89. Λουκᾶ 15,8. 90. Λουκᾶ 15,12.

νατό, ἀφοῦ κατευθύνει ὁ Θεὸς τὸ λόγο μου στὰ Εὐαγγέλια. Ἡ μοναδικὴ αἰτία τῶν ὅλων καὶ Θεός, ὁ Ἰησοῦς μου, διδάσκοντας μυστικὰ μὲ παραβολὲς κάλεσε τὸν ἄνθρωπο πρόβατο ποὺ ἀποσκίρτησε ἀπὸ τὴ θεία ἑκατοντάδα[88], καὶ δραχμὴ ποὺ παρέπεσε ἀπὸ τὴ θεία δεκάδα[89], καὶ ἄσωτο γιὸ ποὺ ξέκοψε ἀπερίσκεπτα ἀπὸ τὸν πατέρα του καὶ διέλυσε τὴν ἑνότητα τῆς ἀδελφικῆς δυάδας[90]. Τὸν κάλεσε, νομίζω, πρόβατο, ἐπειδὴ χρειάζεται πρόνοια καὶ ὁδηγεῖται καὶ μπαίνει σὲ τάξη, κι ἐπειδὴ παρέχει στὸν ἰδιοκτήτη του τρία ἀναγκαιότατα, μαλλί, μικρὰ ἀρνάκια καὶ γάλα, κι ἐπειδὴ τρέφεται καὶ τρέφει μὲ τὸ λόγο καὶ τὸν τρόπο τῆς φυσικῆς θεωρίας καὶ ντύνεται καὶ ντύνει μὲ τὸν τρόπο τῆς ἠθικῆς φιλοσοφίας, ποὺ πλουτεῖ καὶ πλουτίζει σύμφωνα μὲ τὴ γέννηση τοῦ ὁμοίου μὲ τὸ μυστήριο τῆς ἀληθινῆς ἐποπτείας. Τὸν κάλεσε ἔπειτα δραχμή, ἐπειδὴ εἶναι λαμπρὸς καὶ βασιλικὸς καὶ ἔχει τὸ χαρακτήρα μὲ τὸ λόγο τῆς εἰκόνας τοῦ θείου ἀρχέτυπου, κι ἐπειδὴ εἶναι δεκτικὸς ὅσο γίνεται ὅλης τῆς θεϊκῆς ὡραιότητας. Τὸν κάλεσε ἀκόμα γιό, ἐπειδὴ εἶναι κληρονόμος τῶν πατρικῶν ἀγαθῶν καὶ ἰσότιμος μὲ τὸν πατέρα κατὰ τὴ δωρεὰ τῆς χάριτος.

Αὐτὸν τὸν ἄνθρωπο ποὺ πλανήθηκε σὰν πρόβατο, ἀφοῦ τὸν ἀναζήτησε ὡς ποιμένας ὁ προνοητὴς Θεός, τὸν βρῆκε, κι ἀφοῦ τὸν πῆρε στοὺς ὤμους του τὸν ἐπανέφερε στὴ μάντρα τῶν συντρόφων του. Καὶ σὰν εἰκόνα τῆς δραχμῆς ποὺ καταχώθηκε ἀπὸ τὰ πάθη κι ἀφάνισε τὸ ἀρχικὸ κάλλος, ἀφοῦ ὡς σοφία ἄναψε, λὲς καὶ ἦταν λυχνάρι, τὴ σάρκα του μὲ τὸ φῶς τῆς θεότητάς του, τὴ βρῆκε ὁ Λόγος καὶ κάνει τὴν εὕρεση αἰτία μεγάλης χαρᾶς, γιατὶ ἀναπλήρωσε τὴν ἔλλειψη τῆς θείας δεκάδας. Καὶ σὰν γιὸ ποὺ νεκρώθηκε ἀπὸ τὴν ἁμαρτία καὶ χάθηκε ἐξαιτίας τῆς ἄγνοιας τοῦ Θεοῦ, τὸν δέχθηκε ὅταν ἐπέστρεψε σὰν ἀγαθὸς πατέρας καὶ τοῦ ξαναφορεῖ ὅλα ἀνεξαιρέτως τὰ διακριτικὰ τοῦ προηγούμενου ἀξιώματός του καί, τὸ σπουδαιότερο καὶ μυστικότερο ἀπ' ὅλα, θυσιάζει τὸ μοσχάρι ποὺ ἔτρεφε, ὅποιο ἦταν αὐτὸ τὸ μοσχάρι καὶ ἡ παράξενη θυσία του (καὶ νομίζω ὅτι εἶναι ὁ ὑπέρτατος Λόγος, ὁ ὁλόκρυφος καὶ ὁ πανάγνωστος, ποὺ

*καὶ ἀγνώστου τρόπου κρυφιώτατός τε καὶ ἀγνωστότατος Λόγος, καὶ ἡ τούτου θεοπρεπὴς τοῖς οὖσι μετάδοσις), καὶ χαρᾶς ἀρρήτου ποιεῖται κεφάλαιον τοῦ υἱοῦ τὴν ἐπάνοδον, πληρώσασαν μεγαλοφυῶς τῶν υἱῶν τὴν δυάδα, ἥτις ποτέ ἐστιν αὕτη, καὶ ἡ πρὸ αὐτῆς δεκὰς τῶν δραχμῶν, καὶ ἡ πρὸ ἐκείνης τῶν προβάτων ἑκατοντάς.*

*Περὶ ὧν νῦν λέγειν, εἰ δοκεῖ, παραλείψωμεν, εὐκαιρότερον ἐν ἄλλοις μετ' ἐμμελοῦς ἐξεργασίας τὸν ἐφ' ἑκάστῳ ἀριθμῷ μυστικῶς Θεοῦ διδόντος συνοψόμενοι λόγον.*

*Εἰ τοίνυν ὡς μὲν πρόβατον ὁ καλὸς ποιμὴν τοῖς ὤμοις ἐπιθεὶς πρὸς τὰ σύννομα τὸν ἄνθρωπον ἐπανήγαγε, καὶ ὡς δραχμὴν διὰ τῆς εἰκόνος τὴν βασιλικὴν ἐκτύπωσιν ἔχοντα τὸν ἄνθρωπον ὡς σοφία τοῦ Θεοῦ καὶ Πατρὸς καὶ δύναμις διὰ τῆς σαρκώσεως εὗρεν ὁ Κύριος καὶ Σωτήρ, καὶ ὡς υἱὸν ἐπιστρέφοντα προσήκατο ὁ ἀγαθὸς καὶ πανοικτίρμων Πατήρ, καὶ ταῖς κατ' οὐρανὸν δυνάμεσι συναριθμήσας ἐγκατέταξεν, ἑκάστου τῶν ἐν τοῖς οὐρανοῖς ἀριθμοῦ πληρώσας τὴν ἔλλειψιν διὰ τοῦ σωθέντος ἀνθρώπου, δῆλον ὡς τὸν ἄνω κόσμον ἐπλήρωσε Χριστὸς ὁ Θεός, τὴν πάντων ἐν ἑαυτῷ θεοπρεπῶς αὐτουργήσας σωτηρίαν.*

## *ϞΒ'*

### *Ἄλλη θεωρία εἰς τὸ αὐτό.*

*Καὶ ἄλλως δέ, εἰ δοκεῖ, θεωρήσωμεν τὸ προκείμενον ἄπορον. Φασὶν οἱ τῶν ὄντων τὴν φύσιν ἀκριβῶς διαθρήσαντες νόμον εἶναι φύσεως ἑκάστης τὴν τοῦ καθ' ὃν ἔστι καὶ γεγένηται λόγου ἀρρεπῆ καὶ ἀναλλοίωτον μονιμότητα, καὶ καλῶς ἂν ἔχειν οὕτω τὸν ὅρον τοῦ νόμου τῆς φύσεως, ὡς οἶμαι, πᾶς λόγου μετειληφὼς ἀκούων συνθήσεται. Εἰ δὲ τοῦτό ἐστιν ἀληθές, δηλονότι ὁ νόμος τῆς φύσεως ἐξ ἀνάγκης ὥσπερ τὸν λόγον ἀπαράβατον φυλάττει τῆς φύσεως, οὕτω καὶ τὸν αὐτῆς κατὰ τὴν θέσιν*

μὲ ἀκατανόητο καὶ ἄγνωστο τρόπο ἐνεργεῖ σύμφωνα μὲ τὴ θεία καὶ ἄρρητη πρόνοια, καὶ ἡ θεοπρεπής μετάδοσή του στὰ ὄντα), καὶ κάνει τὴν ἐπιστροφὴ τοῦ γιοῦ του γεγονὸς μὲ κεφαλαιώδη σημασία, μὲ τὴν ὁποία συμπληρώθηκε μεγαλόπρεπα ἡ δυάδα τῶν υἱῶν του, ὅποια κι ἂν εἶναι αὐτή, καὶ ἡ πρὶν ἀπὸ αὐτὴν δεκάδα τῶν δραχμῶν, καὶ ἡ πρὶν ἀπὸ αὐτὴν ἑκατοντάδα τῶν προβάτων.

Γι' αὐτά, ἂν τὸ νομίζεις κι ἐσύ, ἂς παραλείψουμε γιὰ τὴν ὥρα νὰ μιλήσομε, συνθέτοντας τὸ λόγο, ἂν τὸ ἐπιτρέψει ὁ Θεός, σὲ ἄλλη καταλληλότερη εὐκαιρία μὲ προσεκτικὴ ἐπεξεργασία γιὰ τὸν ἀριθμὸ τῆς κάθε περίπτωσης μὲ τὸ μυστικὸ νόημα.

Ἂν λοιπὸν ὁ καλὸς ποιμένας παίρνοντας τὸν ἄνθρωπο σὰν πρόβατο στοὺς ὤμους του τὸν ἐπανέφερε στὸν ὀρθὸ δρόμο, καὶ σὰν δραχμὴ ποὺ ἔχει χαραγμένη τὴ βασιλικὴ εἰκόνα βρῆκε ὁ Κύριος καὶ Σωτήρας τὸν ἄνθρωπο μὲ τὴ σάρκωσή του ὡς σοφία τοῦ Θεοῦ καὶ Πατέρα καὶ δύναμη, καὶ τὸν δέχθηκε σὰν τὸ γιὸ ποὺ ἐπιστρέφει ὁ ἀγαθὸς καὶ πανεύσπλαχνος Πατέρας καὶ τὸν συγκατέλεξε στὶς οὐράνιες δυνάμεις, συμπληρώνοντας τὸ ἔλλειμμα κάθε οὐράνιου ἀριθμοῦ μὲ τὸν ἄνθρωπο ποὺ σώθηκε, εἶναι φανερὸ ὅπως ὁ Χριστὸς ὁ Θεὸς γέμισε τὸν ἄνω κόσμο πραγματώνοντας μὲ τὸν ἑαυτό του τὴ σωτηρία ὅλων.

## 92

### Ἄλλη ἑρμηνεία γιὰ τὸ ἴδιο.

Ἂν θέλεις ἂς προσεγγίσομε καὶ μ' ἄλλο τρόπο τὴν ἀπορία αὐτή. Λένε ὅσοι ἐξέτασαν λεπτομερῶς τὴ φύση τῶν ὄντων, ὅτι εἶναι νόμος τῆς κάθε φύσης ἡ ἀρρεπὴς καὶ ἀναλλοίωτη μονιμότητα τοῦ λόγου σύμφωνα μὲ τὸν ὁποῖο εἶναι κι ἔχει γίνει. Καὶ θὰ συμφωνήσει, νομίζω, ἀκούοντας ὅποιος διαθέτει λογική, ὅτι εἶναι ὀρθὸς ὁ ὁρισμὸς αὐτὸς τῆς φύσεως. Ἂν λοιπὸν εἶναι αὐτὸ ἀληθινό, εἶναι φανερὸ ὅτι ὁ νόμος τῆς φύσης ἐξανάγκης ὅπως φυλάει ἀπαράβατο τὸ λόγο τῆς φύσης, ἔτσι διατηρεῖ καὶ ἀμετα-

*πάντως διατηρεῖ τόπον ἀμετάθετον. Ἀλλ' ὁ νόμῳ καὶ λόγῳ καὶ φύσει σοφῶς διορίσας καθ' ἕκαστον εἶδος τὴν τῶν ὄντων ὑπόστασιν, ὑπὲρ φύσιν καὶ νόμον καὶ νοῦν καὶ λόγον και τόπον καὶ κίνησιν ὑπάρχων, κατ' οὐδὲν τῶν κατὰ φύσιν ἐνεργεῖ τοῖς ὑπὸ φύσιν, ἀλλ' ἑαυτῷ προσφυῶς ὑπὲρ φύσιν τὰ κατὰ φύσιν τῶν ὑπὸ φύσιν μετερχόμενος δρᾷ τε καὶ πάσχει, ἀμφοῖν φυλάττων ἑαυτῷ τε πάσχοντι καὶ τοῖς δρωμένοις παραδόξως κατὰ φύσιν ἀκραιφφνὲς τὸ ἀμετάβολον.*

*Οὕτω τε κάτω πρὸς ἡμᾶς αὐτὸς κινηθεὶς ἀληθῶς τῇ καθ' ἡμᾶς ἐκφάνσει ἄνθρωπος γέγονε τέλειος, μὴ κινηθεὶς ἑαυτοῦ τὸ παράπαν καὶ τῆς ἐν τόπῳ περιγραφῆς μηδαμῶς πεῖραν λαβών, καὶ ἡμᾶς ἐθέωσε τελείως, μηδὲν ἡμῶν τῆς φύσεως παντάπασι κατ' ἀλλοίωσιν ὑφελόμενος, ὅλον τε δοὺς ἀνελλιπῶς ἑαυτὸν καὶ ὅλον κατὰ τὴν ἄφραστον καὶ ἀλώβητον ἕνωσιν πλήρη τὸν ἄνθρωπον εἰληφὼς οὐδὲν τῆς κατ' ἕτερον ἐμείωσε τελειότητος, καὶ ἔστιν ἀληθῶς ὅλος Θεὸς ὁ αὐτός, καὶ ὅλος ἄνθρωπος ὁ αὐτός, τῇ κατ' ἄμφω τῶν ἐν οἷς ἀληθῶς ἐστι τελειότητι μαρτυρῶν ἑαυτῷ τὸ κατ' ἄμφω ἄτρεπτόν τε καὶ ἀναλλοίωτον. Οὕτω λύει τοὺς νόμους τῆς φύσεως, ὑπὲρ φύσιν ἐν τοῖς κατὰ φύσιν τῇ φύσει χρώμενος, ὁ Θεός.*

## ϞΓ'

***Ἄλλη θεωρία, εἰς τό· «Πληρωθῆναι δεῖ τὸν ἄνω κόσμον».***

***Εἰ τοίνυν ἀπαρχὴ τῆς καθ' ἡμᾶς φύσεως, ὡς ἄνθρωπος, ἐστὶν ὁ Χριστὸς πρὸς τὸν Θεὸν καὶ Πατέρα, καὶ οἷον ζύμη τοῦ ὅλου φυράματος, ἔστι δὲ πρὸς τὸν Θεὸν καὶ Πατέρα κατὰ τὴν ἐπίνοιαν τῆς ἀνθρωπότητος, ὡς Λόγος, μὴ ἀπιστήσωμεν ἔσεσθαι, κατὰ τὴν αὐτοῦ πρὸς τὸν Πατέρα αἴτησιν, ἔνθα αὐτός ἐστιν***

κίνητο ὁπωσδήποτε κατὰ τὴ θέση τὸν τόπο της. Ἀλλὰ αὐτὸς ποὺ μὲ νόμο καὶ λόγο καὶ φύση καθόρισε μὲ σοφία κατὰ καθένα εἶδος χωριστὰ τὴν ὑπόσταση τῶν ὄντων, ἐπειδὴ εἶναι πάνω ἀπὸ φύση καὶ νόμο καὶ νοῦ καὶ λόγο καὶ τόπο καὶ κίνηση, δὲν ἐνεργεῖ σύμφωνα μὲ τίποτε ἀπὸ τὰ φυσικὰ σὲ ὅσα ὑπόκεινται στὴ φύση, ἀλλὰ δρᾶ καὶ πάσχει ὑπερφυσικὰ κατάλληλα πρὸς τὸν ἑαυτό του τὶς φυσικὲς λειτουργίες ὅσων ὑπόκεινται στὴ φύση, διαφυλάττοντας παράδοξα καὶ γιὰ τὰ δύο, τόσο γιὰ τὸν ἑαυτό του ποὺ πάσχει ὅσο καὶ γι' αὐτὰ ποὺ ἐνεργεῖ, ἀκέραιη τὴν ἀμετάβλητη σταθερότητα τῆς φύσης τους.

Ἔτσι καὶ αὐτὸς ὁ ἴδιος, ἀφοῦ κινήθηκε κάτω πρὸς ἐμᾶς μὲ τὴ σύμφωνη μὲ τὴ δική μας ἐμφάνισή του, ἔγινε ἀληθινὰ τέλειος ἄνθρωπος, χωρὶς νὰ βγεῖ καθόλου ἀπὸ τὸν ἑαυτό του καὶ χωρὶς νὰ ὑποστεῖ καμμιὰ πείρα τῆς περιγραφῆς του σὲ τόπο, καὶ ἐμᾶς μᾶς θέωσε πλήρως, χωρὶς νὰ ἀφαιρέσει τίποτα ἀπὸ τὴ φύση μας ἀλλοιώνοντάς την, καὶ ἀφοῦ ἔδωσε ὅλο τὸν ἑαυτό του χωρὶς παράλειψη καὶ ἀφοῦ ἔλαβε ὅλο τὸν ἄνθρωπο πλήρη κατὰ τὴν ἄφραστη κι ἀλώβητη ἕνωση, δὲν τὴν μείωσε σὲ τίποτε ὡς πρὸς τὴν τελειότητά του. Καὶ εἶναι ἀληθινὰ Θεὸς ὅλος ὁ ἴδιος κι ἄνθρωπος ὅλος ὁ ἴδιος, μαρτυρώντας στὸν ἑαυτό του μὲ τὴν τελειότητα τὴ διπλὴ αὐτῶν τῶν ὁποίων ὑπάρχει ἀληθινά, τοῦ Θεοῦ δηλαδὴ καὶ τοῦ ἀνθρώπου, τὸ ἄτρεπτο καὶ ἀμετάβλητο καὶ στὰ δύο. Ἔτσι διαλύει τοὺς νόμους τῆς φύσης, χρησιμοποιώντας τὴ φύση ὑπὲρ φύση μέσα στὰ σύμφωνα μὲ τὴ φύση αὐτὸς ποὺ εἶναι ὁ Θεός.

## 93

**Ἄλλη ἑρμηνεία τοῦ χωρίου, «πρέπει νὰ γεμίσει ὁ ἄνω κόσμος».**

**Ἂν λοιπὸν ὁ Χριστὸς σὰν ἄνθρωπος εἶναι ἀπαρχὴ τῆς φύσης μας πρὸς τὸ Θεὸ καὶ Πατέρα καὶ κατὰ κάποιο τρόπο τὸ προζύμι ὅλης τῆς ζύμης, καὶ εἶναι κοντὰ στὸν Θεὸ καὶ Πατέρα κατὰ τὴν ἀντίληψη τῆς ἀνθρωπότητας αὐτὸς ποὺ δὲν ἀπομακρύνθηκε ποτὲ ἀπὸ τὴ μονιμότητά του μέσα στὸν Πατέρα ὡς**

*ἡ ἀπαρχὴ τοῦ ἡμετέρου γένους. Ὡς γὰρ γέγονε κάτω δι᾽ ἡμᾶς ἀναλλοιώτως καὶ ἄνθρωπος καθ᾽ ἡμᾶς χωρὶς μόνης ἁμαρτίας, λύσας ὑπερφυῶς τοὺς νόμους τῆς φύσεως, οὕτω καὶ ἡμεῖς κατὰ τὸ ἀκόλουθον ἄνω δι᾽ αὐτὸν γενησόμεθα, καὶ θεοὶ κατ᾽ αὐτὸν τῷ τῆς χάριτος μυστηρίῳ, μηδὲν τὸ παράπαν ἀλλοιοῦντες τῆς φύσεως. Καὶ οὕτω πληροῦται πάλιν κατὰ τὸν σοφὸν διδάσκαλον ὁ ἄνω κόσμος, πρὸς τὴν κεφαλὴν τῶν μελῶν τοῦ σώματος κατ᾽ ἀξίαν συναγομένων, ἑκάστου δηλονότι μέλους τῇ κατ᾽ ἀρετὴν ἐγγύτητι τὴν πρέπουσαν αὐτῷ θέσιν διὰ τῆς ἀρχιτεκτονίας τοῦ Πνεύματος ἐναρμονίως λαμβάνοντος καὶ συμπληροῦντος τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου τὸ σῶμα τὸ πάντα πληροῦν καὶ ἐκ πάντων πληρούμενον.*

*Εἴτε οὖν, ὡς εἴρηται, κατὰ τὴν πνευματικὴν ἀναγέννησιν τῶν κατὰ Χριστὸν γεννωμένων, εἴτε κατὰ τὴν ἐν Χριστῷ καὶ διὰ Χριστοῦ γεγενημένην τῶν τοῖς οὐρανοῖς μυστικῶν ἀριθμῶν ἀναπλήρωσιν, τῆς τε θείας φημὶ τῶν λογικῶν προβάτων ἑκατοντάδος, καὶ τῆς τῶν νοερῶν δραχμῶν μυστικῆς δεκάδος, καὶ τῆς τῶν υἱῶν τιμίας δυάδος, εἴτε κατὰ τὴν τῶν μελῶν τοῦ σώματος πρὸς τὴν οἰκείαν κεφαλὴν καὶ πρὸς τὴν ἰδίαν ἀπαρχὴν τοῦ φυράματος ἐπισυναγωγήν, ὁ ἄνω κόσμος πληρωθήσεται πάντως κατὰ τὸν διδάσκαλον, πληρωθεὶς μὲν ἤδη ἐν Χριστῷ, πληρωθησόμενος δὲ ἐν τοῖς κατὰ Χριστὸν αὖθις ὕστερον, ἡνίκα σύμφυτοι γενήσονται καὶ τῆς ἀναστάσεως αὐτοῦ οἵ γε τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ διὰ τῶν αὐτῶν παθημάτων ἤδη γεγονότες.*

## *ϞΔ'*

### *Ἐκ τοῦ λόγου, εἰς τό· «Παιδίον ἐγεννήθη ἡμῖν Υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· τῷ γὰρ σταυρῷ συνεπαίρεται».*

***Ὅλως διὰ τοῦ λόγου τῷ πρώτῳ λόγῳ προσθέμενος κατὰ λόγον τὸν περὶ τοῦ Λόγου λόγον ὃν ὁ μέγας προφήτης Ἠσαΐας***

91. **ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ**, Λόγος ΛΗ' *Εἰς τὰ Θεοφάνια*, κ. 2, ΕΠΕ Ἅπαντα Γρηγ. Θεολόγου τ. 5, σ. 38.

Λόγος, ἂς μὴν ἀπιστήσομε ὅτι θὰ εἴμαστε, σύμφωνα μὲ τὴν αἴτησή του πρὸς τὸν Πατέρα του, ὅπου εἶναι αὐτός, ἡ ἀπαρχὴ τοῦ γένους μας. Ὅπως δηλαδὴ ἦρθε χωρὶς μεταβολὴ κάτω γιὰ χάρη μας κι ἔγινε ἄνθρωπος σὰν κι ἐμᾶς χωρὶς τὴν ἁμαρτία μόνο, καταργώντας ὑπερφυσικὰ τοὺς νόμους τῆς φύσης, ἔτσι κι ἐμεῖς κατ' ἀκολουθία χάρη σ' αὐτὸν θ' ἀνεβοῦμε ἐπάνω καὶ θὰ γίνομε θεοὶ ὅμοιοι μ' αὐτὸν μὲ τὸ μυστήριο τῆς χάριτος χωρὶς καμμιὰ μεταβολὴ τῆς φύσης μας. Κι ἔτσι γεμίζει πάλι ὁ ἄνω κόσμος, σύμφωνα μὲ τὸ σοφὸ δάσκαλο, μὲ τὴ συναγωγὴ ἀνάλογα μὲ τὴν ἀξία τους τῶν μελῶν τοῦ σώματος πρὸς τὴν κεφαλή. Κάθε μέλος δηλαδὴ χάρη στὴν ἐγγύτητα τῆς ἀρετῆς θὰ λάβει τὴ θέση ποὺ τοῦ πρέπει μὲ τὴν ἁρμονικὴ ἀρχιτεκτονικὴ τοῦ Πνεύματος καὶ θὰ συμπληρώσει τὸ σῶμα ποὺ ὅλο γεμίζει καὶ ὅλα τοῦ γεμίζουν ἐκείνου ποὺ γεμίζει τὰ πάντα μὲ τὰ πάντα.

Εἴτε λοιπόν, ὅπως εἶπα, κατὰ τὴν πνευματικὴ ἀναγέννηση ὅσων γεννιοῦνται κατὰ Χριστό, εἴτε κατὰ τὴν ἀναπλήρωση κατὰ Χριστὸν τῶν μυστικῶν ἀριθμῶν στοὺς οὐρανοὺς χάρη στὸ Χριστό, ἐννοῶ καὶ τὴ θεία ἑκατοντάδα τῶν λογικῶν προβάτων καὶ τὴ μυστικὴ δεκάδα τῶν νοερῶν δραχμῶν καὶ τὴν πολύτιμη δυάδα τῶν υἱῶν, εἴτε κατὰ τὴ συναγωγὴ τῶν μελῶν τοῦ σώματος πρὸς τὴν κεφαλή τους καὶ στὴν ἴδια τὴν ἀπαρχὴ τῆς ζύμης, ὁ ἄνω κόσμος θὰ πληρωθεῖ ὁπωσδήποτε κατὰ τὸ δάσκαλο· ἔχει βέβαια ἤδη πληρωθεῖ μὲ τὴ χάρη τοῦ Χριστοῦ καὶ θὰ γεμίσει ἔπειτα πάλι μὲ ὅσους συμφωνοῦν μὲ τὸ Χριστό, ὅταν θὰ γίνουν σύμφυτοι μὲ τὴν ἀνάστασή του αὐτοὶ ποὺ ἔγιναν ἤδη σύμφυτοι μὲ τὸ ὁμοίωμα τοῦ θανάτου του μέσω τῶν παθημάτων τους.

## 94

**Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Γεννήθηκε γιὰ μᾶς παιδί, καὶ μᾶς δόθηκε ὡς υἱός, ποὺ ἡ ἀρχή του θεμελιώθηκε πάνω στὸν ὦμο του· γιατὶ συνανυψώνεται μὲ τὸ σταυρό»[91].**

Προσθέτοντας μὲ τὸ λόγο του στὸν πρῶτο λόγο τελείως σύμφωνα μὲ τὸ λόγο του περὶ τοῦ Λόγου λόγο ποὺ ὁ μέγας προ-

*ποιεῖται περὶ τοῦ σαρκωθέντος Λόγου, μυστικῶς φήσας, «οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ», συνοπτικῶς, ὡς ἔθος αὐτῷ ἐστι, τίνα τὴν ἀρχὴν ταύτην δεῖν οἴεσθαι θέμις διετράνωσεν ὁ μέγας οὗτος διδάσκαλος, εἰπών· «τῷ γὰρ σταυρῷ συνεπαίρεται». Ἀλλ' ἐπειδὴ πολλὰς ὁ σταυρὸς ταῖς περὶ αὐτὸν ἐπινοίαις ἐπιδέχεται θεωρίας, ἄξιόν ἐστι ζητῆσαι κατὰ ποίαν ἐπίνοιαν τὸν σταυρὸν ἐπὶ τοῦ παρόντος ἀρχὴν ὁ διδάσκαλος εἶπε. Θεωρεῖται γὰρ ὁ σταυρὸς κατὰ σχῆμα, κατὰ σύνθεσιν, κατὰ τὴν τῶν μερῶν ἰδιότητα, καὶ κατ' ἐνέργειαν καὶ κατ' ἄλλας πολλὰς ἐπινοίας, αἱ τοῖς τῶν θείων φιλοθεάμοσίν εἰσιν ὁραταί.*

*Κατὰ σχῆμα μέν, ὡς ὅταν τὴν τὰ ὅλα, τά τε ἄνω καὶ τὰ κάτω ἐφ' ἑκάτερα, τοῖς καθ' αὐτὰ πέρασι διαλαμβάνουσαν ὁ σταυρὸς θεωρούμενος, ὑποσημαίνῃ δύναμιν· κατὰ σύνθεσιν δέ, ὡς ὅταν οὐσίαν καὶ πρόνοιαν καὶ κρίσιν, ἤγουν τὰς τούτων ἐκφάνσεις, σοφίαν φημὶ καὶ γνῶσιν καὶ ἀρετὴν τῆς τὸ πᾶν διεπούσης ἐμφαίνῃ δυνάμεως, τὴν μὲν οὐσίαν καὶ τὴν σοφίαν ὡς ποιητικὴν διὰ τῆς ὑψιτενοῦς γραμμῆς, τὴν δὲ πρόνοιαν καὶ τὴν γνῶσιν ὡς περιποιητικὴν διὰ τῆς ἐγκαρσίας, τὴν δὲ κρίσιν καὶ τὴν ἀρετὴν ὡς κακίας ἀναιρετικήν, καὶ τῆς τῶν πεποιημένων καὶ περιπεποιημένων πρὸς τὴν ἰδίαν ἀρχὴν καὶ αἰτίαν συνδετικὴν διὰ τοῦ ὅλου· κατὰ δὲ τὴν τῶν μερῶν ἰδιότητα, ὅταν διὰ μὲν τῆς ὑψιτενοῦς γραμμῆς τὸν ἀεὶ ὡσαύτως ἔχοντα καὶ τῆς οἰκείας μονιμότητος οὐδαμῶς ἐξιστάμενον διὰ τὴν σταθηρὰν καὶ ἀμετακίνητον ἵδρυσιν Θεὸν ὁ σταυρὸς δηλοῖ, διὰ δὲ τῆς ἐγκαρσίας τὴν ἅπασαν κτίσιν Θεοῦ παντελῶς ἠρτημένην ὑποφαίνῃ, ἄλλας ἀρχὰς τοῦ εἶναι Θεοῦ χωρὶς ἢ βάσιν οὐκ ἔχουσαν· κατ' ἐνέργειαν δέ, ὅταν τῶν ὑπ' αὐτῷ πηγνυμένων τὴν ἀπραξίαν δηλοῖ καὶ τὴν νέρκωσιν, καθ' ὅντινα τρόπον θεωρίας νῦν, ὡς οἶμαι, τὸν προφητικὸν ὁ διδάσκαλος ἐξείληφε λόγον.*

*Ὥσπερ οὖν ἑκάστης ἀρχῆς (καλὸν γὰρ τοῖς καθ' ἡμᾶς παραδείγμασι τῶν ὑπὲρ ἡμᾶς πραγμάτων ἐνδείξασθαι τὴν ἀλή-*

---

92. Ἠσ. 9,6.

φήτης Ἠσαΐας κάνει γιὰ τὸ Λόγο ποὺ ἔλαβε σάρκα, λέγοντας μυστικὰ «ποὺ ἡ ἀρχή του εἶναι ἐπάνω στὸν ὦμο του»[92], ἔκανε σαφὲς συνοπτικά, ὁ μέγας αὐτὸς δάσκαλος, ὅπως συνηθίζει, πῶς πρέπει νὰ θεωροῦμε αὐτὴ τὴν ἀρχή, λέγοντας «γιατὶ συναννυψώνεται μὲ τὸ σταυρό». Ἐπειδὴ ὅμως ὁ σταυρὸς ἐπιδέχεται πολλὲς νοηματικὲς ἐξηγήσεις, ἀξίζει νὰ ἐρευνήσομε μὲ ποιά ἔννοια ὁ δάσκαλος ὀνόμασε στὸ παρὸν τὸ σταυρὸ ἀρχή. Ὁ σταυρὸς δηλαδὴ θεωρεῖται κατὰ τὸ σχῆμα, κατὰ τὴ σύνθεση, κατὰ τὴν ἰδιότητα τῶν μερῶν του, κατὰ τὴν ἐνέργεια, κι ἀπὸ πολλὲς ἄλλες ἀπόψεις, ποὺ εἶναι ὁρατὲς σὲ ὅσους ἀγαποῦν τὰ θεῖα θεάματα.

Κατὰ τὸ σχῆμα, ὅπως ὅταν θεωρούμενος ὁ σταυρὸς ὑποδηλώνει τὴ δύναμη ποὺ περιλαμβάνει τὰ πάντα, τὰ ἄνω καὶ κάτω ἀπὸ τὴν μιὰ καὶ τὴν ἄλλη μὲ τὰ πέρατά τους. Κατὰ τὴ σύνθεση, ὅπως ὅταν φενερώνει τὴν οὐσία, τὴν πρόνοια καὶ τὴν κρίση, δηλαδὴ τὶς ἐκδηλώσεις τους, τὴ σοφία καὶ τὴ γνώση καὶ τὴν ἀρετή, τῆς δύναμης ποὺ διέπει τὸ πᾶν· τὴν οὐσία καὶ τὴν σοφία ὡς ποιητικὴ μὲ τὴ γραμμὴ ποὺ τείνει πρὸς τὰ ἄνω, τὴν πρόνοια καὶ τὴ γνώση μὲ τὴν ἐγκάρσια ὡς διατηρητική, τὴν κρίση καὶ τὴν ἀρετὴ ὡς ἀναιρετικὴ τῆς κακίας καὶ ὡς συνδετικὴ μέσω τοῦ ὅλου μὲ τὴν ἀρχὴ καὶ αἰτία τους μέσω τοῦ ὅλου ὅσων ἔχουν γίνει κι ὅσων ἔχουν προκληθεῖ· κατὰ τὴν ἰδιαίτερη λειτουργία τῶν μερῶν, ὅταν μὲ τὴν γραμμὴ ποὺ τείνει πρὸς τὰ ἄνω ὁ σταυρὸς δηλώνει τὸ Θεὸ ποὺ εἶναι πάντοτε ὁ ἴδιος καὶ ποὺ δὲ βγαίνει καθόλου ἀπὸ τὴν μονιμότητά του ἐπειδὴ ἔχει σταθερὴ κι ἀμετακίνητη ἵδρυση, καὶ μὲ τὴν ἐγκάρσια ὑποδηλώνει τὴν παντελὴ ἐξάρτηση τῆς κτίσης ὅλης ἀπὸ τὸ Θεό, ποὺ δὲν ἔχει ἄλλες ἀρχὲς ἢ βάση τοῦ εἶναι της ἐκτὸς ἀπὸ τὸ Θεό· κατὰ τὴν ἐνέργεια, ὅταν δηλώνει τὴν ἀπραξία καὶ τὴ νέκρωση ἐκείνων ποὺ καρφώνονται σ' αὐτόν, σύμφωνα μὲ τὸν ὁποῖο τρόπο τῆς θεωρίας αὐτῆς, νομίζω, ὁ δάσκαλος ἐξήγησε τὸν προφητικὸ λόγο.

Ὅπως λοιπὸν κάθε ἐξουσίας (γιατὶ εἶναι καλὸ μὲ παραδείγματα ἀπὸ τὴ ζωή μας νὰ δείξομε τὴν ἀλήθεια τῶν πάνω ἀπὸ

*θειαν) εἰσὶ σήμαντρά τινα δι᾿ ὧν οἱ λαμβάνοντες ἔκδηλοι πᾶσι γίνονται ὅτι ὁ μὲν τήνδε ἀρχὴν παρὰ τοῦ βασιλέως εἴληφεν, οἷον ὁ ἄρχων τοὺς λεγομένους κωδικίλλους, ὁ δὲ διὰ τοῦ ξίφους τὴν λεγομένην δοκιανήν, καὶ ἄλλος ἄλλην διά τινος ἑτέρου συνθήματος, καὶ παρὰ μὲν τοῦ βαασιλέως αὐτοὶ δέχονται καὶ φέρουσι τοῦτο ταῖς ἰδίαις χερσίν, ἐξελθόντες δὲ τοῖς οἰκείοις διδόασι τοῦτο κομίζειν, τοῦτον τὸν τρόπον καὶ ὁ Δεσπότης ἡμῶν Ἰησοῦς ὁ Χριστὸς κατὰ τὴν ἐπίνοιαν τῆς ἀνθρωπότητος τὰ σύμβολα τῆς ἰδίας ἀρχῆς τὸν αὐτοῦ σταυρὸν δεξάμενος ἐπὶ τῶν ὤμων ἐξῆλθεν ἔχων, πρῶτος αὐτὸς βαστάσας, ἔπειτα τοῦτον ἑτέρῳ δούς, διὰ τούτων ἐμφαίνων ὅτι δεῖ τὸν ἀρχὴν ἐγχειριζόμενον πρῶτον καθηγεῖσθαι τῶν δι᾿ αὐτῆς ἀγομένων καὶ ἀντέχεσθαι τῶν ὑπ᾿ αὐτῆς ὑπαγορευμένων (οὕτω γὰρ ἂν εὐπαράδεκτος ἐν ταῖς ὑποθήκαις γενήσεται), καὶ τότε προστάσσειν τοῖς ἐγχειρισθεῖσιν αὐτῷ τὴν ταυτότητα δρᾷν. Εἰ δὲ τὸ σήμαντρον τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀρχῆς ἐστιν ὁ σταυρός, ὃν ἐπὶ τῶν ὤμων φέρων ἐκόμισε, γνῶναι προσῆκε τί διὰ τούτων ἐμφῆναι βουλόμενος μυστικῶς οὕτω ταῦτα διέθηκέ τε καὶ ὑπέμεινεν. Φασὶν οἱ τῶν συμβόλων ἐπιστήμονες τὸν μὲν ὦμον πράξεως εἶναι τεκμήριον, τὸν δὲ σταυρὸν ἀπαθείας, οἷα νέκρωσιν ἐμποιοῦντα.*

*Διὰ τούτων οὖν τῶν αἰνιγμάτων ὁ Κύριος ἡμῶν καὶ Θεός, ἀμφότερα διεξελθὼν τῶν ὧν εἰσι τὰ αἰνίγματα (πράξεώς τέ φημι καὶ τελείας ἀπαθείας), ὥστε μὴ παραφθείρεσθαι διὰ κενοδοξίας τὴν πρᾶξιν, ἔδειξε δι᾿ ὧν αὐτὸς κατεπράξατο, τοῖς ὑπηκόοις, μονονουχὶ διαπρυσίως βοῶν ὅτι, «τοῦτο σύμβολον ὑπάρχει τῆς ἀρχῆς μου»· πᾶς οὖν ὅστις ἐξ ὑμῶν ἐπιθυμητικῶς ἔχει πρὸς ταύτην τὴν ἀρχήν, «ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι», τουτέστιν τὴν νεκρωτικὴν τῶν παθῶν πρᾶξιν, τὴν ἀγαθότητα καὶ τὸ τῆς ἀφθονίας καλόν, διὰ τούτων ἐμφαίνων ὅτι γλίχεται πάντας ὁμοίως ἑαυτῷ ταύτην μετα-*

---

93. Ματθ. 16,24.

μᾶς πραγματικοτήτων) ὑπάρχουν κάποια διακριτικά, μὲ τὰ ὁποῖα ὅσοι τὴν παίρνουν γίνονται γνωστοὶ σ' ὅλους, ὅτι ὁ τάδε πῆρε αὐτὴν τὴν ἐξουσία ἀπὸ τὸ βασιλιά, ὅπως ὁ ἄρχοντας ἔχει τοὺς λεγόμενους κωδικίλλους, κι ὅποιος ἔλαβε τὴ δουκιανὴ ἔχει τὸ ξίφος, κι ὁ ἄλλος τὴν δική του ἐξουσία μὲ κάποιο ἄλλο διακριτικό, κι αὐτὸ τὸ παίρνουν ἀπὸ τὸ βασιλιὰ καὶ τὸ κρατοῦν μὲ τὰ ἴδια τους τὰ χέρια κι ὅταν βγαίνουν τὸ δίνουν στοὺς δικούς τους νὰ τὸ κρατοῦν, κατὰ τὸν ἴδιο τρόπο κι ὁ Κύριός μας Ἰησοῦς Χριστός· κατὰ τὴν γνώμη τῆς ἀνθρωπότητας, ἀφοῦ δέχθηκε τὰ σύμβολα τῆς ἐξουσίας του, βγῆκε κρατώντας στοὺς ὤμους του τὸ σταυρό του, ποὺ πρῶτος αὐτὸς σήκωσε κι ἔπειτα τὸν ἔδωσε σὲ ἄλλον, θέλοντας νὰ σημάνει μ' αὐτὸ ὅτι ὅποιος ἀναλαμβάνει μιὰ ἐξουσία πρέπει νὰ βαδίζει πρῶτος μπροστὰ ἀπὸ ἐκείνους ποὺ κυβερνᾶ καὶ νὰ φυλάει τὶς ὑπαγορεύσεις της (γιατὶ ἔτσι θὰ γίνουν ἀποδεκτὲς καὶ οἱ δικές του διαταγὲς) καὶ τότε νὰ προστάζει αὐτοὺς ποὺ τοῦ ἐμπιστεύτηκαν νὰ κάνουν τὸ ἴδιο. Κι ἂν τὸ διακριτικὸ τῆς ἐξουσίας τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ εἶναι ὁ σταυρὸς ποὺ μετέφερε σηκώνοντάς τον στὸν ὦμο, ἔπρεπε νὰ μάθομε τί ἤθελε νὰ φανερώσει μ' αὐτὸ τὸ μυστικὸ τρόπο καὶ διευθέτησε αὐτὰ μὲ τέτοιο τρόπο καὶ τὰ ὑπέφερε. Λένε λοιπὸν ὅσοι ἔχουν γνώσεις γιὰ τὰ σύμβολα, ὅτι ὁ ὦμος εἶναι τεκμήριο τῆς πράξης, κι ὁ σταυρὸς τῆς ἀπάθειας, ἐπειδὴ προκαλεῖ νέκρωση.

Μὲ αὐτὰ λοιπὸν τὰ αἰνίγματα ὁ Κύριος καὶ Θεός μας διεξῆλθε καὶ τὰ δύο ποὺ ὑπαινίσσονται τὰ αἰνίγματα (ἐννοῶ τὴν πράξη καὶ τὴν τέλεια ἀπάθεια), ὥστε νὰ μὴν παραφθείρει ἡ κενοδοξία τὴν πράξη, καὶ ἔδειξε στοὺς ὑπηκόους του μὲ ὅσα ἔπραξε ὁ ἴδιος βροντοφωνώντας κατὰ κάποιο τρόπο ὅτι 'Αὐτὸ εἶναι τὸ σύμβολο τῆς ἐξουσίας μου'. Ὅποιος λοιπὸν ἔχει τὴν ἐπιθυμία αὐτῆς τῆς ἐξουσίας, «ἂς ἀπαρνηθεῖ τὸν ἑαυτό του, ἂς σηκώσει τὸ σταυρό του, κι ἂς μὲ ἀκολουθήσει»[93], δηλαδὴ ἂς ἀναλάβει τὴν πράξη ποὺ νεκρώνει τὸ πάθος, τὴν ἀγαθότητα καὶ τὴν καρδιὰ ποὺ δὲ γνωρίζει τὸ φθόνο, φανερώνοντας μ' αὐτὰ ὅτι ἐπιθυμεῖ νὰ ἀσκοῦν αὐτὴν τὴν ἐξουσία ὅλοι ὅμοια μ' αὐτόν.

*χειρίζεσθαι τὴν ἀρχήν. Τὸ γὰρ εἰπεῖν τὸν θεοφόρον διδάσκαλον ὅτι «τῷ σταυρῷ συνεπαίρεται», οἶμαι διὰ τούτων ἔμφασιν ἡμῖν τοιάνδε παρέχειν, ὅτι τῆς λογικῆς φύσεως τῶν ἀνθρώπων διὰ πράξεως καὶ τῆς αὐτῇ συνεζευγμένης ἀπαθείας ὑψουμένης αὐτὸς ὁ Χριστὸς δηλονότι συνυψοῦσθαι λέγεται, τουτέστιν ἡ ἐν ἀνθρώποις Χριστοειδὴς κατάστασις, καθ' εἱρμὸν καὶ τάξιν ὑψουμένη, διὰ πράξεως ἀπαθοῦς εἰς θεωρίαν τῆς φύσεως γνωστικὴν καὶ ἀπὸ ταύτης εἰς θεολογικὴν μυσταγωγίαν κινουμένη.*

*Ὅπερ μάλιστά μοι φαίνεται δηλῶν ὁ ἅγιος Ἀρεοπαγίτης μέγας Διονύσιος ἐν οἷς φησιν· «Ἀλλ' ἐπείπερ εὐταξίας ἐστὶ ἀρχὴ τὸ Θεῖον ἱερᾶς, καθ' ἣν ἑαυτῶν ἐπιγνώμονες οἱ ἱεροὶ γίνονται νόες, ὁ πρὸς τὸ οἰκεῖον τῆς φύσεως ὁρατὸν ἀνατρέχων ἐν ἀρχῇ μὲν ὅστις ποτέ ἐστιν αὐτὸς ὄψεται, καὶ λήψεται πρῶτον ἐκ τῆς πρὸς τὸ φῶς ἀνανεύσεως ἱερὸν δῶρον· ὁ δὲ τὰ οἰκεῖα καλῶς ἀπροσπαθέσιν ὀφθαλμοῖς ἐπισκοπήσας, τῶν ἀλαμπῶν μὲν ἀποφοιτήσει τῆς ἀγνοίας μυχῶν, τῆς δὲ Θεοῦ τελεωτάτης ἐλλάμψεως καὶ μεθέξεως ἀτελὴς ὢν αὐτὸς οὐκ αὐτόθεν ἐπιθυμήσει, κατὰ βραχὺ δὲ διὰ τῶν αὐτοῦ πρώτων ἐπὶ τὰ ἔτι πρότερα, καὶ τελειωθεὶς ἐπὶ τὴν ἀκροτάτην θεαρχικὴν ἐν τάξει καὶ ἱερῶς ἀναχθήσεται κοινωνίαν».*

*Οὕτω μὲν οὖν συνεπαίρεται τῷ σταυρῷ κατὰ τὸν μέγαν καὶ θεόφρονα τοῦτον διδάσκαλον δι' ἡμῶν ἐν Πνεύματι κατ' αὐτὸν ὑψουμένων ὁ μόνον ὕψιστος, διὰ πράξεως καὶ τῆς αὐτῇ συνημμένης ἀπαθείας εἰς γνῶσιν ἐναγομένων, καὶ δι' ἐκείνης ἐν ἀΰλῳ τῷ νῷ πρὸς τὴν μυστικὴν ὑψουμένων τῶν θείων θεωρίαν τε καὶ μύησιν, προσθήσω δὲ θαρρῶν ὅτι καὶ μετουσίαν.*

## *ϞΕ'*

*Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Ὁ Λόγος παχύνεται».*

*Παχύνεσθαι ὁ Λόγος εἴρηται τῷ θεοφόρῳ διδασκάλῳ κατὰ*

---

94. ΔΙΟΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ, *Περὶ Ἐκκλ. Ἱεραρχίας*, κ. 2, Φιλοκαλία τ. 3, σ. 346ε.

95. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΛΗ' *Εἰς τὰ Θεοφάνια*, κ. 2, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 5, 38.

Γιατὶ λέγοντας ὁ θεοφόρος δάσκαλος, «Συνανυψώνεται μὲ τὸ σταυρό», νομίζω ὅτι μ' αὐτὰ μᾶς κάνει τὴν ἀκόλουθη νύξη ὅτι, ὅταν ὑψώνεται ἡ λογικὴ φύση τῶν ἀνθρώπων μὲ τὴν πράξη καὶ μὲ τὴ δεμένη μαζί της ἀπάθεια, λέγεται, εἶναι φανερό, ὅτι συνανυψώνεται ὁ ἴδιος ὁ Χριστός, δηλαδὴ ἡ Χριστοειδὴς κατάσταση τῶν ἀνθρώπων, ἀνεβαίνοντας μὲ σειρὰ καὶ τάξη μέσω τῆς ἀπαθοῦς πράξης σὲ θεωρία ποὺ γνωρίζει τὴ φύση κι ἀπὸ αὐτὴ προχωρώντας φθάνει σὲ θεολογικὴ μυσταγωγία.

Αὐτὸ μοῦ φαίνεται ὅτι δηλώνει ἀκριβῶς ὁ ἅγιος καὶ μέγας Διονύσιος ὁ Ἀρεοπαγίτης μ' αὐτὰ ποὺ λέει· «Ἀλλὰ ἐπειδὴ ἡ θεότητα εἶναι ἀρχὴ ἱερῆς εὐταξίας, ποὺ σύμφωνα μ' αὐτὴν οἱ ἱεροὶ νόες φτάνουν στὴ γνώση τοῦ ἑαυτοῦ τους, ὅποιος ἀνατρέχει πρὸς τὸ οἰκεῖο ορατὸ μέρος τῆς φύσης του στὴν ἀρχὴ θὰ δεῖ τί εἶναι αὐτὸς ὁ ἴδιος καὶ θὰ λάβει πρῶτα ἱερὸ δῶρο ἀπὸ τὴν ἀνάτασή του πρὸς τὸ φῶς. Κι ὅποιος ἐξέτασε τὴ δική του κατάσταση καλὰ μὲ μάτια ἀνεπηρέαστα ἀπὸ τὰ πάθη, μὲ τὴν ἀνάδυσή του ἀπὸ τοὺς σκοτεινοὺς βυθοὺς τῆς ἄγνοιας καὶ μὲ τὴν τελειότατη ἔλλαμψη καὶ μέθεξη τοῦ Θεοῦ, ἐπειδὴ εἶναι ἀτελής, δὲ θὰ τοῦ γεννηθεῖ μὲ μιᾶς ἡ ἐπιθυμία, ἀλλὰ λίγο–λίγο μὲ τὰ πρῶτα δικά του ἐπιτεύγματα στὰ πιὸ πρῶτα ἀκόμα, κι ὅταν τελειοποιηθεῖ θὰ ἀναχθεῖ ἱερόπρεπα καὶ εὔτακτα στὴν ἀκρότατη θεαρχικὴ κοινωνία[94]».

Ἔτσι λοιπὸν συνανυψώνεται μὲ τὸ σταυρό, σύμφωνα μὲ τὸ μεγάλο καὶ θεόφρονα αὐτὸν δάσκαλο, μέσω ἡμῶν ποὺ πνευματικὰ σύμφωνα μ' αὐτὸν ὑψωνόμαστε, ὁ μόνος ὕψιστος, καὶ ποὺ μὲ τὴν πράξη καὶ τὴ συνημμένη μαζί της ἀπάθεια ὁδηγούμαστε στὴ γνώση καὶ μέσω αὐτῆς μὲ ἄυλο νοῦ ὑψωνόμαστε στὴ μυστικὴ θεωρία καὶ μύηση τῶν θείων, καὶ θὰ προσθέσω μὲ θάρρος, καὶ στὴ μετουσία.

## 95

**Ἀπὸ τὸν ἴδιο λόγο στὸ λεγόμενο· «Ὁ Λόγος παχύνεται»[95].**

Τὸ «παχύνεται ὁ Λόγος», τὸ εἶπε ὁ θεοφόρος δάσκαλος μ'

*τήνδε, ὡς οἶμαι, τὴν ἔννοιαν, ἢ ὅτι Λόγος, ὢν ἁπλοῦς τε καὶ ἀσώματος, καὶ πάσας καθεξῆς πνευματικῶς τρέφων τὰς ἐν οὐρανῷ θείας δυνάμεις, κατηξίωσε καὶ διὰ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας ἐξ ἡμῶν δι' ἡμᾶς καθ' ἡμᾶς, ἁμαρτίας χωρίς, παχυνθῆναι, καὶ ἡμῖν προσφυῶς φωναῖς τε καὶ παραδείγμασι τὴν περὶ τῶν ἀπορρήτων καὶ παντὸς λόγου δύναμιν ὑπερβαίνουσαν ἐκθέσθαι διδασκαλίαν (διὰ παραβολῶν γὰρ εἴρηται πάντα λελαληκέκέναι, καὶ χρὶς παραβολῆς μηδὲν διεξιέναι· φίλον γὰρ οὕτω τοῖς διδασκάλοις χρῆσθαι, ἐπὰν οἱ ἀκροαταὶ μὴ παρακολουθῶσι τοῖς πρωτοτύπως λεγομένοις, καὶ εἰς συναίσθησιν αὐτοὺς ἄγειν τῶν λεγομένων)· ἢ ὅτι τοῖς τῶν ὄντων ἑαυτὸν δι' ἡμᾶς ἀπορρήτως ἐγκρύψας λόγοις ἀναλόγως δι' ἑκάστου τῶν ὁρωμένων ὡς διά τινων γραμμάτων ὑποσημαίνεται, ὅλος ἐν ὅλοις ἅμα πληρέστατος, καὶ τὸ καθ' ἕκαστον ὁλόκληρος, ὅλος καὶ ἀνελάττωτος, ἐν τοῖς διαφόροις ὁ ἀδιάφορος καὶ ὡσαύτως ἀεὶ ἔχων, ἐν τοῖς συνθέτοις ὁ ἁπλοῦς καὶ ἀσύνθετος, καὶ ἐν τοῖς ὑπὸ ἀρχὴν ὁ ἄναρχος, καὶ ὁ ἀόρατος ἐν τοῖς ὁρωμένοις, καὶ ἐν τοῖς ἁπτοῖς ὁ ἀναφής· ἢ ὅτι δι' ἡμᾶς, τοὺς παχεῖς τὴν διάνοιαν, σωματωθῆναί τε δι' ἡμᾶς καὶ γράμμασι καὶ συλλαβαῖς καὶ φωναῖς τυπωθῆναι κατεδέξατο, ἵνα ἐκ πάντων τούτων ἡμᾶς ἑπομένους αὐτῷ κατὰ βραχὺ πρὸς ἑαυτὸν συναγάγῃ, ἑνοποιηθέντας τῷ Πνεύματι, καὶ εἰς τὴν ἁπλῆν περὶ αὐτοῦ καὶ ἄσχετον ἔννοιαν ἀναγάγοι, τοσοῦτον ἡμᾶς δι' ἑαυτὸν πρὸς ἕνωσιν ἑαυτοῦ συστείλας, ὅσον αὐτὸς δι' ἡμᾶς ἑαυτὸν συγκαταβάσεως λόγῳ διέστειλεν.*

## *ϞϚ'*

### *Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Οὐκ ἐκ τῶν κατ' αὐτόν, ἀλλ' ἐκ τῶν περὶ αὐτόν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα».*

*Ἐκ τῶν κατὰ τὴ οὐσίαν, τουτέστι ἐκ τῆς οὐσίας αὐτῆς, ὁ Θεὸς οὐδέποτέ τι ὑπάρχων γινώσκεται. Ἀμήχανος γὰρ καὶ παν-*

96. ῾Οπ. π., κ. 7, σ. 44–46.

αὐτὴ τὴν ἔννοια νομίζω· ἢ ὅτι ὁ Λόγος, ἐνῶ εἶναι ἁπλὸς καὶ ἀσώματος καὶ τρέφει πνευματικὰ ὅλες στὴ σειρὰ τὶς θεῖες δυνάμεις στὸν οὐρανό, ἔκρινε ὅτι ἄξιζε μὲ τὴν ἔνσαρκη παρουσία του ποὺ πῆρε ἀπὸ μᾶς γιὰ χάρη μας καὶ σύμφωνα μ' ἐμᾶς, ἀλλὰ χωρὶς ἁμαρτία, νὰ παχυνθεῖ καὶ κατάλληλα γιὰ μᾶς μὲ φωνὲς καὶ παραδείγματα νὰ μᾶς ἐκθέσει τὴ διδασκαλία γιὰ τὰ ἀπόρρητα, ποὺ ὑπερβαίνει τὴ δύναμη κάθε λόγου (γιατὶ μᾶς παραδόθηκε ὅτι γιὰ ὅλα μίλησε μὲ παραβολὲς καὶ χωρὶς παραβολὴ δὲν διηγήθηκε τίποτε[96]. Οἱ δάσκαλοι συνηθίζουν νὰ ἐκφράζονται ἔτσι, ὅταν οἱ ἀκροατὲς δὲν παρακολουθοῦν αὐτὰ ποὺ λέγονται εὐθέως χωρὶς μεταφορές, καὶ νὰ τοὺς κάνουν νὰ κατανοοῦν ὅσα λέγονται). Ἢ ὅτι, ἐπειδὴ ἔκρυψε τὸν ἑαυτό του μὲ τρόπο ἀπόρρητο γιὰ μᾶς μέσα στοὺς λόγους τῶν ὄντων, τὸν ὑποδηλώνει ἀνάλογα μὲ καθένα ἀπὸ τὰ φαινόμενα σὰ νὰ εἶναι γράμματα. Ὑποδηλώνεται ὅλος μέσα σὲ ὅλα καὶ συνάμα πληρέστατος καὶ ὁλόκληρος σὲ καθένα, ἀκέραιος καὶ ἀμείωτος, μέσα στὰ διάφορα ὁ ἀδιάφορος καὶ πάντοτε ἴδιος, ὁ ἁπλὸς καὶ ἀσύνθετος μέσα στὰ σύνθετα, ὁ ἄναρχος μέσα σ' ἐκεῖνα ποὺ ἔχουν ἀρχή, καὶ ὁ ἀόρατος μέσα στὰ ὁρατά, καὶ μέσα στὰ ἁπτὰ αὐτὸς ποὺ δὲν ἀγγίζεται. Ἢ ὅτι γιὰ χάρη δική μας, ποὺ ἔχομε χοντροειδὴ νοῦ, δέχθηκε νὰ σωματωθεῖ καὶ νὰ τυπωθεῖ μὲ γράμματα καὶ συλλαβὲς καὶ φωνές, γιὰ νὰ μᾶς μαζέψει κοντὰ στὸν ἑαυτό του μὲ ὅλα αὐτὰ ἀκολουθώντας ἀπὸ κοντά, ἑνοποιημένος πνευματικά, καὶ νὰ μᾶς ἀνεβάσει στὴν ἁπλὴ καὶ ἔξω ἀπὸ ὅλα ἔννοια γι' αὐτόν, συστέλλοντάς μας τόσο μὲ σκοπὸ νὰ ἑνωθοῦμε μ' αὐτόν, ὅσο ὁ ἴδιος γιὰ χάρη μας διέστειλε τὸν ἑαυτό του ἐξαιτίας τῆς συγκατάβασής του.

## 96

**Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Ὄχι ἀπὸ αὐτὰ ποὺ ὁ ἴδιος ἔχει, ἀλλὰ ἀπὸ τὰ γύρω ἀπὸ αὐτά, μὲ τὸ νὰ συλλέγεται ἄλλη φαντασία ἀπὸ κάποιο ἄλλο σὲ μιὰ εἰκόνα τῆς ἀλήθειας».**

Ἀπὸ ὅσα ἀνάγονται στὴν οὐσία, δηλαδὴ ἀπὸ τὴν ἴδια τὴν οὐσία, οὐδέποτε γνωρίζομε τί εἶναι ὁ Θεός. Γιατὶ εἶναι ἀσύλλη-

*τελῶς ἄβατος πάσῃ τῇ κτίσει, ὁρατῇ τε καὶ ἀοράτῳ κατὰ τὸ ἴσον, ἡ περὶ τοῦ τί καθέστηκεν ἔννοια, ἀλλ' ἐκ τῶν περὶ τὴν οὐσίαν μόνον ὅτι ἔστι, καὶ ταῦτα καλῶς τε καὶ εὐσεβῶς θεωρουμένων, τοῖς ὁρῶσιν ὁ Θεὸς ἑαυτὸν ὑπενδίδωσι. Πάντα δὲ τὰ περὶ τὴν οὐσίαν οὐ τὸ τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστιν ὑποδηλοῖ, οἷον τὸ ἀγέννητον, τὸ ἄναρχον, τὸ ἄπειρον, τὸ ἀσώματον, καὶ ὅσα τοιαῦτα περὶ τὴν οὐσίαν εἰσί, καὶ τό τι μὴ εἶναι, οὐχ ὅτι δὲ τό τι εἶναι αὐτὴν παριστῶσιν· ἀλλὰ καὶ οἱ τῆς προνοίας καὶ τῆς κρίσεως λόγοι, καθ' οὓς τὸ πᾶν σοφῶς διεξάγεται, μεθ' ὧν καὶ ἡ ἐναρμόνιος τῆς φύσεως θεωρία περὶ Θεοῦ εἶναι λέγεται, τὸν δημιουργὸν ἑαυτῆς ὅτι ἔστι μόνον ἀναλόγως δεικνύουσα. Ἐναντίως οὖν ταῖς καταφάσεσι κειμένων τῶν ἀποφάσεων, ἐναλλὰξ ἀλλήλαις περὶ Θεὸν φιλικῶς συμπλέκονται καὶ ἀλλήλων ἀντιπαραλαμβάνονται· οἷον αἱ μὲν ἀποφάσεις τὸ μή τι εἶναι, ἀλλά τι μὴ εἶναι σημαίνουσαι τὸ Θεῖον, περὶ τό τι εἶναι τὸ τοῦτο μὴ ὄν, ἑνοῦνται ταῖς καταφάσεσιν, αἱ δὲ καταφάσεις τὸ μόνον ὅτι ἔστι, τί ποτε δὲ τοῦτό ἐστι μὴ δηλοῦσαι, περὶ τό τι εἶναι τὸ τοῦτο ὂν ἑνοῦνται ταῖς ἀποφάσεσι, πρὸς μὲν ἀλλήλας δεικνύουσαι τὴν ἐξ ἀντιθέσεως ἐναντιότητα, περὶ δὲ τὸν Θεὸν τῷ εἰς ἄλληλα τῶν ἄκρων κατὰ περίπτωσιν τρόπῳ τὴν οἰκειότητα.*

## ϞΖ'

*Ἐκ τοῦ αὐτοῦ λόγου· «Ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χεθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι ὡς πλέονα εἶναι τὰ εὐεργετούμενα».*

***Τὸν πολλάκις εἰρημένον ἐρωτήσας περὶ τούτου μέγαν καὶ σοφὸν γέροντα, δηλοῦν ἔφη διὰ τούτων τὸν μέγαν καὶ θεοφόρον***

πτη καὶ τελείως ἀπροσπέλαστη γιὰ ὅλη τὴν κτίση, τὴν ὁρατὴ ἐξίσου καὶ τὴν ἀόρατη, ἡ ἔνοια γιὰ τὸ τί εἶναι, ἀλλὰ ἀπὸ ὅσα εἶναι γύρω ἀπὸ τὴν οὐσία γνωρίζομε μόνο ὅτι ὑπάρχει καὶ μάλιστα ὅταν τὰ μελετοῦμε ὀρθὰ καὶ μ' εὐσέβεια, παραχωρεῖ ὁ Θεὸς τὸν ἑαυτό του σ' αὐτοὺς ποὺ τὰ παρατηροῦν. Καὶ ὅλα τὰ γύρω ἀπὸ τὴν οὐσία δὲν ὑποδηλώνουν τὸ τί εἶναι, ἀλλὰ τὸ τί δὲν εἶναι. Τέτοια εἶναι τὸ ἀγέννητο, τὸ ἄναρχο, τὸ ἄπειρο, τὸ ἀσώματο καὶ ὅσα παρόμοια ἀναφέρονται στὴν οὐσία καὶ παριστάνουν τὸ τί δὲν εἶναι αὐτὴ καὶ ὄχι τὸ τί αὐτὴ εἶναι. Ἀλλὰ καὶ οἱ λόγοι τῆς πρόνοιας καὶ τῆς κρίσης, σύμφωνα μὲ τοὺς ὁποίους τὸ σύμπαν κυβερνιέται σοφὰ καὶ μὲ τοὺς ὁποίους λέγεται πῶς συγκροτεῖται ἡ ἐναρμόνια θεωρία τῆς φύσης περὶ τοῦ Θεοῦ, δείχνουν ἀνάλογα μὲ τὸ κάθε εἶδος ὅτι ὁ δημιουργός της ἁπλῶς ὑπάρχει. Ἐπειδὴ λοιπὸν οἱ ἀρνήσεις μπαίνουν ἀντίθετα πρὸς τὶς καταφάσεις, συμπλέκονται φιλικὰ οἱ μὲν μὲ τὶς δὲ γύρω ἀπὸ τὸ Θεὸ καὶ λαμβάνονται αὐτὲς ἀντὶ ἐκεῖνες. Οἱ ἀρνήσεις δηλαδὴ ποὺ δὲ σημαίνουν ὅτι τὸ Θεῖο εἶναι κάτι, ἀλλὰ ὅτι δὲν εἶναι κάτι, ἑνώνονται μὲ τὶς καταφάσεις γύρω σ' αὐτὸ τὸ κάτι ποὺ τὸ Θεῖο δὲν εἶναι· καὶ οἱ καταφάσεις ποὺ δηλώνουν ὅτι τὸ Θεῖο μόνο ὑπάρχει καὶ ὄχι τί αὐτὸ εἶναι ἀκριβῶς, γύρω στὸ τί δὲν εἶναι αὐτὸ ποὺ ὑπάρχει ἑνώνονται μὲ τὶς ἀρνήσεις, δείχνοντας αὐτὲς σ' ἐκεῖνες τὴν ἀντίθεσή τους, ἐνῶ γύρω στὸ Θεὸ μὲ τὴν ἀμοιβαία ἀντιστροφὴ τῶν ἄκρων κατὰ περίπτωση δείχνουν τὴν οἰκειότητά τους.

## 97

Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Ἐπειδὴ ὅμως δὲν ἦταν ἀρκετὸ στὴν ἀγαθότητα μόνο αὐτὸ τὸ κινεῖσθαι μὲ τὴν ἴδια της τὴ θεωρία, ἀλλὰ ἔπρεπε τὸ ἀγαθὸ νὰ διαχυθεῖ καὶ νὰ προχωρήσει, ὥστε νὰ εἶναι αὐτὰ ποὺ εὐεργετοῦνται περισσότερα»[97].

Ὅταν ρώτησα γι' αὐτὸ τὸ μεγάλο καὶ σοφὸ γέροντα ποὺ ἀνέφερα πολλὲς φορές, μοῦ εἶπε ὅτι μ' αὐτὰ ὁ μέγας καὶ θεοφό-

97. Ὁπ. π., κ. 9, σ. 48.

*Γρηγόριον τὸ τὸν αὐτὸν Θεὸν ἐν ἑαυτῷ μόνον, οἷα δὴ ἕνα κυρίως ὄντα, μηδὲν ἑαυτῷ τὸ παράπαν συνεπινοούμενον ἔχοντα κατὰ τὴν φύσιν διάφορον, ἐν ἑαυτῷ τε μόνον ἔχοντα τὴν ἀπερινόητον ἄναρχόν τε καὶ ἄπειρον καὶ ἀκατάληπτον μονιμότητα, ἐξ ἧς κατὰ ἀπειρόδωρον χύσιν ἀγαθότητος τὰ ὄντα ἐκ τοῦ μὴ ὄντος παραγαγεῖν τε καὶ ὑποστήσασθαι, θελῆσαι καὶ ἑαυτὸν ἀναλόγως τοῖς ὅλοις καὶ τῷ καθ' ἕκαστον ἀχράντως μεταδοῦναι, τὴν πρὸς τὸ εἶναι καὶ διαμένειν ἑκάστῳ χαριζόμενον δύναμιν, κατὰ τὸν ἅγιον καὶ θεοείκελον μέγαν Διονύσιον τὸν Ἀρεοπαγίτην φάσκοντα, τὸ ἓν ὑμνητέον ἐπὶ Θεοῦ, τῷ πάντων ὑπεξαιρεῖσθαι, εἰς τὸ εἶναι ἀγαθότητι παραγαγόντα τήν τε τῶν νοητῶν πᾶσαν διακόσμησιν καὶ τὴν τῶν ὁρατῶν εὐπρέπειαν, ἀναλόγως ἑκάστῳ τῶν κτισμάτων κατά τινα λόγον ἀπόρρητον σοφίας ἀμειώτως ἐνυπάρχειν, καὶ μηδενὶ λόγῳ ἢ τρόπῳ τὸ σύνολον πάλιν κατέχεσθαι, τοῖς μὲν κατὰ περιττὴν ἀγαθόδωρον χύσιν, τοῖς δὲ μέσως, τοῖς δὲ τὸ κατά τι γοῦν ἐξεικονίζειν αὐτὸν δύνασθαι. Καὶ τοῦτο ἂν εἴη τυχόν, κατὰ τὴν ἐμὴν ἀφροσύνην, τὸ χεῖσθαι τὸ ἀγαθὸν καὶ ὁδεύειν, τὸ τὸν ἕνα Θεὸν ἀναλόγως πρὸς τὰ δεκτικὰ τῇ μεταδόσει τῶν ἀγαθῶν πληθύνεσθαι».*

## ϛΗ'

*Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Δευτέραν κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας παραδοξοτέραν».*

*Οὐκ ἦν θαυμαστόν, ὡς οἶμαι, τοσοῦτον, καίπερ ὂν τηλικοῦτον, τὸ κατὰ τὴν πρώτην πλάσιν καθαρὰν οὖσαν τὴν φύσιν τῶν ἀνθρώπων, ἅτε δὴ χειρὶ Θεοῦ τιμηθεῖσαν, πρὸς κοινωνίαν ἑαυτοῦ διὰ τῆς ἐμπνεύσεως ἀγαγεῖν τὸν Θεόν, τῷ ὁμοίῳ μεταδιδόντα τῆς κατ' εἰκόνα θείας ὡραιότητος, ὅσον τὸ ῥυπωθεῖσαν ταύ-*

98. ΔΙΟΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ, *Περὶ θείων ὀνομάτων*, κ. 2, Φιλοκαλία τ. 3, σ. 62ϐ.

ρος Γρηγόριος θέλει νὰ δηλώσει ὅτι ὁ ἴδιος Θεὸς εἶναι μόνος μέσα στὸν ἑαυτό του, ἐπειδὴ ἀκριβῶς εἶναι ἕνας κυριολεκτικά, καὶ ποὺ δὲν ἔχει τίποτε ἀπολύτως διαφορετικὸ στὴ φύση του ποὺ νὰ μπορεῖ νὰ τὸ σκεφθεῖ κανεὶς μαζί του καὶ πού περικλείει μέσα του μόνο τὴν ἀπερινόητη καὶ δίχως ἀρχὴ καὶ πέρας καὶ ἀκατανόητη μονιμότητα, ἀπὸ τὴν ὁποία κατὰ μία ἀπειρόδωρη διάχυση ἀγαθότητας θέλησε νὰ δημιουργήσει τὰ ὄντα ἀπὸ τὸ μὴ εἶναι καὶ νὰ τὰ δώσει ὑπόσταση, μεταδίδοντας ἄυλα ἀναλόγως σὲ ὅλα καὶ στὸν καθένα χαρίζοντας τὴ δύναμη νὰ ὑπάρχει καὶ νὰ διατηρεῖται. Σύμφωνα μὲ τὸν ἅγιο καὶ θεόμορφο, τὸ μεγάλο Διονύσιο τὸν Ἀρεοπαγίτη, «πρέπει νὰ ὑμνήσομε στὸ Θεὸ τὸ ἕνα, ἐπειδὴ εἶναι ἔξω ἀπὸ ὅλα, δημιουργώντας ἀπὸ ἀγαθότητα ὅλη τὴν εὐταξία τῶν νοητῶν καὶ τῶν ὁρατῶν τὴν εὐπρέπεια, πού ἐνυπάρχει ἀπαραμείωτα ἀνάλογα στὸ καθένα δημιούργημα σύμφωνα μ' ἕνα ἀπόρρητο λόγο σοφίας, καὶ πάλι δὲν κατέχεται μὲ κανένα ἀπολύτως λόγο ἢ τρόπο, σὲ ἄλλα μὲ περισσὴ διάχυση τῶν πλούσιων ἀγαθῶν του, σὲ ἄλλα μὲ μετρημένη, καὶ σ' ἄλλα σὲ βαθμὸ ποὺ μόλις νὰ μποροῦν νὰ τὸν ἐξεικονίζουν»[98]. Καὶ ἴσως αὐτὸ σημαίνει, κατὰ τὴν ἀνοησία μου, ὅτι τὸ ἀγαθὸ διαχύνεται καὶ πορεύεται, ὅτι ὁ ἕνας Θεὸς πληθαίνει μὲ τὴν ἀνάλογη μετάδοση τῶν ἀγαθῶν στὰ κατάλληλα νὰ τὰ δεχθοῦν.

## 98

Ἀπὸ τὸν ἴδιο λόγο στὸ λεγόμενο· «Γίνεται κοινωνὸς μιᾶς δεύτερης κατοικίας πολὺ πιὸ παράδοξης ἀπὸ τὴν πρώτη»[99].

Δὲν ἦταν νομίζω τόσο θαυμαστό, ἂν κι εἶναι τόσο μεγάλο, τὸ νὰ φέρει ὁ Θεὸς κατὰ τὴν πρώτη δημιουργία μὲ τὴν ἔμπνευσή του σὲ κοινωνία τοῦ ἑαυτοῦ του τὴ φύση τῶν ἀνθρώπων ποὺ ἦταν καθαρὴ ἐπειδὴ εἶχε τιμηθεῖ μὲ τὸ χέρι τοῦ Θεοῦ, μεταδίδοντάς της μὲ τὴν ὁμοιότητα τὴ θεία ὡραιότητα τῆς εἰκόνας, ὅσο

99. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΛΗ' *Εἰς τὰ Θεοφάνια*, κ. 13, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 5, σ. 60.

*την καὶ Θεοῦ δραπετεύσασαν, δι' ὧν ἀνεμάξατο παθῶν, ταύτῃ προσομιλῆσαι καταδέξασθαι, καὶ τοῦ χείρονος μετασχεῖν, καὶ τῷ πάντῃ τῶν πραγμάτων ἀμίκτῳ τῇ παραδόξῳ ἑνώσει προσεπιτεῖναι τὸ θαῦμα. Πρότερον μὲν γὰρ κατ' οὐδένα τρόπον ἢ λόγον οὐσίας ἢ ὑποστάσεως, τῶν ἐν οἷς τὰ ὄντα πάντα καθολικῶς θεωρεῖται, τὸ ἓν πρὸς τὸν Θεὸν ἡ φύσις εἰλήφει, νῦν δὲ τὸ καθ' ὑπόστασιν ἓν πρὸς αὐτὸν διὰ τῆς ἀφράστου ἑνώσεως ἔλαβε, τὸν οἰκεῖον δηλαδὴ κατὰ τὴν οὐσίαν ἀναλλοιώτως πρὸς τὴν θείαν οὐσίαν διάφορον διαφυλάττουσα λόγον, πρὸς ἣν ἔχει διὰ τῆς ἑνώσεως τὸ καθ' ὑπόστασιν ἓν καὶ διάφορον, ἵνα τῷ μὲν τοῦ εἶναι λόγῳ, καθ' ὃν γεγένηται καὶ ἔστι, διαμένοι τὸ ἑαυτῆς ὂν κυρίως ἔχουσα κατὰ πάντα τρόπον ἀμείωτον, τῷ δὲ τοῦ πως εἶναι λόγῳ τὸ ὑφεστάναι θεϊκῶς λαβοῦσα τῆς περί τι ἄλλο κινήσεως τὴν ῥοπὴν παντελῶς μήτε γινώσκῃ, μήτε προσίηται. Ταύτῃ γοῦν πολὺ τῆς προτέρας παραδοξοτέραν τὴν πρὸς τὴν φύσιν τῶν ἀνθρώπων ὁ λόγος ἐποιήσατο κοινωνίαν, αὐτὴν τὴν φύσιν οὐσιωδῶς ἑαυτῷ καθ' ὑπόστασιν ἑνώσας.*

## ΛΘ'

*Ἐκ τοῦ αὐτοῦ, εἰς τό· «Νυνὶ δέ μοι δέξαι τὴν κύησιν καὶ προσκίρτησον, καὶ εἰ μὴ ὡς Ἰωάννης ἀπὸ γαστρός, ἀλλ' ὡς Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ».*

*Ἰωάννης ὁ μέγας οὐ μόνον μετανοίας καὶ τῆς κατὰ τὴν πρακτικὴν φιλοσοφίαν ἀπαθείας καὶ γνωστικῆς θεωρίας ἐστὶν εἰκών, τῆς μὲν ὡς κῆρυξ καὶ βαπτιστής, τῆς δὲ ὡς ἐρημίτης καὶ τοῦ κόσμου πάντῃ κεχωρισμένος, τῆς δὲ ὡς Λευίτης καὶ ἱερεὺς καὶ Θεοῦ Λόγου πρόδρομος, ἀλλὰ καὶ τῆς ἐν τούτοις κατὰ τὴν ἕξιν ἀτρεψίας σύμβολον, ὡς ἀπὸ γαστρὸς καὶ μέχρι θανάτου τὸν ἐν τούτοις τῆς ψυχῆς τόνον ἀμείλικτον διατηρήσας. Ὁ δὲ Δαβὶδ*

1. Ὅπ. π., κ. 13, σ. 66.

τὸ ὅτι καταδέχθηκε νὰ τὴν πλησιάσει ὅταν αὐτὴ εἶχε καταρυπωθεῖ κι εἶχε ἀποδράσει ἀπὸ τὸ Θεὸ ἐξαιτίας τῶν παθῶν στὰ ὁποῖα εἶχε κυλισθεῖ, τὸ ὅτι ἔγινε κοινωνὸς τοῦ χειρότερου, καὶ ὅτι ἐπέτεινε τὸ θαυμαστὸ μὲ τὴν τελείως παράδοξη ἕνωση χωρὶς μείξη μὲ τὰ πράγματα. Πρῶτα δηλαδὴ μὲ κανένα τρόπο ἢ λόγο οὔτε οὐσίας οὔτε ὑπόστασης μέσα στοὺς ὁποίους θεωροῦμε ὅλα τὰ ὄντα στὸ σύνολό τους δὲν εἶχε λάβει ἡ φύση τὴν ἑνότητα μὲ τὸ Θεό, τώρα ὅμως ἔλαβε τὴν ὑποστατικὴ ἕνωση μαζί του μὲ τὴν ἀνείπωτη ἕνωση, διαφυλάγοντας δηλαδὴ τὸν οἰκεῖο λόγο τῆς οὐσίας ἀμετάβλητα διαφορετικὸ ἀπὸ τὴ θεία οὐσία, πρὸς τὴν ὁποία ἔχει μὲ τὴν ἕνωση τὴν ὑποστατικὴ ἑνότητα καὶ διαφορά, γιὰ νὰ παραμένει κατὰ τὸ λόγο τοῦ εἶναι σύμφωνα μὲ τὸν ὁποῖο ἔχει γίνει καὶ ὑπάρχει, ἔχοντας τὴν οὐσία της ἀμείωτη μὲ κάθε τρόπο, ἐνῶ κατὰ τὸ λόγο τῆς συγκεκριμένης ὕπαρξης, ἀφοῦ ἔλαβε τὴ θεϊκὴ ὑπόσταση νὰ μὴ γνωρίζει καθόλου οὔτε νὰ δέχεται τὴ ῥοπὴ τῆς κίνησης σὲ κάτι ἄλλο. Μ' αὐτὸν τὸν τρόπο ὁ Λόγος ἦρθε σὲ κοινωνία μὲ τὴ φύση τῶν ἀνθρώπων πολὺ πιὸ παράδοξα ἀπὸ τὴν πρώτη, ἑνώνοντας οὐσιαστικὰ μὲ τὸν ἑαυτό του κατὰ ὑπόσταση τὴν ἴδια τὴ φύση.

## 99

Ἀπὸ τὸν ἴδιο λόγο στὰ λεγόμενα· «Τώρα δμως δέξου τὴν κυοφορία μου καὶ σκίρτησε γι' αὐτήν, κι ἂν ὄχι ὅπως ὁ Ἰωάννης μέσα ἀπὸ τὰ σπλάχνα, ἂς εἶναι ὅπως ὁ Δαβὶδ κατὰ τὸ σταμάτημα τῆς κιβωτοῦ»[1].

Ὁ μεγάλος Ἰωάννης δὲν εἶναι μόνο ἡ εἰκόνα τῆς μετάνοιας καὶ τῆς ἀπάθειας τῆς πρακτικῆς φιλοσοφίας καὶ γνωστικῆς θεωρίας, τῆς πρώτης ὡς κήρυκας καὶ βαπτιστής, τῆς ἄλλης ὡς ἐρημίτης, χωρισμένος τελείως ἀπὸ τὸν κόσμο, καὶ τῆς τρίτης ὡς λευΐτης καὶ ἱερέας καὶ πρόδρομος τοῦ Θεοῦ Λόγου, ἀλλὰ εἶναι καὶ σύμβολο τῆς ἀμετάτρεπτης ἕξης σ' αὐτά, γιατὶ ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας του ὡς τὸ θάνατό του διατήρησε ἀλύγιστη τὴν ἔνταση τῆς ψυχῆς του σ' αὐτά. Ὁ Δαβὶδ πάλι εἶναι κι αὐτὸς εἰκό-

*ἐξομολογήσεως πράξεώς τε καὶ θεωρίας καὶ αὐτός ἐστι εἰκών, ὡς τῆς ἰουδαϊκῆς φυλῆς καὶ ποιμὴν πρότερον καὶ ὕστερον βασιλεύς, καὶ τῶν ἀλλοφύλων ἀναιρέτης, οὐ μὴν δὲ καὶ τῆς τούτων κατὰ τὴν ἕξιν ἀτρεψίας σύμβολον. Παρέπεσε γὰρ μετὰ τὴν ἐπίγνωσιν, ἀνθρώπινόν τι παθών, καὶ τὴν ἕξιν τῆς ἀρετῆς καὶ τῆς γνώσεως οὐκ ἐφύλαξεν ἄτρεπτον. Διὸ τυχὸν οὐδὲ ἀπὸ γαστρὸς τοῦ Λόγου προσκιρτῆσαι γέγραπται κατὰ τὸν μέγαν Ἰωάννην, ἀλλὰ μετὰ τὴν τῶν ἀλλοφύλων τελείαν ἀναίρεσιν καὶ τὴν τῆς κιβωτοῦ ἀποκατάστασιν, τουτέστι μετὰ τὴν τῶν παθῶν ὑποχώρησιν καὶ τὴν τῆς γνώσεως αὖθις ἐπάνοδον.*

*Τύπος οὖν ἐστιν ὁ μὲν Ἰωάννης πάντων τῶν κατ' ἀρετὴν καὶ γνῶσιν διὰ μετανοίας ἐν πνεύματι γεννωμένων καὶ μέχρι τέλους διὰ προκοπῆς τὴν ἐν τούτοις ἕξιν ἄτρεπτον διατηρούντων, ὁ δὲ Δαβὶδ πάντων τῶν μετὰ τὴν ἐπίγνωσιν παραπιπτόντων καὶ πάλιν διὰ μετανοίας τὸ κατ' ἀρετὴν καὶ γνῶσιν ἐπαναγόντων τῆς ψυχῆς τῆς θείας χαρᾶς ἀγαλλίαμα. Σύντομος οὖν ὑπάρχων καὶ τῷ Πνεύματι τὴν εἰς πλάτος τοῦ Λόγου δύναμιν νοερῶς συστείλας ὁ μέγας διδάσκαλος, Ἰωάννῃ καὶ Δαβὶδ τοῖς μεγάλοις παρείκασε διὰ τῆς καθ' ἑκάτερον ἕξεως τοὺς τῶν θείων λογίων ἀκροατάς, ὡς ἑνὶ πάντως τούτων, καθάπερ οἶμαι, κατὰ τὸν ἐφ' ἑκάστῳ καλῶς ἀποδοθέντα τρόπον, ἑκάστου τῶν κατ' εὐσέβειαν ζώντων ἐνισχημένου, οἱονεὶ διαρρήδην βοῶν ὅτιπερ πάντες ὅσοι τὸν θεῖον τῆς ἀρετῆς καὶ τῆς γνώσεως ἐν ἑαυτοῖς διὰ μετανοίας κυϊσκόμενον ἐδέξασθε Λόγον, ἢ κατὰ τὸν μέγαν Ἰωάννην ἐξ ἀρχῆς μέχρι τέλους διὰ προκοπῆς τὸ ἐπ' αὐτῷ τῆς ψυχῆς κατὰ τὴν ἕξιν ἀτρέπτως θεῖον διατηρήσατε σκίρτημα, μηδενὶ τὰ παράπαν ὑπαγόμενοι κακίας εἴδει καὶ ἀγνωσίᾳ, ἢ κατὰ τὸν μακάριον Δαβίδ, κἂν εἰ συμβέβηκέ τι κατὰ τὸν θεῖον δρόμον ὑμῖν ἀβούλητον, φιλοπόνως διὰ μετανοίας σπουδάζετε πρὸς ἑαυτοὺς τὴν ἀρετὴν ἐπαναγαγεῖν καὶ τὴν γνῶσιν ὑπομονῆς τόνοις καὶ λόγων θείων ἀσκήμασι, καὶ μὴ τῇ ῥᾳθυμίᾳ τοῖς πάθεσιν ἔκδοτον*

να τῆς πράξης καὶ τῆς θεωρίας, γιατὶ ἦταν στὸν Ἰουδαϊκὸ λαὸ βοσκὸς πρῶτα κι ἔπειτα βασιλιάς του καὶ ὁ ἐξολοθρευτὴς τῶν ἀλλοφύλων, ἀλλὰ βέβαια καὶ σύμβολο τῆς ἀμετάτρεπτης ἕξης σ' αὐτά. Γιατὶ μετὰ τὴν ἐπίγνωση παρέπεσε, πάσχοντας κάποιο ἀνθρώπινο πάθος, καὶ δὲν ἐφύλαξε ἀμετάτρεπτη τὴν ἕξη τῆς ἀρετῆς καὶ τῆς γνώσης. Γι' αὐτὸ ἴσως οὔτε ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας του ἔχει γραφεῖ πὼς προανήγγειλε τὸ Λόγο σκιρτώντας ὅπως ὁ μεγάλος Ἰωάννης, ἀλλὰ ἔπειτ' ἀπὸ τὴν τέλεια συντριβὴ τῶν ἀλλοφύλων καὶ τὴν ἀποκατάσταση τῆς κιβωτοῦ, δηλαδὴ μετὰ τὴν ὑποχώρηση τῶν παθῶν καὶ τὴν ἀνάκτηση πάλι τῆς γνώσης.

Τύπος λοιπὸν εἶναι ὁ Ἰωάννης ὅλων ὅσοι γεννιοῦνται πνευματικὰ μὲ τὴ μετάνοια στὴν ἀρετὴ καὶ στὴ γνώση καὶ διατηροῦν ὡς τὸ τέλος μὲ τὴν προκοπή τους ἀμετάτρεπτη τὴν ἕξη τους σ' αὐτά, ἐνῶ ὁ Δαβὶδ εἶναι τύπος ὅλων ἐκείνων ποὺ πέφτουν μετὰ τὴν ἐπίγνωση κι ἐπαναφέρουν πάλι μὲ τὴ μετάνοια τὴν ψυχικὴ ἀγαλλίαση τῆς θεϊκῆς χαρᾶς. Ἐπειδὴ λοιπὸν εἶναι ὀλιγόλογος ὁ μεγάλος δάσκαλος, ἀφοῦ συμπύκνωσε μὲ τὸ πνεῦμα του νοερὰ τὴ δύναμη τοῦ ἐκτεταμένου λόγου, παρομοίασε μὲ τὸν Ἰωάννη καὶ Δαβὶδ τοὺς μεγάλους, σύμφωνα μὲ τὴν ἕξη τοῦ καθενός, τοὺς ἀκροατὲς τῶν θείων λόγων, γιατὶ ὁπωσδήποτε σὲ κάποιον ἀπὸ τοὺς δύο νομίζω, σύμφωνα μὲ τὸν τρόπο ποὺ ἀποδώσαμε δικαιολογημένα στὸν καθένα, ἀντιστοιχεῖ καθένας ἀπὸ ὅσους ζοῦνε μ' εὐσέβεια, σὰ νὰ βροντοφωνάζει κατὰ κάποιο τρόπο καὶ νὰ λέει· "Ὅλοι ὅσοι δεχθήκατε μέσα σας μὲ τὴν μετάνοια νὰ κυοφορεῖται ὁ θεῖος Λόγος τῆς ἀρετῆς καὶ τῆς γνώσης, ἢ σύμφωνα μὲ τὸν μεγάλο Ἰωάννη ἀπὸ τὴν ἀρχὴ ὡς τὸ τέλος διατηρῆστε τὸ θεῖο σκίρτημα τῆς ψυχῆς γι' αὐτὸν μὲ τὴν προκοπή σας ὡς ἀμετάτρεπτο ἀπόκτημα, χωρὶς νὰ παρασύρεστε ἀπὸ κανένα εἶδος κακίας καὶ ἀπὸ τὴν ἀγνωσία, ἢ σύμφωνα μὲ τὸ μακάριο Δαβίδ, ἀκόμα κι ἂν σᾶς ἔχει τύχει κάτι ποὺ δὲ θέλετε κατὰ τὸ θεῖο δρόμο, νὰ φροντίζετε ἀκούραστα μὲ τὴ μετάνοια νὰ ἐπαναφέρετε στὸν ἑαυτό σας τὴν ἀρετὴ καὶ τὴ γνώση μ' ἔνταση τῆς ὑπομονῆς καὶ μὲ τὴν ἄσκηση τῶν θείων λόγων, καὶ μὴν πάθετε τὸ πάθημα τοῦ ἱερέα

*ταύτην τὴν ἐν ὑμῖν θείαν, τῆς ἀρετῆς λέγω καὶ τῆς γνώσεως, ἐάσαντες κιβωτὸν τὸ τοῦ ἱερέως Ἠλεὶ ὑπομένητε πάθος, καὶ ὀπισθίως πεσόντες περὶ τὰς πύλας τοῦ ναοῦ τοῦ ἐν Σηλὼμ ἀποθάνητε, τὸν ὦμον τῆς πράξεως συντριβέντες.*

*Ὅπερ, ὡς οἶμαι, σαφέστερον διδάσκων ὁ μακάριος οὗτος Πατὴρ ἐν τῷ εἰς τὴν Καινὴν Κυριακὴν λόγῳ φησίν· «Ἄιδειν δὲ τῷ Κυρίῳ ᾆσμα καινὸν κελευόμεθα, εἴτε οἱ εἰς Βαβυλῶνα καὶ τὴν πονηρὰν σύγχυσιν κατασυρέντες ὑπὸ τῆς ἁμαρτίας, ἔπειτα πρὸς Ἰερουσαλὴμ ἀνασωθέντες, κἀκεῖ μὲν οὐ δυνάμενοι τὴν θείαν ᾄδειν ᾠδὴν ὡς ἐπὶ γῆς ἀλλοτρίας, ἐνταῦθα δὲ νέαν ᾠδὴν καὶ πολιτείαν ἱστάμενοι, εἴτε οἱ μείναντες ἐν τῷ καλῷ καὶ προκόπτοντες, καὶ τὸ μὲν κατωρθωκότες ἤδη, τὸ δὲ κατορθοῦντες παρὰ τοῦ καινοποιοῦ Πνεύματος». Ταῦτα στοχαστικῶς κατὰ τὴν ἐμὴν ἀφροσύνην νενοηκότα τὸν διδάσκαλον φάναι νομίζω· «Νυνὶ δέ μοι δέξαι τὴν κύησιν καὶ προσκίρτησον, εἰ καὶ μὴ ὡς Ἰωάννης ἀπὸ γαστρός, ἀλλ' ὡς Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ, τῷ κατ' ἀξίαν καὶ γένος τῆς θεωρίας τρόπῳ συνῃρηκότα τὴν τῶν εἰρημένων θεωρίαν.*

*Φασὶ γὰρ οἱ τῶν τοιούτων ἀκριβεῖς ἐπιμεληταὶ μυστηρίων καὶ τῶν ἐπ' αὐτοῖς πνευματικῶν λόγων ἐρασταὶ καὶ φιλοθεάμονες, τὸν καθόλου τῆς Γραφικῆς θεωρίας λόγον, ἕνα τυγχάνοντα, δεκαχῶς πλατυνόμενον θεωρεῖσθαι, τόπῳ, χρόνῳ, γένει, προσώπῳ, ἀξίᾳ, ἤγουν ἐπιτηδεύματι, πρακτικῇ, φυσικῇ, θεολογικῇ φιλοσοφίᾳ, ἐνεστῶτι, καὶ μέλλοντι, ἤγουν τύπῳ καὶ ἀληθείᾳ, καὶ αὖθις συναγόμενον τοὺς πέντε τρισὶ περιγράφειν τρόποις, καὶ πάλιν δυσὶ τοὺς τρεῖς, καὶ τοὺς δύο ἑνὶ συγκλείειν παντελῶς μὴ ἀριθμουμένῳ λόγῳ· οἷον τοὺς κατὰ χρόνον καὶ τόπον καὶ γένος καὶ πρόσωπον καὶ ἀξίαν, πέντε τυγχάνοντες, εἰς τρεῖς συνάγειν τοὺς τῆς πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς, τούτους δὲ πάλιν τρεῖς ὄντας, εἰς δύο, τοὺς τὸ παρόν τε καὶ τὸ μέλλον σημαίνοντας, καὶ τούτους εἰς τὸν τελεστικὸν καὶ ἁπλοῦν, ὥς φασι, καὶ*

---

2. Α' Βασ. 4,17.

3. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, Λόγος ΜΔ' *Εἰς τὴν Καινὴν Κυριακήν*, κ. 1, ΕΠΕ Ἅπαντα Γρηγορίου Θεολόγου τ. 5, σ. 218.

Ἠλεί, ἀφήνοντας μὲ τὴ ραθυμία σας ἔκδοτη στὰ πάθη τὴ θεία κιβωτὸ τῆς ἀρετῆς καὶ τῆς γνώσης καὶ πέφτοντας ἀνάστροφα πεθάνετε στὶς πύλες τοῦ ναοῦ στὴ Σηλώμ[2], συντρίβοντας τὴν ὠμοπλάτη τῆς πράξης.

Αὐτὸ νομίζω διδάσκοντας σαφέστερα ὁ μακάριος αὐτὸς Πατέρας, λέει στὸ λόγο του Στὴν Καινὴ Κυριακή· «Προστάζομε νὰ ψάλετε ἄσμα καινούργιο στὸν Κύριο, εἴτε ὅσοι βρίσκεστε στὴ Βαβυλώνα καὶ στὴν κακὴ σύγχυση ἔχετε παρασυρθεῖ ἀπὸ τὴν ἁμαρτία, κι ἔπειτα σωθήκατε στὴν Ἰερουσαλήμ, καὶ ἐκεῖ βέβαια δὲν μπορούσατε νὰ ψάλετε τὴ θεία ᾠδὴ ἐπειδὴ ἦταν ξένη ἡ γῆ, ἐδῶ ὅμως στήσατε νέα ᾠδὴ καὶ νέα πολιτεία, εἴτε ὅσοι μείνατε στὸ καλὸ προκόβοντας καὶ ἤδη ἔχετε ἀπὸ τὴ μιὰ κατορθώσει κι ἀπὸ τὴν ἄλλη ἐξακολουθεῖτε νὰ κατορθώνετε μὲ τὴ βοήθεια τοῦ καινοποιοῦ Πνεύματος»[3]. Αὐτὰ ὑποθέτω μὲ τὴν ἀνοησία μου σκέφτηκε ὁ δάσκαλος καὶ εἶπε· «Τώρα ὅμως δέξου μου τὴν κυοφορία καὶ σκίρτησε γι' αὐτό, κι ἂν ὄχι ὅπως ὁ Ἰωάννης ἀπὸ τὴν κοιλιά, ἂς εἶναι ὅπως ὁ Δαβὶδ γιὰ τὸ σταμάτημα τῆς κιβωτοῦ», συμπυκνώνοντας τὴν ἔκθεση ὅσων εἴπαμε μὲ τὸν ἀνάλογο μὲ τὴν ἀξία καὶ τὸ γένος τῆς θεωρίας τρόπο.

Παραδίδουν οἱ προσεκτικοὶ μελετητὲς αὐτῶν τῶν μυστηρίων καὶ ἐραστὲς καὶ φιλοθεάμονες τῶν πνευματικῶν λόγων ποὺ αὐτὰ περιέχουν, ὅτι ὁ καθολικὸς λόγος τῆς Γραφικῆς θεωρίας, ἂν καὶ εἶναι ἕνας, πρέπει νὰ τὸν θεωροῦμε ὅτι διαδίδεται μὲ δέκα τρόπους, μὲ τὸν τόπο, τὸ χρόνο, τὸ γένος, τὸ πρόσωπο, τὴν ἀξία, δηλαδὴ ἀσχολία, τὴν πρακτική, τὴ φυσικὴ καὶ θεολογικὴ φιλοσοφία, τὸ παρὸν καὶ μελλοντικό, δηλαδὴ μὲ τὸν τύπο καὶ τὴν ἀλήθεια· καὶ πάλι ὅτι συνάγεται περιορίζοντας τοὺς πέντε σὲ τρεῖς τρόπους, καὶ πάλι τοὺς τρεῖς σὲ δύο, καὶ τοὺς δύο τοὺς ἐγκλείει σὲ ἕνα ἀποκλειστικὸ λόγο χωρὶς ἀριθμο. Γιὰ παράδειγμα τοὺς τρόπους μὲ χρόνο, τόπο, γένος, πρόσωπο καὶ ἀξία, ποὺ εἶναι πέντε, τοὺς συνάγει σὲ τρεῖς, τοὺς τρόπους πρακτική, φυσικὴ καὶ θεολογικὴ φιλοσοφία καὶ αὐτοὺς πάλι, ποὺ εἶναι τρεῖς, τοὺς περιορίζει σὲ δύο, ποὺ σημαίνουν τὸ παρὸν καὶ τὸ μέλλον, κι αὐτοὺς στὸν τελικὸ κι ἁπλό, ὅπως λένε, καὶ ἄρρητο Λόγο ποὺ

πάντων περιεκτικὸν ἄρρητον Λόγον, ἐξ οὗ κατὰ πρόοδον γέγονεν ἡ καθολικὴ τῶν ὑπὸ θεωρίαν τῆς Γραφῆς τρόπων δεκάς, καὶ εἰς ὃν ὡς ἀρχὴν κατὰ περιγραφὴν ἡ αὐτὴ δεκὰς ἀνατατικῶς εἰς μονάδα πάλιν συνάγεται.

